SCHOLIA GRAECA

IN

EURIPIDIS TRAGOEDIAS

EX CODICIBUS AUCTA ET EMENDATA

EDIDIT

GULIELMUS DINDORFIUS.

TOMUS II.

OXONII:
E TYPOGRAPHEO ACADEMICO,
MDCCCLXIII.

ΥΠΟΘΕΣΙΣ ΟΡΕΣΤΟΥ.

I.

ΌΡΕΣΤΗΣ τὸν φόνον τοῦ πατρὸς μεταπορευόμενος ἀνεῖλεν Αἴγισθον καὶ Κλυταιμνήστραν. μητροκτονῆσαι δὲ τολμήσας παραχρῆμα τὴν δίκην ἔδωκεν ἐμμανὴς γενόμενος. Τυνδάρεω δὲ, τοῦ πατρὸς τῆς ἀνῃρημένης, κατηγορήσαντος κατ' αὐτοῦ ἔμελλον κοινὴν Ἀργεῖοι ψῆφον ἐκφέρεσθαι περὶ τοῦ τί δεῖ παθεῖν τὸν ἀσεβήσαντα. κατὰ τύχην δὲ Μενέλαος ἐκ πλάνης ὑποστρέψας ἐκ τῆς νυκτὸς μὲν Ἑλένην εἰσαπέστειλε, μεθ' ἡμέραν δ' αὐτὸς ἦλθε. καὶ παρακαλούμενος ὑπὸ Ὀρέστου βοηθῆσαι αὐτῷ ἀντιλέγοντα Τυνδάρεων μᾶλλον

1. Ὑπόθεσιν Orestis recensui ad codices antiquiores, A. (Vaticanum 909.), B. (Parisinum 2713.), M. (Venetum 471.), D. (Parisinum 2712.), C. Monacensem (olim Augustanum) 560. Ex recentioribus adhibui Gu. (Guelferbytanum). Alios nonnullos memoravi ubi operae pretium erat. Plura enim in his vel negligentia librariorum corrupta sunt, quae enumerare nihil attinet, vel trajecta, velut in Veneto 468., libro recenti chartaceo, qui incipit ab Argumento Aristophanis (Ὀρέστης —ἡ μυθοποιία). Tum sequuntur verba τὸ δὲ δρᾶμα κωμικωτέραν—τῆς τοιαύτης διαθέσεως. Post haec Argumentum anonymi Ὀρέστης τὸν φόνον—τοῦ φόνου Ἄργους ἄρχειν. Tum illa ἡ μὲν σκηνὴ—προλογίζει δὲ Ἠλέκτρα. Deniquc, τὸ δρᾶμα τῶν ἐπὶ σκηνῆς—φαῦλοι ἦσαν.

3. μεταπορευόμενος] *Vindicans:* qua significatione frequentius dicitur μετιέναι. Illo sic usi sunt Lysias, Polybius aliique, quorum exempla allata sunt in Thesauro. In Ven. 468. et Mosquensi quodam additum est καὶ ἐκδικῶν, in C aliisque recentioribus pro μεταπορευόμενος positum ἐκδικησάμενος, ut in ed. Aldina, in εἰσδικησάμενος corruptum in libro uno.

6. κατ'] κ' M.

7. Ἀργεῖοι] ἀργείων Gu.

ib. ψῆφον] γνώμην Ven. 468.

ib. τοῦ] τούτου C. Ald.

ib. τί δεῖ om. A.B.M. Gu., habent D.C. aliique recentiores et Ald.

ib. τὸν ἀσεβήσαντα] τοὺς ἀσεβήσαντας M.

9. εἰσαπέστειλε] ἀπέστειλε A.

ib. μεθ' ἡμέραν δ' (δὲ M.) αὐτὸς] αὐτὸς δὲ μεθ' ἡμέραν B. et Ven. 468.

ib. ἦλθε (ἦλθεν M.)] ἀνῆλθε A. εἰσῆλθε B. Ven. 468.

10. Ὀρέστου] τοῦ ὀρέστου A.

ηὐλαβήθη. λεχθέντων δὲ λόγων ἐν τοῖς ὄχλοις ἐπηνέχθη τὸ πλῆθος ἀποκτείνειν Ὀρέστην...... ἐπαγγειλάμενος αὐτὸν εἰς τὸν βίον προΐεσθαι. συνὼν δὲ τούτοις ὁ Πυλάδης, ὁ φίλος αὐτοῦ, συνεβούλευσε πρῶτον Μενελάου τιμωρίαν λαβεῖν, Ἑλένην ἀποκτείναντας. αὐτοὶ μὲν οὖν ἐπὶ τούτοις ἐλθόντες διεψεύσθησαν τῆς ἐλπίδος, θεῶν τὴν Ἑλένην ἁρπασάντων· Ἠλέκτρα δὲ Ἑρμιόνην ἐπιφανεῖσαν ἔδωκεν εἰς χεῖρας αὐτοῖς, οἱ δὲ ταύτην φονεύειν ἔμελλον. ἐπιφανεὶς δὲ Μενέλαος καὶ βλέπων ἑαυτὸν ἅμα γυναικὸς καὶ τέκνου στερούμενον ὑπὸ αὐτῶν ἐπεβάλετο τὰ βασίλεια πορθεῖν. οἱ δὲ φθάσαντες ὑφάψειν ἠπείλησαν. ἐπιφανεὶς δὲ ὁ Ἀπόλλων Ἑλένην μὲν ἔφησεν εἰς θεοὺς διακομίζειν, Ὀρέστῃ δὲ Ἑρμιόνην ἐπέταξε λαβεῖν, Πυλάδῃ δὲ Ἠλέκτραν συνοικίσαι, καθαρθέντι δὲ τοῦ φόνου Ἄργους ἄρχειν.

II.

Ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις.

Ὀρέστης διὰ τὴν τῆς μητρὸς σφαγὴν, ἅμα καὶ ὑπὸ τῶν Ἐρινύων

1. ηὐλαβήθη] εὐλαβήθη M. Gu. Ven. 468.

2. ἀποκτείνειν] ἀποκτεῖναι C.

ib. Lacunam post Ὀρέστην indicavit Porsonus.

ib. ἐπαγγειλάμενος—προΐεσθαι om. C. et Ald. In cod. Dorvilliano interpolatum ὃ καὶ ἐπαγγελλόμενος αὐτὸς ποιῆσαι, ἐκ τοῦ βίου προΐεσθαι.

ib. εἰς τὸν βίον M. aliique. In Gu. corrector ex ἐπαγγειλάμενος αὐτὸν εἰς τὸν βίον fecit, quod etiam in B. legitur, ἐπαγγειλάμενον ἑαυτὸν ἐκ τοῦ βίου, qui haec praecedenti accusativo Ὀρέστην accommodare voluit non animadversa lacuna.

ib. εἰς τὸν βίον] ἐκ τοῦ βίου A. et pars recentiorum.

3. ὁ φίλος] ὁ om. B.C.M. Gu.

ib. αὐτοῦ] αὐτῷ A. et Ven. 468.

6. Ἠλέκτρα δὲ Ἑρμιόνην ἐπιφανεῖσαν ἔδωκεν] Sic A.B.D.M. Gu. aliique. τὴν δὲ ἑρμιόνην δείξας ὁ ἀπόλλων ἔδωκεν C. Ald.

7. αὐτοῖς] αὐτῶν A.

ib. ταύτην] τὴν ἑρμιόνην addit C.

8. γυναικὸς καὶ τέκνου (τέκνων Ald.)] γυναικὶ καὶ τέκνῳ C.

ib. στερούμενον] ἐστερημένον C. Ald. ὑστερούμενον in Mosq. uno.

9. αὐτῶν] αὐτοῦ Gu.

ib. ἐπεβάλετο] ἐπεβάλλετο M. ἐπέβαλε A.

10. ἠπείλησαν] ἠπείλουν C. Ald.

11. Ὀρέστῃ Brunckius. Libri Ὀρέστην.

ib. Πυλάδῃ] πυλάδην A.

ib. Ἠλέκτραν] ἠλέκτρα A.M. Gu.

12. συνοικίσαι Brunckius pro συνοικῆσαι.

ib. καθαρθέντι] καὶ καθαρθέντι A. καθαρθέντα Ald. et codices nonnulli.

ib. τοῦ φόνου] τὸν φόνον M. τῶν φόνων B.

14. Ἀριστοφάνους—ὑπόθεσις] Haec inscriptio est in B. ὑπόθεσις ὀρέστου ἀριστοφάνους γραμματικοῦ in Ven. 468. ἄλλως in M.C. Ald., nulla in A. aliisque.

15. Ἐρινύων] ἐριννύων A.C.

δειματούμενος, καὶ ὑπὸ τῶν Ἀργείων κατακριθεὶς θανάτῳ, μέλλων φονεύειν Ἑλένην καὶ Ἑρμιόνην, ἀνθ' ὧν Μενέλαος παρὼν οὐκ ἐβοήθησεν, διεκωλύθη ὑπὸ Ἀπόλλωνος. παρ' οὐδετέρῳ δὲ κεῖται ἡ μυθοποιία. ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν Ἀργείων ἡλικιωτίδων Ἠλέκτρας, αἳ καὶ παραγίνονται ὑπὲρ τῆς τοῦ Ὀρέστου πυνθανόμεναι συμφορᾶς. προλογίζει δὲ Ἠλέκτρα. τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν.

Ἡ δὲ διασκευὴ τοῦ δράματός ἐστι τοιαύτη· πρὸς τὰ τοῦ Ἀγαμέμνονος βασίλεια ὑπόκειται Ὀρέστης κάμνων καὶ κείμενος ὑπὸ

1. κατακριθεὶς θανάτῳ om. B. et Ven. 468.

2. Ἑλένην καὶ Ἑρμιόνην] ἑρμιόνην καὶ ἑλένην B. Ven. 468.

3. διεκωλύθη] ἐκωλύθη C. Ald.

ib. Ἀπόλλωνος] τοῦ ἀπόλλωνος B.

ib. οὐδετέρῳ scripsi pro οὐδενί. παρ' οὐδετέρῳ est *neque apud Aeschylum neque apud Sophoclem*. Sic in Argumento Alcestidis et Medeae παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία.

ib. μυθοποιία B. Ven. 468. μυθολογία A.M.C. Ald. Illud est in Argumento Alcestidis et Medeae modo memorato et in Phoenissarum, ἡ μυθοποιία κεῖται παρ' Αἰσχύλῳ ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβας.

ib. Post μυθοποιία, aut inferius, excidit haud dubie anni quo fabula acta est notatio, quod ἐπὶ ἄρχοντος Διοκλέους (i.e. Ol. 92, 4.) factum esse novimus ex annotatione scholiastae ad v. 371. Servata anni nota est in Argumento Alcestidis et Phoenissarum.

4. ἡ μὲν σκηνὴ—] ἄλλως praefixum in C.

5. ἡλικιωτίδων] συνηλικιωτίδων Ven. 468.

ib. Ἠλέκτρας om. C. et Ald.

6. τῆς om. C., τοῦ om. M.

ib. προλογίζει δὲ Ἠλέκτρα om. Ald., sed infra post indicem personarum addit, προλογίζει δὲ ἡ Ἠλέκτρα, ὡς ἀδελφὴ Ὀρέστου, ἐλεεινολογοῦσα διὰ τὸν Τάνταλον.

ib. προλογίζει δὲ] δὲ om. M.D. προλογίζει δὲ est in Argumento Medeae et Andromachae, προλογίζει sine δέ in Argumento Alcestidis in libris melioribus.

7. Post Ἠλέκτρα in C. signum positum est quo scholia finiri solent (·.·). Tum sequitur post aliquot literarum spatium τὸ δρᾶμα κωμικωτέραν etc., omisso δὲ, quo etiam A. M. Gu. carent. Idem illud signum est in B, etsi hic τὸ δρᾶμα δὲ habet.

ib. κωμικωτέραν ἔχει τὴν καταστροφήν] Idem de Alcestide dixit Aristophanes Byzantius in Argumento fabulae, τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφὴν, et explicatius excerpti alius auctor, τὸ δὲ δρᾶμά ἐστι σατυρικώτερον, ὅτι εἰς χαρὰν καὶ ἡδονὴν καταστρέφει. παρὰ τοῖς τραγικοῖς ἐκβάλλεται ὡς ἀνοίκεια τῆς τραγικῆς ποιήσεως ὅ τε Ὀρέστης καὶ ἡ Ἄλκηστις, ὡς ἐκ συμφορᾶς μὲν ἀρχόμενα, εἰς εὐδαιμονίαν δὲ καὶ χαρὰν καταλήξαντα, ἅ ἐστι μᾶλλον κωμῳδίας ἐχόμενα.

ib. καταστροφήν] κατασκευὴν Ven. 468. Sic in Arg. Alcestidis in A. est κατασκευὴν, sed superscripto καταστροφήν. Verbis ἔχει τὴν καταστροφὴν Aristophanis ὑπόθεσις finiri videtur. Sequentia Ἡ διασκευὴ— haud dubie alius sunt grammatici.

8. διασκευὴ] διασκεβὴ C.

ib. τοῦ δράματος] αὐτοῦ B. et Ven. 468.

9. καὶ κείμενος] καὶ om. Ven. 468.

μανίας ἐπὶ κλινιδίου, ᾧ προσκαθέζεται πρὸς τοῖς ποσὶν Ἠλέκτρα. διαπορεῖται δὲ τί δήποτε οὐ πρὸς τῇ κεφαλῇ καθέζεται. οὕτω δὲ μᾶλλον ἐδόκει τὸν ἀδελφὸν τημελεῖν, πλησιαίτερον οὕτω προσκαθεζομένη. ἔοικεν οὖν διὰ τὸν χορὸν ὁ ποιητὴς διασκευάσαι. διηγέρθη γὰρ ἂν Ὀρέστης ἄρτι καὶ μόλις καταδαρθεὶς, πλησιαίτερον αὐτῷ τῶν κατὰ τὸν χορὸν γυναικῶν παρισταμένων. ἔστι δὲ ὑπονοῆσαι τοῦτο ἐξ ὧν φησιν Ἠλέκτρα τῷ χορῷ "σῖγα σῖγα, λεπτὸν ἴχνος ἀρβύλης." πιθανὸν οὖν ταύτην εἶναι τὴν πρόφασιν τῆς τοιαύτης διαθέσεως.

Τὸ δρᾶμα τῶν ἐπὶ σκηνῆς εὐδοκιμούντων, χείριστον δὲ τοῖς ἤθεσι. πλὴν γὰρ Πυλάδου πάντες φαῦλοι ἦσαν.

III.

Ἐνταῦθα ὁ Εὐριπίδης ἀπὸ τῆς μέσης ὑποθέσεως ἄρχεται· παρέ-

1. κλινιδίου] κλινιδίῳ Ven. 468.

ib. προσκαθέζεται πρὸς] προκαθέζεται πρὸ M.

2. καθέζεται om. Gu.

ib. οὕτω δὲ] οὕτως δὲ M. Ven. 468. οὕτω γὰρ Kirchhoffius.

3. ἐδόκει] ἐδόκει ἂν Nauckius.

ib. τὸν ἀδελφὸν] τοῦ ἀδελφοῦ C. Ald.

ib. πλησιαίτερον οὕτως προκαθεζομένη M. πλησιαίτερον οὕτως παρακαθεζομένη A. πλησιέστερον οὕτ' προσκαθεζομένη B. οὕτω παρακαθεζομένη πλησιαίτερον Ald. et (qui πλησιέστερον) C. πλησιαίτερον παρακαθεζομένη D. πλησιαίτερον προσκαθεζομένη Gu. πλησιέστερον οὕτω προσκαθεζομένη Ven. 468.

ib. οὕτω] τούτῳ Porsonus.

4. οὖν om. Ven. 468.

ib. χορὸν] χρόνον Gu. aliique nonnulli, sed χορὸν superscriptum in Gu

ib. γὰρ ἂν] δὲ A., omisso ἂν, quo etiam Ven. 468 caret.

5. Ὀρέστης] ὁ ὀρέστης A. Ald.

ib. μόγις] μόλις C. Ven. 468. Ald. Gu.

ib. καταδαρθεὶς C. Gu. Ald. καταδραθεὶς ceteri.

ib. πλησιαίτερον M. D. Gu. aliiqne. πλησιέστερον B. Ven. 468. ἐγγὺς A. C. Ald.

ib. τῶν κατὰ τὸν χορὸν] τῶν τοῦ χοροῦ superscr. in Gn.

7. Ἠλέκτρα] ἡ ἠλέκτρα A. τῷ χορῷ addunt libri, exceptis A. M.

ib. σῖγα σῖγα] σίγα σίγα libri, excepto Gu.

ib. λεπτὸν] λευκόν B. Gu. Ven. 468.

ib. ἀρβύλης] τιθεῖσα addit Ven. 468.

8. πιθανὸν οὖν ταύτην εἶναι τὴν M. D. Gu. aliique. πιθανὴν οὖν εἶναι φασὶ ταύτην τὴν A. πιθανὴν δὲ εἶναι ταύτην (φασὶ addit Ald. quod est etiam in cod. Mosquensi) τὴν C. Ald. In Gu. a m. secunda superscr. πιθανὴν οὖν συμβαίνει.

ib. διαθέσεως] ὑποθέσεως Ven. 468.

9. σκηνῆς] τῆς σκηνῆς B. Gu. et alii codices recentiores.

10. πάντες φαῦλοι] φαῦλοι πάντες Ven. 468.

12.—p. 7. l. 11. Recentis grammatici excerptum, quod ex cod. Flor. 59. edidit Matthiae.

λιπε γὰρ τὴν τοῦ Ὀρέστου ἀνατροφὴν, ὅπως ἀνετρέφετο παρὰ τοῦ παιδαγωγοῦ εἰς τὸν Στροφίου οἶκον, τοῦ πατρὸς τοῦ Πυλάδου· φίλος γὰρ ἦν τοῦ Ἀγαμέμνονος ὁ Στρόφιος· καὶ ὅπως μηχανήσαντες ἀπῆλθον εἰς τὴν Κλυταιμνήστραν ὅ τε Ὀρέστης καὶ Πυλάδης καὶ παιδαγωγὸς φέροντες ταύτῃ καὶ κιβώτιον πεπληρωμένον τῆς κόνεως τοῦ Ὀρέστου. μέμνηται δὲ τούτου ὁ Σοφοκλῆς καὶ οὗτος ἐν ἑτέρῳ δράματι.

Ἔθος τοῖς τραγικοῖς τὸ ἐν προοιμίῳ ὡς ἐν ὀλίγῳ παραδηλοῦν τοῦ ὅλου δράματος τὴν ἔννοιαν, ὡς καὶ ἐνταῦθα ποιεῖ ὁ Εὐριπίδης καὶ πανταχοῦ. τὸ δὲ δρᾶμα τῆς Ἑκάβης καὶ τοῦ παρόντος δράματος τὸ τέλος ἀπὸ πένθους ἄρχονται καὶ λήγουσιν εἰς χαράν.

IV.

Ὅτε κατὰ τῶν Τρώων ἡ Ἑλλὰς ὥρμησεν, Ἀγαμέμνων στρατηγὸς ᾑρέθη παντὸς τοῦ στόλου, ἅτε προέχειν τῶν ἄλλων δοκῶν ἀρχῆς τε μεγέθει καὶ πλήθει νεῶν· ἑκατὸν γὰρ ναῦς εἰς τὴν τοῦ στόλου συντέλειαν εἰσέφερε. καὶ ὃς μέλλων ἀνάγεσθαι καταλείπει τῶν οἴκοι πραγμάτων αὐτοῦ ἐπιμελητὴν καὶ προστάτην Αἴγισθον. ἐπεὶ δὲ πολὺς ἠνύετο χρόνος καὶ Ἀγαμέμνων οὐκέτ' ἐπανῄει, οἷα δὴ πολλὰ γίνεται, συνῆλθεν ἀθέσμως Αἴγισθος Κλυταιμνήστρᾳ τῇ τοῦ Ἀγαμέμνονος γυναικί. μαθόντες δὲ Κλυταιμνήστρα καὶ Αἴγισθος τήν τε Τροίαν ἁλοῦσαν καὶ Ἀγαμέμνονα μετὰ τῶν ἄλλων οἴκαδε πλέοντα, βουλεύονται τοῦτον τῆς οἰκίας ἐπειλημμένον ἀποκτενεῖν, ἵνα μὴ τούτῳ γνωσθέντος τοῦ σφῶν πονηρεύματος αὐτοὶ παραδοθεῖεν θανάτῳ· ὃ δὴ καὶ ἤνυσαν. καὶ ἐπανελθόντα τὸν Ἀγαμέμνονα ἀποκτείνουσι· χιτῶνα γὰρ μὴ διεξόδους κεφαλῆς καὶ χειρῶν ἔχοντα μετὰ τὸ λουτρὸν ἐνδιδύσκουσι καὶ ἐν τῷ πελέκει τοῦτον φονεύουσι. μεταξὺ γοῦν τοῦ Ἀγαμεμνονείου φόνου Ἠλέκτρα τὸν ἀδελφὸν Ὀρέστην, ἵνα μὴ καὶ οὗτος ἀναιρεθείη, κλέψασα καί τινι δοῦσα παιδαγωγῷ εἰς Φωκίδα παρὰ

4. ὅ τε Ὀρέστης καὶ Πυλάδης Matth. pro ὅτε ὀρέστης ὁ πυλάδης.
5. ταύτῃ scripsi pro ταύτην.
ib. κιβώτιον Matth. pro κιβωτίου.
6. ἐν ἑτέρῳ δράματι] In Electra.
13. Hanc recentis grammatici ὑπόθεσιν habet Gu. ab manu secunda, ex quo edidit Matthiae.
14. προέχειν τῶν ἄλλων] Sic codex, non τῶν ἄλλων προέχειν ut Matth.

Στρόφιον πέμπει, φίλον καὶ συγγενῆ τοῦ πατρὸς αὐτῆς τυγχάνοντα. Ὀρέστης δὲ εἰς ἄνδρας ἥκων, παραλαβὼν Πυλάδην τὸν παῖδα Στροφίου, ἐφ' ᾧ μετ' αὐτοῦ Αἴγισθον καὶ Κλυταιμνήστραν τιμωρήσαιτο, καταλαμβάνει λάθρα τὸ Ἄργος. καὶ χρησμὸν παρὰ τοῦ Πυθίου δεξάμενος τοῦτο ποιεῖν, πρῶτον μὲν ἔρχεται πρὸς τὸν τοῦ πατρὸς τάφον καὶ θύει, εἶτά τι μηχανᾶται τοιόνδε· τὸν γὰρ παιδαγωγὸν, ᾧ παρὰ τῆς Ἠλέκτρας πάλαι πιστευθεὶς ἧκεν, ὡς ἔφημεν, εἰς τὴν Φωκίδα, τοῦτον προπέμπει εἰς Αἴγισθον καὶ Κλυταιμνήστραν λέγοντα ὡς Ὀρέστης ἐν Πυθικοῖς ἄθλοις ἀνῃρέθη καὶ νῦν ἄνδρες τὰ τούτου ὀστᾶ ἐν κιβωτίῳ κομίζουσιν, ἵνα πατρῴων γοῦν τάφων τύχῃ. ὑπαχθέντες δὲ τῇ τοιαύτῃ ἀπάτῃ Κλυταιμνήστρα καὶ Αἴγισθος, ἵνα μὴ μακρολογῶ, ἀναιροῦνται ὑπὸ Ὀρέστου καὶ Πυλάδου, πρώτη μὲν Κλυταιμνήστρα, ὕστερος δὲ Αἴγισθος. μητροκτονήσας τοίνυν Ὀρέστης Ἐριννύσι παραχρῆμα τὴν δίκην ἔδωκε μανείς. Μενέλαος δὲ ἐκ Τροίας ἐλθὼν, ὕστερος γὰρ Ἀγαμέμνονος ἐπανῆκε, καὶ τῷ Ναυπλίῳ λιμένι προσσχὼν, νυκτὸς μὲν Ἑλένην εἰσπέμπει πρὸς Μυκήνας, μεθ' ἡμέραν δὲ αὐτὸς εἰσῄει, καὶ τὸν Ὀρέστην μεμηνότα εὑρὼν, παρακαλεῖται μὲν ὑπὸ Ὀρέστου καὶ Ἠλέκτρας σῶσαι αὐτούς. ὁ γὰρ τῆς Κλυταιμνήστρας πατὴρ Τυνδάρεως πάντας Ἀργείους κατ' αὐτῶν ἐκίνησεν, ἵνα τούτους ὡς μητροκτόνους ἀνέλοιεν. ὡς δὲ τὸν Τυνδάρεων ἀντιλέγοντα εὗρε, καὶ ἅμα καὶ αὐτὸς ὑπολογιζόμενος ὡς εἰ Ὀρέστης ἀναιρεθείη, βασιλεὺς αὐτὸς ἔσται τοῦ Ἄργους, οὐκ ἤθελεν Ὀρέστῃ τε καὶ τῇ ἀδελφῇ συμμαχεῖν, ἀλλὰ τὸ τῶν Ἀργείων πλῆθος ἔλεγεν εὐλαβεῖσθαι. πρῶτον μὲν οὖν Ὀρέστης καὶ Τυνδάρεως διελέχθησαν πρὸς ἀλλήλους, ὁ μὲν ὡς οὐ δικαίως ἀνείλετο Κλυταιμνήστραν δεικνὺς, Ὀρέστης δὲ ὡς καὶ μάλα δικαίως, εἰ καὶ μυριάκις αὐτὴν ἔδει τεθνάναι. ἔπειτα ἐκκλησίας ἐν ἀκροπόλει Μυκηνῶν γενομένης καὶ συνιόντων τῶν προὐχόντων ἐν Ἄργει, Ὀρέστης ὑπὸ Πυλάδου φοράδην ἐκεῖσε κομίζεται. λόγων δὲ πολλῶν γινομένων, καὶ τῶν μὲν βοηθούντων Ὀρέστῃ, τῶν δὲ ἐναντιουμένων, τέλος ἐνίκησαν οἱ κακοί. καὶ κατακρίνεται Ὀρέστης αὐτός τε καὶ ἡ ἀδελφὴ λίθοις βληθέντες ἀποθανεῖν. Ὀρέστης δὲ ἐπηγγείλατο πρὸς τὸ πλῆθος αὐτοχειρίᾳ ἑαυτὸν καὶ τὴν ἀδελφὴν ἀποσφάξαι. καὶ ὁ φίλος Πυλάδης καὶ παρὰ τὴν συμφορὰν φίλος ἔμεινε καὶ κοινωνεῖν αὐτῷ τῆς τελευτῆς ἠξίωσε

16. προσσχὼν Matth. pro προσχών. 20. Τυνδάρεων] τυνδάρεω Gu.

προθυμότατα. ἐπεὶ δὲ σφίσι τοῦτο παθεῖν προὔκειτο, συμβουλεύει Πυλάδης Μενέλεω πρῶτον τιμωρίαν λαβεῖν, λέγων ὡς οὐ δεῖ τοῦτον τρυφᾶν ἡμῶν ἀπιόντων. ὅθεν εἰσελθόντες εἴσω τῶν βασιλείων, Ἑλένης δῆθεν δεησόμενοι, ἵνα μὴ περιίδῃ σφᾶς ὀλλυμένους, ἀλλὰ χεῖρα ὀρέξῃ καὶ Μενέλεων καὶ ἄκοντα πρὸς σωτηρίαν κινήσῃ, ἐπεὶ ταύτην φονεύειν ἔμελλον, ταύτης μὲν ἥμαρτον, ὑπὸ Ἀπόλλωνος ἁρπασθείσης κελεύσει Διός, Ἑρμιόνην δὲ συλλαμβάνουσιν ἐκ τοῦ τῆς Κλυταιμνήστρας τάφου ἐπανήκουσαν· πρώην γὰρ αὐτὴν Ἑλένη πεπόμφει τῇ ἀδελφῇ θύσουσαν. λαβόντες δὲ Ἑρμιόνην καὶ ἔνδοθεν τὰς τῶν βασιλείων ἀσφαλίσαντες πύλας ἀνῆλθον ἐν μετεώρῳ τῶν βασιλείων ἔχοντές τε τὴν Ἑρμιόνην καὶ ξίφος πρὸς τῇ δέρῃ αὐτῆς, καὶ μέλλοντες μετὰ τὴν ταύτης διαχείρισιν, ἂν μὴ σφᾶς Μενέλεως σώσῃ, καὶ τοὺς δόμους ὑφάψειν πυρί. Μενέλεως μὲν ὑπὸ τούτων Ἑλένην τεθνάναι μαθών, ἵνα κἂν σώσῃ τὴν παῖδα ἐλθών, ἤρξατο πορθεῖν τὰ βασίλεια, ἐπιφανεὶς δὲ Ἀπόλλων διήλλαξε τούτους, Ἑλένην μὲν εἰς οὐρανοὺς φήσας διακομίσαι, Μενέλεων δὲ ἑτέραν λαβεῖν κελεύσας γυναῖκα, Ὀρέστῃ δὲ Ἑρμιόνην συνάψαι μετὰ τὴν τοῦ φόνου κάθαρσιν· ἧς Ἀθήνησιν ἔτυχε, μετὰ Ἐριννύων εἰς Ἄρειον πάγον κριθεὶς, ὅτε καὶ καταδικασθῆναι μέλλοντα ὑπὸ πάντων θεῶν Ἀθηνᾶ ψῆφον βαλοῦσα νικῆσαι τοῦτον ἐποίησε. καὶ οὕτως Ὀρέστης ὕστερον Ἑρμιόνην γυναῖκα λαμβάνει κατὰ τὸ τοῦ Ἀπόλλωνος θέσπισμα, καὶ Ἄργους κρατεῖ, Πυλάδῃ δὲ Ἠλέκτραν δίδωσι, τὴν καὶ πρότερον ὑπ' αὐτοῦ κατεγγυηθεῖσαν τούτῳ. ἰστέον δὲ ὅτι πᾶσα τραγῳδία σύμφωνον ἔχει καὶ τὸ τέλος· ἐκ λύπης γὰρ ἄρχεται καὶ εἰς λύπην τελευτᾷ· τὸ παρὸν δὲ δρᾶμά ἐστιν ἐκ τραγικοῦ κωμικόν· λήγει γὰρ εἰς τὰς παρ' Ἀπόλλωνος διαλλαγὰς ἐκ συμφορῶν εἰς εὐθυμίαν κατηντηκός· ἡ δὲ κωμῳδία γέλωσι καὶ εὐφροσύναις ἐνύφανται.

3. εἰσελθόντες Matth. pro εἰσελθόντων.

12. διαχείρισιν Matth. pro διαχείρησιν.

ΔΗΜΗΤΡΙΟΥ ΤΡΙΚΛΙΝΙΟΥ

ΠΕΡΙ ΜΕΤΡΩΝ ΤΟΥ ΟΡΕΣΤΟΥ.

1.—139. Ἡ ΕΙΣΘΕΣΙΣ τοῦ δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου, οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρλη΄. ὧν τελευταῖος "τόνδ᾽ ἐξεγεῖραι συμφορὰ γενήσεται." ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

140.—165. Τὰ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα· εἰσὶ δὲ καὶ κατὰ σχέσιν. τῆς παρούσης οὖν στροφῆς τὰ κῶλα ιγ΄, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. ἐφεξῆς γὰρ κεῖται ἡνωμένη, καὶ οὐκ ἐκ διαστήματος. τὸ α΄ ἀσυνάρτητον ἐκ τροχαϊκοῦ ἰθυφαλλικοῦ καὶ ἰαμβικῆς βάσεως, ἐχούσης τὸν α΄ πόδα ἀνάπαιστον. τὸ β΄ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ γ΄ καὶ δ΄ παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ΄ καὶ ἰάμβου. τὸ ε΄ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον. τὸ ϛ΄ ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου α΄ καὶ παίωνος γ΄ καὶ συλλαβῆς. ἐν τῷ τῆς ἀντιστροφῆς κώλῳ ἀντίσπαστον ἔχει καὶ ἰωνικὸν ἀπ᾽ ἐλάττονος. τὸ ζ΄ ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν, ἐξ ἰωνικοῦ, διιάμβου καὶ μολοττοῦ, ἢ κρητικοῦ. τὸ δέ γε τῆς ἀντιστροφῆς κῶλον πεντασύλλαβον ἔχει διίαμβον. τὸ η΄ ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος δ΄ καὶ ἰωνικοῦ καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ θ΄ ἰαμβικὸν ἑφθημιμερὲς καθαρόν. τὸ ι΄ ὅμοιον, δίμετρον ἀκατάληκτον ἐκ χορείων. τὸ ια΄ ὅμοιον δίμετρον ἀκατάληκτον ἐξ ὁμοίων ποδῶν. τὸ ιβ΄ ὅμοιον δίμετρον βραχυκατάληκτον ἐξ ὁμοίων ποδῶν. τὸ ιγ΄ ἰωνικὸν τρίμετρον κατα-

4. ρλη΄] Immo ρλθ΄.

11. ἰαμβικὸν Matth. pro ἴαμβον.

14. τὸ ϛ΄—ὑπερκατάληκτον addita ex Bar. 74.

16. ἐλάττονος] τὸ ϛ΄ διίαμβον addit I., om. Bar. 74.

18. ἔχει διίαμβον addidit King. haud dubie ex Bar. 74.

ληκτικὸν ἐκ παίωνος δ', διιάμβου καὶ κρητικοῦ, ἢ δακτύλου. ἐπὶ τῷ τέλει ἀμφοτέρων παράγραφος.

154. ἴαμβος χρὴ εἶναι οὗτος ὁ στίχος, ὡς καὶ ὁ τῆς στροφῆς, διὸ οὕτως ἐγράφη παρ' ἡμῶν "ποίαν τύχαν, ποίαν δὲ συμφοράν." καὶ ἔστι τὸ ποι τὸ δεύτερον κοινὴ συλλαβὴ, διὸ καὶ τὸ παρ' ἡμῶν ἐπινοηθὲν ἐπὶ ταῖς κοιναῖς συλλαβαῖς ἐπετέθη σημεῖον, ὡς καὶ ἐν τοῖς ἄλλοις τοῖς τοιούτοις.

166.—173. Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς μὲν τῷ πρὸς τὰς στροφὰς, ὁμοιομερὲς δὲ τῷ μετὰ τὴν ἑξῆς κειμένην στροφὴν συστήματι, οὗ ἡ ἀρχὴ "θρόει τίς κακῶν." ἔστι δὲ κώλων η'. τὸ α' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἀντισπάστου, ἐπιτρίτου β' καὶ ἰάμβου. τὸ β' ἰαμβικὸν ἐφθημιμερές. τὸ γ' ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, Φερεκράτειον, ἐξ ἀντισπάστου καὶ κρητικοῦ· ἐνταῦθα δὲ τὸ κρητικὸν ἔχει τετρασύλλαβον. τὸ δ' ἰαμβικὸν ἐφθημιμερὲς, ὅμοιον τῷ β'. τὸ ε' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ς' ἐκ χορείων, ὅμοιον τῷ α'. τὸ ζ' παιωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος δ' καὶ κρητικοῦ. τὸ η' τροχαϊκὸν ἰθυφαλλικόν. εἰ δὲ βούλει, ἀντισπαστικὸν ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος.

174.—186. Ἡ δευτέρα αὕτη στροφὴ κώλων ἐστὶ ιγ'. τὸ α' τροχαϊκὸν πενθημιμερὲς ἐκ δύο χορείων· εἰ δὲ βούλει, ἰαμβικόν. τὸ β' καὶ γ' παιωνικὰ ἡμιόλια, ἐκ παιώνων δ' καὶ ἰάμβων. τὸ δ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον ἐκ χορείων· εἰ δὲ βούλει, ὅμοιον τῷ α', καὶ τῆς ἐκεῖ μακρᾶς διαλελυμένης ἐν τούτῳ. τὸ ε' ὅμοιον τῷ β'. τὸ ς' παιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παιώνων πρώτων β', τοῦ β' πενταβράχεος, καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ ζ' καὶ τὸ η' ὅμοια τῷ β' καὶ γ'. τὸ θ' παιωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β' καὶ α'. τὸ ι' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον ἐκ β' ἀναπαίστων καὶ ἰάμβου· εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος γ' καὶ διιάμβου. τὸ ια' δακτυλικὸν ἐφθημιμερές. τὸ ιβ' τροχαϊκὸν, ἢ ἰαμβικὸν ἐκ τριῶν χορείων καὶ συλλαβῆς. τὸ ιγ' ἰωνι-

8. τῷ πρὸς King. τῷ μετὰ τὴν πρὸς I.

12. τὸ γ'—τὸ ε' Kingius. τὸ γ' ἀντισπαστικὸν δίμετρον καταληκτικὸν φερεκράτειον ἐξ ἀντισπάστου ἐπιτρίτου β' καὶ ἰάμβου. τὸ γ' ἰαμβικὸν ἐφθημιμερές τὸ δ' ἰαμβικὸν ὅμοιον τῷ β'. τὸ ε' I.

25. κοῦ β' πενταβράχεος Matth. pro τοῦ α' πενταβράχεος. Πεντάβραχυν syllabas dicit —νόνιον ἐπὶ (v. 179.)

26. τῷ β' καὶ γ' addidit King.

κὸν ἀπὸ μείζονος τρίμετρον ἀκατάληκτον, ἐκ παίωνος α′ ἀντὶ ἰωνικοῦ, διτροχαίου καὶ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον, ἢ ἰωνικοῦ. ἐπὶ τῷ τέλει παράγραφος, καὶ διπλῆ ἔσω καὶ ἔξω νενευκυῖα, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, δηλοῦσα ἔχειν ἀνταπόδοσιν.

182. οὐχί: οὔμενουν χρὴ γράφειν ἐνταῦθα, ἢ οὐδαμῶς· ἁρμόζει γὰρ ἀμφότερα τῷ μέτρῳ, τὸ δὲ οὐχί ἐλλιπές ἐστιν.

187.—194. Τὸ παρὸν σύστημα ὅμοιόν ἐστι τῷ τῆς προειρημένης στροφῆς συστήματι, οὗ ἡ ἀρχὴ "ὁρᾷς ἐν πέπλοις." καὶ τούτῳ γὰρ κῶλα ὁμοίως ἐστὶν η′. ἐπὶ τῷ τέλει παράγραφος.

189. 190. οὐδὲ γὰρ πόθον ἔχει βορᾶς. πρόδηλος ἄρ' ὁ πότμος: ἴσχει πόθον, χρὴ γράφειν, οὐ πόθον ἔχει· οὕτω γὰρ ἔχει πρὸς τὸ τοῦ πρώτου συστήματος κῶλον οἰκείως. καὶ τὸ ἄρα δὲ ἐνταῦθα, εἰ καὶ συμπερασματικόν ἐστιν, ἀλλ' οὖν ἀντὶ μακροῦ λαμβάνεται παρὰ τοῖς ποιηταῖς, ὡς καὶ τὸ ἀπορηματικὸν ἐνίοτε ἀντὶ βραχέος. διὸ τοῦτο μὲν περισπᾶται ἀντιστρόφως, ἐκεῖνο δὲ ὀξύνεται.

194. Δίκα ἐνταῦθα γράφε, μὴ δίκαια· οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς.

195.—207. Ἡ ἀντιστροφὴ αὕτη τῆς β′ στροφῆς, ἧς ἡ ἀρχὴ "πότνια πότνια νύξ" καὶ αὐτὴ κώλων ἐστὶν ὁμοίων ἐκείνῃ καὶ ἰσομέτρων ιγ′, ἐν μέντοι τῷ ϛ′ κώλῳ πεντασυλλάβους ἔχει τοὺς δύο παίωνας· ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ τελευταίου κώλου, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι μὲν ἔξω νενευκυῖαι, δηλοῦσαι ὅτι τέλος ἔσχε τὰ ἀποδιδόμενα, ἤτοι τὰ ἀνταποδιδόμενα, ἐν τῷ ιβ′ κώλῳ.

208.—315. Αἱ ἑξῆς αὗται ἀμοιβαὶ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρη′, ὧν τελευταῖος "κάματος βροτοῖσιν ἀπορία τε γίνεται." μετὰ μέντοι τὸν ξζ′ στίχον καὶ τὸν ξθ′ κῶλα δύο μονόμετρα βραχυκατάληκτα. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

316.—331. Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται. ἔστι δὲ τὸ ᾆσμα μιᾶς στροφῆς, εἰσὶ δὲ τὰ κῶλα τῆς στροφῆς ιϛ′, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α′ ἰαμβικὸν

1. ἐκ παίωνος—διτροχαίου King. καὶ παίωνος α′ ἀντὶ ἰωνικοῦ δ′ τροχαίου I.
3. διπλῆ Barnes. διπλῆς I.
8. τούτῳ—κῶλα ὁμοίως ἐστὶν] King. τοῦτο—τὸ κῶλον ὅμοιόν ἐστι τῷ I.
14. διὸ] διὰ I.
19. καὶ αὐτὴ] καὶ αὕτη I.
26. ρη′ scripsi pro ρκη′.

μονόμετρον βραχυκατάληκτον, ἤτοι κώλου τμῆμα. τὸ β′ παιωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παιώνων δ′ δύο. τὸ γ′ ὅμοιον ἡμιόλιον ἐκ παίωνος δ′ καὶ ἰάμβου. τὸ δ′ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου, παίωνος α′ καὶ κρητικοῦ διὰ τὴν ἀδιάφορον. τὸ ε′ καὶ τὸ γ′ κατὰ πάντα ὅμοια. τὸ ϛ′ ὅμοιον τῷ δ′. τὸ ζ′ χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου, ἐπιτρίτου α′ καὶ κρητικοῦ διὰ τὴν ἀδιάφορον. τὸ τῆς ἀντιστροφῆς δὲ κῶλον πεντασύλλαβον ἔχει τὸν ἐπίτριτον. τὸ η′ ἀσυνάρτητον ἐκ παιωνικῶν ἡμιολίων δύο συγκείμενον. ἕκαστον δὲ ἐκ παίωνός ἐστι δ′ καὶ ἰάμβου. τὸ θ′ καὶ ι′ κατὰ πάντα ὅμοια. τὸ ια′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου α′, παίωνος α′ καὶ συλλαβῆς· εἰ δὲ βούλει, ἀκατάληκτον. τὸ ιβ′ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ μολοσσοῦ. τὸ δέ γε τῆς ἀντιστροφῆς κῶλον ἐπίτριτον ἔχει γ′ ἀντὶ χοριάμβου. τὸ ιγ′ ἐξ ἐπιτρίτου γ′ καὶ α′ καὶ συλλαβῆς. τὸ ιδ′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τῶν β′ πρώτων ποδῶν χορείων. τὸ ιε′ παιωνικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παιώνων δ′ δύο, τοῦ β′ ἐνταῦθα μὲν πεντασυλλάβου, ἐν δὲ τῷ τῆς ἀντιστροφῆς κώλῳ ἑξασυλλάβου, καὶ κρητικοῦ διὰ τὴν ἀδιάφορον. τὸ ιϛ′ ἰωνικὸν ἀπ᾽ ἐλάττονος τρίμετρον καταληκτικὸν ἐκ παίωνος δ′ ἀντὶ ἰωνικοῦ, διιάμβου καὶ κρητικοῦ. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνίς.

323. Τινύμεναι διὰ τὸ μέτρον ἐν ν′ ὀφείλεις γράφειν. οὕτω γὰρ ἔχει πρὸς τὸ κῶλον τῆς ἀντιστροφῆς οἰκείως.

348.—355. Τοῦτο οὐκ ἔστιν ἐπῳδὸς, ὡς ἄν τις ἴσως οἰηθείη διὰ τὸ κεῖσθαι μετὰ τὴν στροφὴν καὶ ἀντιστροφὴν, ἀλλὰ καλεῖται σύστημα ἐπιφθεγματικὸν, ὡς προσφθεγγόμενον τὸν Μενέλαον προσιόντα. αἱ μὲν γὰρ ἐπῳδοὶ οὐκ εἰσὶ μονοειδοῦς μέτρου, ἀλλὰ διάφοροι, τοῦτο δὲ μονοειδοῦς· κώλων γάρ ἐστιν ἀναπαιστικῶν η′, ὧν τὸ γ′ καὶ τὸ ϛ′ μονόμετρα, ἤτοι ἀναπαιστικὴ βάσις, τὰ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ η′ καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος.

356.—728. Αἱ ἑξῆς αὗται περίοδοι τριμέτρων ἀκαταλήκτων

2. παιώνων δ′ Matth. παιώνων δὲ I.
3. τρίμετρον King. δίμετρον I.
4. τὸ ε′—τῷ δ′ King. τὸ ε′ καὶ τὸ ϛ′ μὲν πάντα ὅμοια I.

13. δέ γε scripsi pro δὲ ιγ′: Conf. p. 10, 18.
14. τὸ ιγ′—καὶ συλλαβῆς addidit Matth.

εἰσὶν τοα΄, ὧν τελευταῖος "κρείσσων γαλήνης ναυτίλοισιν εἰσορᾶν." ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

523. ἀμυνῶ: οὐ χρὴ γράφειν ἀμύνω ἐπὶ ἐνεστῶτος, μακρὰ γάρ ἐστιν ἐπὶ τοῦ ἐνεστῶτος τὰ διὰ υνω ῥήματα· ἀλλ' ἀμυνῶ ἐπὶ μέλλοντος. οὕτω γὰρ ἁρμόζεται τῷ μέτρῳ. ὁ γὰρ μέλλων τῆς ε΄ συζυγίας τῶν βαρυτόνων τὰ ἀμετάβολα, φησὶ, τηρεῖ μετὰ συστολῆς τῆς παραληγούσης, καὶ περισπωμένου τοῦ τόνου.

729.—806. Ἁρμοδίως ἐνταῦθα τῷ τροχαϊκῷ ἐχρήσατο μέτρῳ πρὸς σπουδὴν τοῦ ὑποκριτοῦ· εἰσὶ γὰρ οἱ ἐντεῦθεν στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ οη΄, ὧν τελευταῖος "μυρίων κρείσσων ὁμαίμων ἀνδρὶ κεκτῆσθαι φίλος." ἐπὶ τῷ τέλει κορωνίς.

807.—830. Τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδικὰ, ὡς εἴρηται. ἔστι δὲ τὰ παρόντα τριὰς ἐπῳδικὴ, καὶ εἰσὶ τῆς στροφῆς τὰ κῶλα ιβ΄, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ διτροχαίου πεντασυλλάβου καὶ χοριάμβου· εἰ δὲ βούλει, ἰωνικὸν, ἢ παιωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παιώνων δύο α΄ καὶ β΄ καὶ συλλαβῆς. τὸ β΄ καὶ τὸ γ΄ ὅμοια κατὰ πάντα. τὸ δὲ δ΄ ἰωνικὸν τρίμετρον ἀκατάληκτον ἐκ παίωνος δ΄, ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἐπιτρίτου β΄. τὸ ε΄ ἐπιχοριαμβικὸν τρίμετρον ἀκατάληκτον, καλούμενον Εὐπολίδειον, ἑκατέρωθεν ἔχον ἰαμβικὰς συζυγίας, μέσον δὲ τὸν χορίαμβον, καὶ ἔστι τῶν πολυσχηματίστων. τὸ ϛ΄ ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος δ΄, ἰωνικοῦ καὶ τροχαίου. ἔχει δὲ ἐνταῦθα τὸν ἰωνικὸν πεντασύλλαβον. τὸ ζ΄ ἀναπαιστικὸν πενθημιμερές. ἐνταῦθα δὲ καὶ δάκτυλον ἔχει τὸν α΄ πόδα. τὸ η΄ ὅμοιον ἐφθημιμερές. εἰ δὲ ἐν τοῖς κώλοις ἀναρμόστως οἱ πόδες κεῖνται, οὐ θαῦμα· τοῦ αὐτοῦ γὰρ μέτρου εἰσὶν ἀμφότεροι, ὅ τε δάκτυλος καὶ ὁ ἀνάπαιστος. τὸ θ΄ προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπ' ἐλάττονος καὶ χοριάμβου διὰ τὴν ἀδιάφορον. ἐνταῦθα δὲ πεντασύλλαβον ἔχει τὸν ἰωνικόν. τὸ ι΄ ἰωνικὸν ἀπ' ἐλάτ-

15. διτροχαίου King. διτρόχου I.

16. ἐκ παιώνων δύο α΄ καὶ β΄ καὶ συλλαβῆς] ἐκ παιώνων δ΄, ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἐπιτρίτου δευτέρου I. Correctum et Bar. 74.

23. ἐνταῦθα—] King. haec transposuit: — πενθημιμερές. εἰ δὲ ἐν τοῖς κώλοις—καὶ ὁ ἀνάπαιστος. τὸ η΄ ὅμοιον ἐφθημιμερές. ἐνταῦθα δὲ καὶ δάκτυλον ἔχει τὸν α΄ πόδα. Mihi ultima spuria esse videntur: scripsisset, puto, metricus: ἔχει δὲ καὶ ἐνταῦθα δάκτ. τὸν α΄ π. MATTH.

27. ἀκατάληκτον Matth. καταληκτικὸν I.

τονος τρίμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτου γ' ἀντὶ ἰωνικοῦ, καὶ σπονδείου. τὸ ια' ἰαμβικὸν ἐφθημιμερὲς, τοῦ β' ποδὸς ἀναπαίστου· εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β' καὶ ἐπιτρίτου β'. τὸ ιβ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ τῆς ἀντιστροφῆς παράγραφος.

823. ἀσέβεια μεγάλη: ἀσέβεια ποικίλη γράφε, μὴ μεγάλη, ἵν' οἰκείως ἔχῃ τὸ κῶλον πρὸς τὸ τῆς στροφῆς. αὕτη ἡ κατασκευὴ πρὸς τὸ οὐ καλὸν διὰ μέσου ῥηθέντος. Bar. 74.

829. τιμῶν χάριν: τίνων χάριν γράφειν δεῖ καὶ μὴ τιμῶν. τοῦτο μὲν γὰρ μακρὸν ἔχει τὸ ι, ἐκεῖνο δὲ βραχύ. καὶ μὴ ἐσαεί, ἀλλ' ἐσαιεί· οὕτω γὰρ ἔχει τὰ κῶλα οἰκείως πρὸς τὰ τῆς στροφῆς. Bar. 74.

832.—844. Τῆς ἐπῳδοῦ ταύτης τὰ κῶλά ἐστι ιγ'. τὸ α' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, ἐκ δύο δακτύλων καὶ δύο ἀναπαίστων, τοῦ β' διαλελυμένου καὶ γεγονότος προκελευσματικοῦ, ἤτοι τετραβράχεος. τὸ β' ἀναπαιστικὴ βάσις, ἤτοι μονόμετρον. εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον ὑπερκατάληκτον. τὸ γ' ἀσυνάρτητον ἐκ δακτυλικοῦ διμέτρου καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. εἰ δὲ βούλει, ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου τετάρτου, διιάμβου καὶ βακχείου. τὸ δ' τροχαϊκὸν ἰθυφαλλικὸν, τοῦ γ' ποδὸς ἀναπαίστου. εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάσσονος, ἐκ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β' καὶ ἀναπαίστου. καὶ ἔστιν ἐφθημιμερές. τὸ ε' ὅμοιον ἰωνικὸν ἐξ ἐπιτρίτου α' καὶ ἀναπαίστου. τὸ ϛ' παιωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παιώνων πρώτων δύο καὶ συλλαβῆς. τὸ ζ' ἀναπαιστικὸν ἐφθημιμερές. τὸ η' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ α' ποδὸς ἀναπαίστου. εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάττονος ἐφθημιμερὲς ἐκ παίωνος γ' ἀντὶ ἰωνικοῦ καὶ μολοσσοῦ. τὸ θ' χοριαμβικὸν δίμετρον ἀκατάληκτον διὰ τὴν ἀδιάφορον. τὸ ι' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου β' πεντασυλλάβου καὶ χοριάμβου, τὸ ια' προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐκ χοριάμβου, ἰωνικοῦ ἀπὸ μείζονος καὶ συλλαβῆς. τὸ ιβ' τροχαϊκὸν ἐφθημιμερὲς, τῶν πρώτων δύο ποδῶν χορείων. τὸ ιγ' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου, διιάμβου καὶ

25. ἀναπαιστικὸν addidit King.

συλλαβῆς. ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος· ταῦτα γάρ ἐστι σημεῖα τοῦ τέλους τῆς ἐπῳδοῦ.

844.—959. Αὗται αἱ περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ριγ΄. ὧν τελευταῖος "ὡς εἰς στεναγμοὺς καὶ γόους δραμουμένη." ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

960—970. Τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ σχέσιν, ὡς εἴρηται, καὶ εἰσὶ τῆς παρούσης στροφῆς τὰ κῶλα ια΄, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τὸ α΄ ἴαμβος τρίμετρος ἀκατάληκτος καθαρός. τὸ β΄ ὅμοιον, ἐπιμεμιγμένον χορείοις. τὸ γ΄ τροχαϊκὸν ἰθυφαλλικόν. τὸ δ΄ ὅμοιαν τῷ β΄. τὸ ε΄ ἀσυνάρτητον, ἐκ β΄ τροχαϊκῶν πενθημιμερῶν. τὸ ς΄ ἴαμβος τρίμετρος. τὸ ζ΄ ὅμοιον, ἐπιμεμιγμένον καὶ ἑτέροις ποσί. τὸ η΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ θ΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ α΄ ποδὸς χορείου, τοῦ β΄ ἀναπαίστου. τὸ ι΄ τροχαϊκὸν ἑφθημιμερὲς, ὃ καλεῖται Εὐριπίδειον, ἢ ληκύθιον. τὸ ια΄ ἀσυνάρτητον ἐξ ἰαμβικῆς βάσεως, καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐπὶ τῷ τέλει ἀμφοτέρων παράγραφος.

973. οὕτω χρὴ γράφειν καὶ τὰ παρόντα κῶλα, ἵν' εἴη πρὸς τὰ μέτρα ὀρθά· καὶ ὁ οἶκος ὁ πάλαι διὰ τὰς εὐδαιμονίας ζηλωτὸς ὢν βέβηκε καὶ οἴχεται. καὶ τὸν ἄλλον στίχον "πολύστονά τε δὴ καὶ πολύπονα," ἵν' εἴη ἴαμβος, ὡς ὁ τῆς στροφῆς. ἐλλιπὴς γὰρ ἦν, διὸ καὶ διωρθώθη παρ' ἡμῶν, καὶ οἶμαι ὡς καλῶς.

982.—1012. Μετὰ τὴν κατὰ σχέσιν στροφὴν ἑτέραν τίθησιν ἀπολελυμένην στροφήν· εἰσὶ γὰρ τὰ παρόντα εἴδη μονόστροφα καὶ συστηματικὰ κατὰ περιορισμοὺς ἀνίσους, καὶ μετρικὰ ἄτακτα. τὰ κῶλα πάντα λζ. τὸ α΄ περίοδος ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς βάσεως. τὸ β΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον καθαρόν. τὸ γ΄ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ δ΄ ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος δ΄, ἰωνικοῦ ἀπὸ μείζονος κατὰ συνίζησιν καὶ ἰάμβου. τὸ ε΄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ς΄ ἰωνικὸν ἀπ' ἐλάτ-

10. τροχαϊκὸν ἰθυφαλλακόν] ἰαμβικὸν ἑφθημιμερές King. Et recte, si Triclinius in stropha (962.) τὰν αἱματηρὸν ἄταν, in antistropha (973.) ζηλωτὸς ὢν ποτ' οἶκος legit, pro vera scriptura αἱματηρὸν ἄταν et ζῆλος ὢν ποτ' οἴκοις.

12. ἑτέροις ποσὶ King. ἕτερος πούς I.

24. εἰσὶ—εἴδη add. Bar. 74., om. I.

30. ἰαμβικὸν King. ἰωνικὸν I.

ib. τὸ ς΄—ὑπερκατάληκτον add. Bar. 74., om. I.

τονος δίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου α', παίωνος δ' ἀντὶ ἰωνικοῦ καὶ συλλαβῆς. τὸ ζ' ὅμοιον τῷ β'. τὸ η' ὅμοιον ἐκ χορείων δι' ὅλου. τὸ θ' ἰαμβικὴ βάσις. τὸ ι' τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ια' ἀσυνάρτητον ἐξ ἀναπαιστικῆς βάσεως καὶ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου· εἰ δὲ βούλει, χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ σπονδείου, διιάμβου καὶ σπονδείου αὖθις. τὸ ιβ' ὅμοιον τῷ β'. τὸ ιγ' ὅμοιον ἑφθημιμερὲς, τοῦ β' ποδὸς χορείου. τὸ ιδ' ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰωνικοῦ ἀπ' ἐλάττονος, διιάμβου καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ ιε' ὅμοιον τῷ ιγ', καθαρὸν ἰαμβικόν. τὸ ις' ἀσυνάρτητον ἐκ δύο τροχαϊκῶν ἑφθημιμερῶν· εἰ δὲ βούλει, ἐξ ἰθυφαλλικῶν καὶ ἰαμβικῆς βάσεως. τὸ ιζ' τροχαϊκὸν πενθημιμερές. τὸ ιη' ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος α', ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β'· εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ α' ποδὸς δακτύλου. τὸ ιθ' ὅμοιον τῷ β'. τὸ κ' ὅμοιον τῷ γ'. τὸ κα' ἴαμβος τρίμετρος. τὸ κβ' ὅμοιον τῷ ιε'. τὸ κγ' ὅμοιον κατὰ πάντα τῷ η'. τὸ κδ' ἀναπαιστικὸν πενθημιμερές. τὸ κε' τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, τοῦ α' ποδὸς χορείου, ὃ καλεῖται Στησιχόρειον, ἔχον τὸ Πινδαρικὸν ἔθος, ἴαμβον δηλονότι τὸν τελευταῖον πόδα. τὸ κς' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ α' ποδὸς χορείου. τὸ κζ' ὅμοιον καθαρὸν ἰαμβικόν. τὸ κη' ὅμοιον τῷ κδ'. τὸ κθ' δακτυλικὸν τετράμετρον· κατὰ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικὰ, ὡς εἴρηται. τὸ λ' ὅμοιον. τὸ λα' ἀναπαιστικὴ βάσις· εἰ δὲ βούλει, δακτυλικὸν τρίμετρον. τὸ λβ' ὅμοιον καταληκτικὸν, ἤτοι ἑφθημιμερές. τὸ λγ' ἀναπαιστικὴ βάσις. τὸ λα', εἰ καὶ ἀναπαιστικὴ βάσις ἐγράφη, ἀλλ' οὐκ ἔστιν· ἔστι γὰρ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. ὡσαύτως καὶ τὸ λγ' δακτυλικὸν τρίμετρον. τὸ λδ' ὅμοιον, δίμετρον ἀκατάληκτον, τοῦ α' ποδὸς ἔχοντος συνίζησιν τῶν δύο βραχέων εἰς βραχὺ, ἵνα ἀνάπαιστος γένηται. τὸ λε' ὅμοιον καθαρόν. τὸ λς' ὅμοιον τῷ γ' Εὐριπίδειον. τὸ λζ' ὅμοιον κατὰ πάντα τῷ ιε', οἷου βούλει μέτρου. ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

16. τῷ ιε' King. τῷ ε' I.
ib. τὸ κδ' King. τὸ κδ' ὅμοιον I.
21. κδ'. τὸ addidit King.
ib. δακτυλικὸν τρίμετρον] ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον King.
26. ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον King. ἀναπαιστικὴ δίμετρος ἀκατάληκτος I.

1013—1017. Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, κώλων ἀναπαιστικῶν ἕξ. ὧν τὸ δ' μονόμετρον, τὰ δὲ λοιπὰ δ' δίμετρα ἀκατάληκτα, τὸ δὲ ϛ' καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος.

1018—1245. Καὶ αἱ ἑξῆς αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σκή, ὧν τελευταῖος "ἢ ζῆν ἅπασιν ἢ θανεῖν ὀφείλεται." μετὰ δὲ τὸν λδ' καὶ τὸν ρλζ' τμῆμα κώλου τὸ φεῦ. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

1248—1250. Τὰ ἑξῆς ταῦτα εἴδη καλεῖται καὶ, ὡς εἴρηται, ἀλλοιόστροφα· εἰσὶ δὲ κατὰ σχέσιν. τῆς παρούσης οὖν στροφῆς τὰ κῶλα εἰσὶ ε'. τὸ α' ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν ἐκ παίωνος β' ἀντὶ ἰωνικοῦ καὶ κρητικοῦ. τὸ β' ὅμοιον τρίμετρον ἀκατάληκτον ἐκ παίωνος β', ἰωνικοῦ πεντασυλλάβου καὶ ἐπιτρίτου α'. τὸ γ' ὅμοιον τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος δ' ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, διιάμβου καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ δ' παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ δύο παιώνων δ'. τὸ ε' ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος β' ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος καὶ διιάμβου. ἐπὶ τῷ τέλει παράγραφος καὶ δύο διπλαῖ διὰ τὴν ἀνταπόδοσιν, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. Bar. 74.

1251. 1252. Σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν β'. ἐπὶ τῷ τέλει παράγραφος.

1248. 1249. τίνα θροεῖς λόγον, σὺ πότνια: οὕτω χρὴ γράφειν τόδε τὸ κῶλον· οὕτω γὰρ ἔχει οἰκείως πρὸς τὸ κῶλον τῆς ἀντιστροφῆς· εἰ δὲ ἄλλως γράψεις, οὐχ ἁρμόσει τῷ μέτρῳ. Bar. 74.

1253.—1257. Ἡ β' αὕτη στροφὴ κώλων ἐστὶ ε'. τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τῶν δύο πρώτων ποδῶν χορείων. τὸ β' παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ' καὶ ἰάμβου. τὸ γ' ἰωνικὸν ἀκατάληκτον τρίμετρον ἐκ παιώνων β' ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος καὶ διιάμβου διὰ τὴν ἀδιάφορον. τὸ δ' ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ β' καὶ γ' ποδὸς ἀναπαίστου· εἰ δὲ βούλει, προσοδιακὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος β', ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ χοριάμβου καὶ συλλαβῆς. τὸ ε' ὅμοιον ἀντεστραμμένον πρῶτον ἔχον τὸν χορί-

29. ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος delevit β' ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος. King. Sed sic paullo post παίωνος; 31. δίμετρον King. τρίμετρον I.

αμβον· εἰ δὲ βούλει, δακτυλικὸν ἐφθημιμερές. εἶτα παράγραφος καὶ β′ διπλαῖ.

1258. 1259. Σύστημα κατὰ περικοπὴν στίχων ἰαμβικῶν τριῶν. ἐπὶ τῷ τέλει παράγραφος.

1261.—1265. Ἡ γ′ αὕτη στροφὴ κώλων ἐστὶν ε′. τὸ α′ καὶ β′ παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ′ καὶ ἰάμβου. τὸ γ′ ἰαμβικὸν καθαρὸν ἐφθημιμερές. τὸ δ′ ἀναπαιστικὴ βάσις, εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος, μονόμετρον ὑπερκατάληκτον. τὸ ε′ ὅμοιον τῷ α′. ἐπὶ τῷ τέλει παράγραφος καὶ δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἐκτὸς νενευκυῖα, ἡ δὲ κατὰ τὸ τέλος, ἐντὸς νενευκυῖα.

1266.—1270. Ἡ ἀντιστροφὴ αὕτη τῆς α′ ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ "Μυκηνίδες ὦ φίλαι." κώλων γάρ ἐστι καὶ αὕτη ε′ ἰσομέτρων ἐκείνοις. τὸ μέντοι α′ κῶλον τετρασύλλαβον ἔχει τὸν κρητικόν. τὸ δὲ β′ οὐ καλῶς εἶχε· διὸ καὶ ἀντιγέγραπται παρ' ἐμοῦ, καὶ ἔχει νῦν ὀρθῶς. ἐπὶ τῷ τέλει παράγραφος.

1271. 1272. Κατὰ περικοπὴν ἴαμβοι β′ τρίμετροι. ἐπὶ τῷ τέλει παράγραφος. Bar. 74.

1273.—1277. Ἡ ἀντιστροφὴ αὕτη τῆς β′ ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ "τί δέ με τόδε χρέος." κώλων γάρ ἐστι καὶ αὕτη ἰσομέτρων ἐκείνῃ ε′. ἐπὶ τῷ τέλει παράγραφος.

1278.—1280. Κατὰ περικοπὴν ἴαμβοι τρίμετροι γ′. ἐπὶ τῷ τέλει παράγραφος. Bar. 74.

1281.—1285. Ἡ ἀντιστροφὴ αὕτη τῆς τρίτης ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ "δόχμια νῦν κόρας." καὶ αὕτη γὰρ κώλων ἐστὶν ὁμοίων ἐκείνῃ ε′, ἐν μέντοι τῷ ε′ κώλῳ ἀντὶ ἰάμβου ἔχει σπονδεῖον· ἀδιάφοροι γάρ εἰσιν αἱ καταλήξεις τῶν κώλων καὶ ὁ παρατέλευτος πούς· ἔνθα γὰρ ἰαμβικὴ κεῖται συζυγία, ἐναλλάττουσι τοὺς χρόνους, καὶ ἀντὶ διιάμβου ἐπιτιθέασιν ἐπίτριτον, ὃς σύγκειται ἐκ σπονδείου καὶ ἰάμβου, ἢ ἐξ ἰάμβου καὶ σπονδείου. ἔστι δὲ ὅτε κεῖται καὶ δισπόνδειον. ἐπὶ τῷ τέλει τῆς παρούσης ἀντιστροφῆς παράγραφος.

1288.—1290. Τὰ ἑξῆς ταῦτα εἴδη καλεῖται κυρίως ἀνομοιόστροφα, διὰ τὸ μὴ εἶναι κατὰ σχέσιν. ἔστι γοῦν τῆς παρούσης

9. δύο addidi.
10. ἐντὸς Barnes. ἐκτὸς I.
11. ἧς ἡ ἀρχὴ addidit King.
16. περικοπὴν scripsi pro ἀποκοπήν.
28. σύγκειται Matth. pro κεῖται.
29. κεῖται Matth. pro σύγκειται.

στροφῆς τὰ κῶλα δ′. τὸ α′ παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ′ καὶ σπονδείου. τὸ β′ ἰωνικὸν ἀπ' ἐλάσσονος ἡμιόλιον ἐξ ἰωνικοῦ καὶ σπονδείου. τὸ γ′ καὶ δ′ ὅμοια τῷ πρώτῳ. ἐπὶ τῷ τέλει παράγραφος.

1291. 1292. *Κατὰ περικοπὴν στίχοι β′ ἰαμβικοί. [ἐπὶ τῷ τέλει παράγραφος.* Bar. 74.

1295. a. b. *Ἡ στροφὴ αὕτη κώλων ἐστὶ β′. τὸ α′ ἀντισπαστικὸν ἡμιόλιον ἐξ ἀντισπάστου καὶ τροχαίου. τὸ β′ ἰαμβικὸν καθαρὸν πενθημιμερές. ἐπὶ τῷ τέλει παράγραφος.*

1296.—1298. *Κατὰ περικοπὴν στίχοι ἰαμβικοὶ γ′. ἐπὶ τῷ τέλει παράγραφος.*

1299.—1300. *Ἡ στροφὴ αὕτη κώλων ἐστὶ β′. τὸ α′ δακτυλικὸν τετράμετρον. τὸ β′ ἀσυνάρτητον ἐκ δακτυλικῆς διποδίας καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐπὶ τῷ τέλει παράγραφος.*

1302.—1310. *Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων η′. τὸ α′ δακτυλικὸν τετράμετρον καθαρόν. τὸ β′ καὶ γ′ καὶ τὸ δ′ καὶ ε′ ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα· ἔχει δὲ τὸ γ′ τὸν β′ πόδα προκελευσματικόν, ἤτοι τετράβραχυν, τὸ δὲ ε′ τὸν β′ πόδα χορεῖον. τὸ ϛ′ ἰαμβικὸν ἑφθημιμερὲς ἐκ χορείων. τὸ ζ′ ὅμοιον. τὸ η′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.*

1311.—1360. *Αἱ ἑξῆς αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων μη′, ὧν τελευταῖος "τὰς μὲν γὰρ οἶδα συμφοράς, τὰς δ' οὐ σαφῶς." μετὰ δὲ τὸν μβ′ κῶλα τρία. τὸ α′ ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον ἀκατάληκτον ἐξ ἰαμβικῆς συζυγίας καὶ παιώνων β′ ἀντὶ ἰωνικοῦ. τὸ β′ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν. τὸ γ′ ἰωνικὸν ἐξ ἰωνικοῦ ἀπὸ ἐλάττονος, διιάμβου καὶ δακτύλου. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος καὶ ἐπὶ τῷ τέλει κορωνίς.*

1361.—1368. *Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς κώλων καὶ στίχων θ′. τὸ α′ παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ′ καὶ ἰάμβου. τὸ β′ ὅμοιον δίμετρον ὑπερκατάληκτον, ἐκ παιώνων β′ δύο καὶ συλλαβῆς· εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερὲς, τοῦ β′ ποδὸς χορείου,*

31. *παίωνος δ′* King. *παίωνος α′* I.
32. *δύο* addidit King.

τοῦ δὲ γ΄ δακτύλου. τὸ γ΄ ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον. τὸ δ΄ ἰαμβικὸν [δίμετρον ἀκατάληκτον ἐκ τριῶν χορείων καὶ πυρριχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφορον. τὸ ε΄ τροχαϊκὸν πενθημιμερές· εἰ δὲ βούλει, ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου δ΄ καὶ συλλαβῆς. τὸ ζ΄, η΄, θ΄ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει παράγραφος.

1369.—1379. Τὰ τοιαῦτα εἴδη καλεῖται μονοστροφικὰ καὶ μετρικὰ ἄτακτα. εἰσὶ δὲ καὶ ἀνομοιόστροφα· οὐ γὰρ ἔχει σχέσιν πρὸς τὸ ἑξῆς. τὰ δὲ κῶλα τῆς παρούσης στροφῆς εἰσὶν ια΄. τὸ α΄ ἰωνικὸν τρίμετρον ἀκατάληκτον ἐκ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου δ΄, παίωνος β΄ ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ διτροχαίου. τὸ β΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ γ΄ ἰαμβικὸν τρίμετρον καταληκτικόν. τὸ δ΄ τροχαϊκὸν ἐφθημιμερὲς Εὐριπίδειον. τὸ ε΄ δακτυλικὸν τρίμετρον ἐκ σπονδείων. τὸ ς΄ τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ζ΄ ὅμοιον ἐφθημιμερές. τὸ η΄ ὅμοιον δίμετρον ἀκατάληκτον, τοῦ α΄ ποδὸς χορείου, τοῦ δὲ τελευταίου ἀδιαφόρου· εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ΄ καὶ β΄ ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος καὶ συλλαβῆς. τὸ θ΄ ἰαμβικὸν ἐφθημιμερές, τοῦ γ΄ ποδὸς χορείου. τὸ ι΄ τροχαϊκὸν ἐφθημιμερές. τὸ ια΄ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ δακτύλου. ἐπὶ τῷ τέλει παράγραφος. ἐν εἰσθέσει στίχος ἴαμβος τρίμετρος.

1381.—1392. Καὶ ἡ παροῦσα στροφὴ μονόστροφός ἐστι κώλων ιε΄. τὸ α΄ ἀναπαιστικὸν ἐφθημιμερές. τὸ β΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ α΄ ποδὸς χορείου. τὸ γ΄ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν ἐξ ἰωνικοῦ καὶ χορείου, ἢ ἀναπαιστικοῦ διὰ τὴν ἀδιάφορον. τὸ δ΄ τροχαϊκὸν ἐφθημιμερὲς Εὐριπίδειον. τὸ ε΄ ὅμοιον τῷ β΄, τροχαϊκὸν καθαρόν. τὸ ς΄ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ κρητικοῦ. εἰ δὲ βούλει, τροχαϊκὸν ὅμοιον τῷ δ΄, ἰάμβου ἀρχομένου. τὸ ζ΄ ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν ἐκ παίωνος δ΄, ἰωνικοῦ καὶ ἀμφιβραχέος, ἢ βακχείου διὰ τὴν ἀδιάφορον. τὸ η΄ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ διιάμβου καὶ χοριάμβου. τὸ θ΄ ἰαμβικὸν ἐφθημιμερές, τοῦ γ΄ ποδὸς χορείου· εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου γ΄,

4. δ΄ King. α΄ I. delevit King.
14. τροχαϊκὸν] ἐφθημιμερὲς add. I., 18. τὸ ι΄—τὸ ια΄ addidit King.

καὶ παίωνος δ΄. τὸ ι΄ παιωνικὸν ἡμιόλιον ἐκ παίωνος δ΄ καὶ σπονδείου. τὸ ια΄ τροχαϊκὸν ὅμοιον τῷ ε΄. τὸ ιβ΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ιγ΄ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παιώνων δ΄ δύο. τὸ ιδ΄ δακτυλικὸν τετράμετρον καθαρόν. τὸ ιε΄ ὅμοιον ἐφθημιμερὲς, ὃ καλεῖται λογαοιδικὸν, διὰ τὸ ἔχειν ἐπὶ τῷ τέλει τροχαϊκὴν συζυγίαν. ἐπὶ τῷ τέλει παράγραφος, ἐν εἰσθέσει δὲ στίχοι ἴαμβοι τρίμετροι β΄, εἶτα παράγραφος.

1395.—1424. Καὶ ἡ παροῦσα στροφὴ μονόστροφός ἐστι κώλων λβ΄. τὸ α΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον· εἰ δὲ βούλει, ἀσυνάρτητον ἐκ δακτυλικῆς καὶ ἀναπαιστικῆς βάσεως. τὸ β΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ γ΄ ἰαμβικὸν πενθημιμερὲς, τοῦ α΄ ποδὸς χορείου. τὸ δ΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, ἔχον συνίζησιν κατὰ τὸν α΄ πόδα. τὸ ε΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ α΄ ποδὸς χορείου, τοῦ δ΄ ἀναπαίστου. τὸ ϛ΄ τροχαϊκὸν τρίμετρον ὑπερκατάληκτον. τὸ ζ΄ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ η΄ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον, ἔχον κατὰ τὸν ε΄ πόδα συνίζησιν. τὸ θ΄ ἀναπαιστικὸν ἐφθημιμερές. τὸ ι΄ ὅμοιον δίμετρον ἀκατάληκτον, τοῦ δ΄ ποδὸς χορείου, ἢ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ ια ὅμοιον καθαρόν. τὸ ιβ΄ ὅμοιον. τὸ ιγ΄ ἀσυνάρτητον ἐξ ἀναπαιστικῆς βάσεως, ἢ δακτυλικῆς (δύο γάρ εἰσι σπονδεῖοι) καὶ ἰαμβικοῦ πενθημιμεροῦς. τὸ ιδ΄ ἰαμβικὴ βάσις, ἤτοι μονόμετρον. τὸ ιε΄ τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. τὸ ιϛ΄ ὅμοιον δίμετρον ὑπερκατάληκτον. τὸ ιζ΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ιη΄ ὅμοιον, δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερές. τὸ ιθ΄ ὅμοιον τρίμετρον καταληκτικὸν, τοῦ δ΄ ποδὸς χορείου· ἴαμβος γάρ ἐστι τρίμετρος ἐλλιπὴς μιᾷ συλλαβῇ. τὸ κ΄ ὅμοιον τῷ ιϛ΄. τὸ κα΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ τριῶν χορείων καὶ ἰάμβου. τὸ κβ΄ ὅμοιον ἐκ δύο χορείων καὶ ἀναπαίστου καὶ ἰάμβου, ἢ πυρριχίου διὰ τὴν ἀδιάφορον. τὸ κγ΄ ὅμοιον ἐκ δ΄ χορείων. τὸ κδ΄ δακτυλικὸν δίμετρον· εἰ δὲ βούλει, χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ δύο συλλαβῶν ἀδιαφόρων. τὸ κε΄ ὅμοιον τῷ ιη΄. τὸ κϛ΄ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον καθαρόν. τὸ κζ΄, τὸ κη΄, τὸ κθ΄, τὸ λ΄, τὸ λα΄, καὶ

1. καὶ παίωνος δ΄ King. καὶ παίωνος α I.
5. ἔχειν ἐπὶ τῷ τέλει τροχαϊκὴν συζυγίαν] ἔχειν ἐπὶ τῷ τέλει κατακλεῖδα King.
19. τὸ ιγ΄ om. I. sed habet τὸ ιγ΄ ὅμοιον ante τὸ ιδ΄.
25. τοῦ δ΄ Matth. τοῦ β΄ I.
31. τῷ ιη΄ Matth. τῷ ιε΄ I.

τὸ λβ΄ ὅμοιά εἰσι κατὰ πάντα, καὶ εἰσὶν ἰωνικὰ ἡμιόλια, ἐκ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β΄, ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος, καὶ ἰάμβου, πλὴν τὸ μὲν κζ΄ κῶλον ἀντὶ ἰάμβου ἔχει πυρρίχιον διὰ τὴν ἀδιάφορον, τὸ δὲ λα΄ χορεῖον. ἐπὶ τῷ τέλει παράγραφος, καὶ ἐν εἰσθέσει στίχος ἴαμβος τρίμετρος.

1426.—1451. Καὶ ἡ παροῦσα στροφὴ μονόστροφός ἐστι κώλων λα΄. τὸ α΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β΄ καὶ τὸ γ΄ καὶ τὸ δ΄ ὅμοια δίμετρα καταληκτικά, ἤτοι ἐφθημιμερῆ. τὸ ε΄ τροχαϊκὸν ἰθυφαλλικόν. τὸ ϛ΄ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος α΄, ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ χοριάμβου. τὸ ζ΄ ὅμοιον τῷ ε΄ ἰθυφαλλικόν. τὸ η΄ προσοδιακόν, ἐναντίον τῷ προρρηθέντι, ἐκ χοριάμβου καὶ παίωνος δ΄, ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος. εὕρηται γὰρ καὶ παρὰ Πινδάρῳ τὸ προσοδιακὸν καὶ ἀπ᾽ ἐλάττονος συγκείμενον, καὶ οὐ μόνον ἀπὸ μείζονος. τὸ θ΄ ὅμοιον τῷ β΄· εἰ δὲ βούλει, προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ συλλαβῆς. τὸ ι΄ ὅμοιον τῷ ϛ΄ ἐκ παίωνος β΄ ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ χοριάμβου· εἰ δὲ βούλει, ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, ἐξ ἰάμβου ἀρχόμενον. τὸ ια΄ ἀναπαιστικὴ βάσις. τὸ ιβ΄ παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος δ΄ καὶ χορείου, ἢ ἀναπαίστου διὰ τὴν ἀδιάφορον· εἰ δὲ βούλει, τροχαϊκὸν πενθημιμερὲς ἐκ τροχαίου καὶ δύο βραχέων ἀντὶ μιᾶς μακρᾶς. τὸ ιγ΄ δακτυλικὸν πενθημιμερές· εἰ δὲ βούλει, χοριαμβικὸν ἡμιόλιον, ἢ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ιδ΄ ἰωνικὸν ἡμιόλιον ἐκ παίωνος β΄, ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ σπονδείου. εἴη ἂν καὶ ἰαμβικὸν πενθημιμερὲς, τοῦ β΄ ποδὸς ἀναπαίστου. τὸ ιε΄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ τριῶν χορείων. τὸ ιϛ΄ ὅμοιον. τὸ ιζ΄, ιη΄, ιθ΄ ἐξ ἐπιτρίτου α΄ καὶ ἰάμβου. τὸ κ΄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ κρητικοῦ. τὸ κα΄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον καθαρόν. τὸ κβ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον καθαρόν. τὸ κγ΄ ὅμοιον δίμετρον καταληκτικὸν

19. καταληκτικὸν Matth. ὑπερκατάληκτον I.

25. τὸ ιε΄—ἐπιτρίτου α΄ καὶ ἰάμβου] τὸ ιε΄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ιϛ΄ ὅμοιον, [βραχυκατάληκτον, ἐξ ἀντισπάστου καὶ σπονδείου.] τὸ ιζ΄ [ὅμοιον. τὸ ιη΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ τριῶν χορείων καὶ ἰάμβου. τὸ ιθ΄ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον] ἐξ ἐπιτρίτου α΄ καὶ ἰάμβου King.

28. ὑπερκατάληκτον] καταληκτικὸν King.

Εὐριπίδειον, τοῦ α΄ ποδὸς χορείου. τὸ κδ΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. οὕτω γάρ μοι δοκεῖ ταῦτα βέλτιον εἶναι γράφειν. τὸ γὰρ κακὸς Φωκεύς μόνον ἀδιάγνωστόν ἐστι τίνος ἂν εἴη μέτρου, εἰ καὶ δοκεῖ ἀντισπαστικόν. τὸ κε΄ ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ κϛ΄ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, συνίζησιν ἔχον ἐν τῷ α΄ ποδί· εἰ δὲ βούλει, ἔστω ὁ β΄ ἀνάπαιστος. τὸ κζ΄ τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ κη΄ καὶ τὸ κθ΄ τροχαϊκὰ καὶ ἰθυφαλλικά. τὸ λ΄ τροχαϊκὸν πενθημιμερές. τὸ λα΄ ἰαμβικόν, ὅμοιον τῷ κϛ΄. ἐπὶ τῷ τέλει παράγραφος, καὶ ἐν εἰσθέσει ἴαμβος τρίμετρος.

1453.—1471. Καὶ ἡ παροῦσα στροφὴ μονόστροφός ἐστιν, κώλων δὲ κϛ΄. τὸ α΄ δακτυλικὸν ἢ ἀναπαιστικὸν ἐφθημιμερές, ἐπεὶ ἐκ σπονδείων ἐστί. τὸ β΄ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ΄ ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ δ΄ ἀναπαιστικόν, ὅμοιον τῷ δευτέρῳ. τὸ ε΄ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλλικόν. τὸ ϛ΄ τροχαϊκὸν τρίμετρον καταληκτικόν, συνίζησιν ἔχον ἐν τῷ γ΄ ποδί. τὸ ζ΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ η΄ τροχαϊκὸν πενθημιμερές. τὸ θ΄ ἀντισπαστικὸν τρίμετρον κατάληκτον, ἐκ διιάμβου, ἀντισπάστου καὶ κρητικοῦ. τὸ αὐτὸ εἴη ἂν καὶ ἀσυνάρτητον ἐξ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου καὶ τροχαϊκοῦ πενθημιμεροῦς. τὸ ι΄ τροχαϊκὸν ἐφθημιμερὲς καθαρόν. τὸ ια΄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ιβ΄ τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον, Στησιχόρειον καλούμενον, ἔχον τὸ Πινδαρικὸν ἔθος, ἴαμβον δηλονότι τὸν τελευταῖον πόδα. εἰ δὲ μή ἐστιν ἀκατάληκτον,—τοιοῦτον γάρ ἐστι τὸ Στησιχόρειον,—οὐδὲν θαυμαστόν. τὸ ιγ΄ ὅμοιον τῷ ζ΄, ἰαμβικόν. τὸ ιδ΄ τροχαϊκὸν ὅμοιον τῷ ι. τὸ ιε΄ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ δακτύλου. τὸ ιϛ΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, τοῦ β΄ ποδὸς χορείου. εἰ δὲ τὸ ἴαχεν ἐκτεταμένον βούλει εἶναι, ὡς ηὐξημένης τῆς ἀρχούσης τοῦ παρατατικοῦ, εἴη ἂν τὸ κῶλον τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον, τοῦ β΄ καὶ τοῦ γ΄ ποδὸς δακτύλου. εἴη δὲ καὶ ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικόν, ἐκ διτροχαίου, παίωνος β΄ καὶ μολοσσοῦ. τὸ ιζ΄ τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον· εἰ δὲ βούλει, ἀσυνάρτητον ἐκ τροχαϊκοῦ ἰθυφαλλικοῦ καὶ ἀναπαιστικῆς βάσεως, ἢ δακτυ-

16. τρίμετρον King. pro δίμετρον.

λικῆς. τὸ ιη΄ ἀσυνάρτητον ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ ἀναπαιστικῆς βασέως. τὸ ιθ΄ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ β΄ ποδὸς χορείου, τοῦ δὲ δ΄ ἀναπαίστου· εἰ δὲ βούλει, ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐκ παίωνος β΄, ἀντισπάστου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον. τὸ κ΄ τροχαϊκὸν ἰθυφαλλικὸν, τοῦ β΄ ποδὸς καὶ τοῦ γ΄ χορείου. τὸ κα΄ τροχαϊκὸν ἐφθημιμερὲς Εὐριπίδειον. τὸ κβ΄ ἰαμβικὸν πενθημιμερές. τὸ κγ΄ ἰαμβικὸν ὅμοιον τῷ ζ΄. τὸ κδ΄ ἰαμβικὸν τρίμετρον. τὸ κε΄ δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς δισύλλαβον. τὸ κϛ΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος, καὶ ἐν εἰσθέσει ἴαμβος. Bar. 74.

1472. Κατὰ περικοπὴν ἴαμβος. Bar. 74.

1473.—1503. Καὶ ἡ παροῦσα στροφὴ μονόστροφός ἐστιν, ὡς καὶ αἱ προρρηθεῖσαι, κώλων δὲ λη΄. τὸ α΄ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ α΄ ποδὸς ἀναπαίστου. τὸ β΄ ἴαμβος τρίμετρος ἀκατάληκτος καθαρός. τὸ γ΄ ὅμοιον. τὸ δ΄ ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ ε΄ ὅμοιον τῷ δευτέρῳ καὶ τρίτῳ. τὸ ϛ΄ ἀσυνάρτητον ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ ἀναπαιστικοῦ ὁμοίου. τὸ ζ΄ τροχαϊκὸν ἰθυφαλλικόν. τὸ η΄ παιωνικὸν τρίμετρον κατάληκτον ἐκ παιώνων α΄ δύο καὶ βακχείου. τὸ θ΄ ἰαμβικὸν ὅμοιον τῷ β΄, τοῦ ε΄ ποδὸς χορείου. τὸ ι΄ τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον καθαρόν. τὸ ια΄ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, τοῦ β΄ ποδὸς χορείου. τὸ ιβ΄ ὅμοιον δίμετρον ὑπερκατάληκτον, τοῦ β΄ ποδὸς δακτύλου. τὸ ιγ΄ δακτυλικὸν τετράμετρον, τοῦ ιγ΄ ποδὸς προκελευσματικοῦ τετραβραχέος. τὸ ιδ΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, τοῦ γ΄ ποδὸς προκελευσματικοῦ. τὸ ιε΄ ὅμοιον καθαρὸν ἀναπαιστικόν. τὸ ιϛ΄ ἀναπαιστικὴ βάσις. τὸ ιζ΄ ἰαμβικὸν ὅμοιον τῷ δ΄. τὸ ιη΄ ἴαμβος ὅμοιος τῷ β΄. τὸ ιθ΄ τροχαϊκὸν ἰθυφαλλικὸν, τοῦ α΄ ποδὸς χορείου. τὸ κ΄ χοριαμβικὸν ἡμιόλιον ἐκ χοριάμβου καὶ ἰάμβου. εἴη δὲ καὶ τροχαϊκὸν πενθημιμερὲς, δακτύλου ἀρχομένου. τὸ κα΄ ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος δ΄ ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, διιάμβου καὶ τροχαίου. τὸ κβ΄ τροχαϊκὸν ἐφθημιμερὲς, τοῦ β΄ ποδὸς χορείου. τὸ κγ΄ ἀντισπαστικὸν τρίμετρον κατάληκτον ἐξ ἐπιτρίτου α΄, διιάμβου καὶ βακχείου. τὸ κδ΄ ἴαμβος ὅμοιος τῷ β΄, τοῦ δ΄ ποδὸς ἀναπαίστου. τὸ κε΄

18. κατάληκτον (quae forma etiam infra ad κγ΄) Matth. pro ἀκατάληκτον.

ἰαμβικὸν ὅμοιον τῷ δ'. τὸ κϛ' ὅμοιον ἐφθημιμερές. τὸ κζ' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, τοῦ γ' καὶ δ' ποδὸς χορείου· εἰ δὲ βούλει, ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον κατάληκτον ἐξ ἰωνικοῦ, παίωνος α' καὶ χορείου, ἢ ἀναπαίστου διὰ τὴν ἀδιάφορον. τὸ κη' ἰαμβικὸν ὅμοιον τῷ κϛ'. τὸ κθ' δακτυλικὸν τετράμετρον ἀκατάληκτον· εἰ δὲ βούλει, ἀναπαιστικὸν δίμετρον· τέσσαρες γάρ εἰσι σπονδεῖοι. τὸ λ', τὸ λα' καὶ τὸ λβ' τροχαϊκὰ πενθημιμερῆ. τὸ λγ' ἰαμβικόν, ὅμοιον τῷ κϛ'. τὸ λδ' ἴαμβος ὅμοιος τῷ β', τὸν α' πόδα ἔχων ἀνάπαιστον. τὸ λε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ δ' χορείων. τὸ λϛ' καὶ λζ' ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα. τὸ λη' τροχαϊκὸν ἐφθημιμερὲς Εὐριπίδειον, τοῦ α' καὶ β' ποδὸς χορείου. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, δηλοῦσαι ὡς τέλος ἔχει τὰ ἀνομοιόστροφα, ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι. ἐν εἰσθέσει δὲ σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων γ'. ἐπὶ τῷ τέλει παράγραφος. Bar. 74.

1488. προβολάν κάλλιον γράφειν ἢ προβολήν· οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς καὶ ἔν τισι τῶν παλαιῶν βιβλίων οὕτως εὕρηται. Bar. 74.

1506.—1536. Ἡ ἀμοιβαία αὕτη περιστροφὴ, ἤτοι περίοδος, στίχων ἐστὶ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν λα', ὧν τελευταῖος "παρθένον τε καὶ δάμαρτα δύο νεκρὼ κατόψεται." εἰκότως δὲ τῷ τροχαϊκῷ κέχρηται μέτρῳ πρὸς τὸν τοῦ Ὀρέστου δρόμον. ἐπὶ τῷ τέλει κορωνίς. Bar. 74.

1537. 1538. Τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, ἀνομοιόστροφα κυρίως, διὰ τὸ μὴ εἶναι κατὰ σχέσιν. εἰσὶν οὖν τῆς παρούσης στροφῆς κῶλα δ'. τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ β' τροχαϊκὸν ἐφθημιμερὲς, τοῦ α' ποδὸς χορείου, τοῦ δὲ γ' δακτύλου. τὸ γ' τροχαϊκὸν ὅμοιον πενθημιμερὲς, τοῦ β' ποδὸς δακτύλου· εἰ δὲ βούλει, ἔστω καὶ τὰ δύο ἰωνικὰ, τὸ ἓν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ' ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος καὶ δευτέρου καὶ συλλαβῆς, τὸ δὲ ἄλλο ἐκ διτροχαίου καὶ δύο συλλαβῶν. τὸ δ' τροχαϊκὸν ἀκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος. Bar. 74.

1537. Ἰὼ ἰὼ τύχα τύχα: οὕτω βέλτιον γράφειν τὸ α' τοῦ

11. καὶ β' addidit King. 31. ἀντὶ—ἐλάττονος addidit King.

χοροῦ κῶλον, διὰ τὴν χασμωδίαν· εὕρηται γὰρ ἔν τισι τῶν βιβλίων οὐ μόνον "Ἰὼ ἰὼ τύχα" ἀλλὰ καὶ "ἰὼ ἰὼ τύχα τύχα," δι' ὃ καὶ οὕτως ἐγράφη παρ' ἡμῶν διὰ τὴν χασμωδίαν. Bar. 74.

1539. 1540. Κατὰ περικοπὴν ἴαμβοι δύο. Bar. 74.

1541. Ἡ β' αὕτη στροφὴ κώλων ἐστὶ δ'. τὸ α' καὶ β' ἰαμβικὰ δίμετρα βραχυκατάληκτα· εἰ δὲ βούλει, παιωνικὰ ἡμιόλια, διὰ τὸ κοινὴν ἔχειν ἐν τῷ πρώτῳ ποδὶ συλλαβήν, τὸ μὲν α' ἐκ παίωνος τετάρτου καὶ ἰάμβου, τὸ δὲ β' ἐκ τοιούτου παίωνος καὶ σπονδείου. τὸ γ' ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ δακτύλου, ὃ καλεῖται Φερεκράτειον. τὸ δ' ἰαμβικὴ βάσις ἤτοι μονόμετρον· εἰ δὲ βούλει, ἀντισπαστικὸν μονόμετρον. ἐπὶ τέλει παράγραφος. Bar. 74.

1543. 1544. Κατὰ περικοπὴν ἴαμβοι β', εἶτα παράγραφος. Bar. 74.

1545.—1549. Ἡ τρίτη αὕτη στροφὴ κώλων ἐστὶ ζ'. τὸ α' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ α' ποδὸς χορείου. τὸ β' ὅμοιον πενθημιμερὲς, τοῦ ω' ποδὸς χορείου. τὸ γ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἀναπαίστων καὶ ἰάμβων· εἰ δὲ βούλει, προσοδιακὸν τρίμετρον ὑπερκατάληκτον ἐκ παίωνος γ' ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, χοριάμβου, παίωνος γ' αὖθις καὶ συλλαβῆς. τὸ δ' περίοδος ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς βάσεως. τὸ ε' καὶ τὸ ς' παιωνικὰ ἡμιόλια ἐκ παίωνος δ' καὶ ἰάμβου· εἰ δὲ βούλει, τροχαϊκὰ πενθημιμερῆ, τοῦ α' ποδὸς χορείου. τὸ ζ' ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ συλλαβῆς. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, ἔξω νενευκυῖαι. Bar. 74.

1549.—1553. Σύστημα κατὰ περικοπὴν ἐν ἐκθέσει τῶν ἀνομοιοστρόφων εἰδῶν στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ε'. ἐχρήσατο δὲ κἀνταῦθα τῷ τροχαϊκῷ μέτρῳ διὰ τὸν ταχὺν δρόμον τοῦ Μενελάου, καὶ διὰ τὸ μετὰ σπουδῆς δραμεῖν τὴν Ἠλέκτραν καὶ βοῆσαι τοῖς ἐν τῷ οἴκῳ οὖσι καὶ τὸν φόνον ἐργαζομένοις. ἐπὶ τῷ τέλει παράγραφος. Bar. 74.

1554.—1681. Αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν

18. προσοδιακὸν] προσῳδιακὸν apud Kingium contra codicis fidem, ut videtur: quemadmodum supra quoque constanter προσῳδιακὸν scripsit pro προσοδιακὸν, quod est in I.

24. Addidi δύο, ut p. 19, 9.

ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρκη΄, ὧν τελευταῖος "Μενέλαε, καὶ σοῖς, Λοξία, θεσπίσμασιν." ἐχρήσατο δὲ ἐνταῦθα ἰαμβικῷ διὰ τὸ λῆξαι Μενέλαον τοῦ δρόμου καὶ ἱστάμενον ποιεῖσθαι τοὺς λόγους. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, καὶ ἐπὶ τῷ τέλει κορωνίς. Bar. 74.

1682.—1693. Ὁ ἐπίλογος οὗτος τοῦ δράματος ἐκ δύο συστημάτων σύγκειται. καὶ εἰσὶ τοῦ μὲν πρώτου συστήματος τὰ κῶλα ἀναπαιστικὰ θ΄, ὧν τὰ μὲν η΄ δίμετρα ἀκατάληκτα, τὸ δὲ θ΄ καταληκτικόν, ἤτοι ἑφθημιμερὲς παροιμιακόν, τοῦ δευτέρου δὲ συστήματος τὰ κῶλα γ΄· τὸ α΄ ὅμοιον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, τὸ δὲ β΄ ἀναπαιστικὴ βάσις, τὸ δὲ τρίτον ὅμοιον ἑφθημιμερές. ἐπὶ τῷ τέλει τοῦ πρώτου παράγραφος, τοῦ δὲ δευτέρου κορωνίς, ἡ περατοῦσα τὸ δρᾶμα.

8. τοῦ δευτέρου—ἀκατάληκτον ex Bar. 74. addidit King.

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟΝ ΟΡΕΣΤΗΝ.

1. ΟΥΚ ἔστιν οὐδὲν δεινόν: ἐπειδὴ ἡ τοῦ πατρὸς αὐτῆς δυστυχία ὑπερῆρεν ἁπάσας, διὰ τοῦτο αὕτη γνωματευομένη ταῦτά φησι καθ' αὑτήν. δείξει δὲ ὡς ἐξ ἀρχῆς τὸ γένος αὐτῆς συμφοραῖς ὑπέκειτο. Gu. I. ἵνα μὴ καθ' ἕκαστον ἀπαριθμῆται τὰ συμβαίνοντα τοῖς ἀνθρώποις κακὰ, περιλαμβάνει διὰ τοῦ γενικοῦ ὀνόματος τοῦ δεινοῦ, διαιρουμένου εἰς πάθη καὶ συμφοράς. καὶ πάθη μέν ἐστι τὰ συμπίπτοντα τοῖς σώμασι νοσήματα, συμφοραὶ δὲ αἱ ἐπερχόμεναι τοῖς ἀνθρώποις θλίψεις. καὶ τὸ ὧδ' εἰπεῖν ἔπος διὰ τοῦτ' ἔφη, διότι καθολικῶς ἐξήνεγκεν. ἐπεὶ δὲ πάθος καὶ συμφορὰν εἴρηκε, προτιμᾷ τὸ θηλυκὸν τοῦ οὐδετέρου, ἀποδιδοὺς τὸ ἧς πρὸς τὸ συμφορά. γίνωσκε δὲ ὅτι, ὅταν εὑρεθῶσι δύο ὀνόματα, ἀρσενικὸν καὶ θηλυκὸν, μάλιστα μὲν τὸ ἀρσενικὸν προτιμᾶται τοῦ θηλυκοῦ, συμβαίνει δὲ ἔστιν ὅτε καὶ τὸ ἀνάπαλιν. ὁ αὐτὸς δὲ λόγος ἐστὶ καὶ ἐπὶ τῶν θηλυκῶν καὶ οὐδετέρων. ἀλλὰ μὴν καὶ τοῦτο πολλάκις γίνεται. κειμένου γὰρ ἀρσενικοῦ καὶ θηλυκοῦ καὶ οὐδετέρου ὀνόματος, ἀποδίδοται ἡ σύνταξις πρὸς τὸ οὐδέτερον, ὡς εἰς πρᾶγμα. Gu. I.

οὐκ ἔστιν οὐδὲν δεινόν: τὸ δεινὸν ὄνομα γενικόν ἐστι, διαιρεῖται δὲ εἰς πάθος καὶ συμφοράν. καὶ πάθος μὲν λέγεται τὰ νοσήματα, συμφορὰ δὲ αἱ δυστυχίαι καὶ περιπέτειαι. A.I.

4. αὔτη] αὕτη ἡ Ἠλέκτρα I. αὔτη delevit King.

6. ἵνα μὴ] ἵνα δὲ μὴ I. In Gu. hoc scholion antecedenti praepositum est.

11. ἐξήνεγκεν] ἤγουν εἴρηκεν add. I.

ib. πάθος] πάθη I.

13. ὅταν εὑρεθῶσι δύο ὀνόματα] ἐὰν εὑρεθῶσιν ὀνόματα I.

16. ἀλλὰ—γίνεται om. I.

ib. γὰρ om. I.

19. τὸ δεινὸν—λέγεται τὰ A. τὸ δεινὸν ὄνομά ἐστι γενικὸν καὶ διαιρεῖται —καὶ πάθος μὲν τὰ I.

οὐκ ἔστιν οὐδὲν δεινόν: οὔτε ἀκοὴ οὔτε θέαμα ἔστιν οὕτω δεινὸν ὅπερ οὐχ ὑφίσταται ἡ τῶν ἀνθρώπων φύσις. τοῦτο δέ φησι παρ' ὅσον ἔκτοπον καὶ ἀλλόκοτον ὑπέστη τιμωρίαν ὁ Τάνταλος, ἢ διὰ τὰς τοῦ γένους συμφορὰς, ἢ δι' ἑαυτὴν, ὥς γε τλημόνως συνυποφέρει τῷ ἀδελφῷ τὴν τύχην, ἢ διὰ τὸν Ὀρέστην. A.B.M.I. Ἄλλως. ὧδ' εἰπεῖν ἔπος: ἤγουν ὡς ἐν συντόμῳ λόγῳ εἰπεῖν, οὐκ ἔστι τι δεινὸν, οὔτε πάθος οὔτε συμφορὰ, ἧς οὐκ ἂν τὸ βάρος ἡ τῶν βροτῶν φύσις ἀπενέγκοιτο. εἰς θηλυκὸν δὲ ἐξ οὐδετέρου τὸν λόγον ἀπέδωκεν, ἐπειδὴ προτιμᾶται τοῦ οὐδετέρου τὸ θηλυκόν. A. B. οὐκ ἔστιν οὐδὲν δεινόν: ὡς ἐπέρχεται δηλονότι εἰπεῖν ἔπος οὕτως, ἤτοι ὡς ἐν συντόμῳ εἰπεῖν, οὐκ ἔστιν οὐδὲν χαλεπὸν, οὐδὲ πάθος καὶ κάκωσις, οὐδὲ συμφορὰ ἀπὸ θεῶν πεμφθεῖσα, ἧς οὐκ ἂν βαστάσει βάρος ἡ φύσις ἀνθρώπου. I. ἔπος: λόγον. περισσὸν, Ἀττικῶς. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. Gu.

2. οὐδὲ πάθος: πάθος ἐπὶ σώματος τὸ τραῦμα καὶ ἡ πληγὴ, ἣν ξίφει τις ἐπλήγη ἢ τοιούτῳ τινὶ, ὃ ἀπὸ μὲν τοῦ ποιοῦντος λέγεται πρᾶγμα καὶ πρᾶξις, ἀπὸ δὲ τοῦ πάσχοντος πάθος, ὥσπερ τὸ λῆμμα ἀπὸ μὲν τοῦ λαμβάνοντος λέγεται λῆμμα, ἀπὸ δὲ τοῦ διδόντος δῶρον, ἀπὸ τούτου πάθος καὶ ἐπὶ ψυχῆς ἡ ἧττα, ἣν ἡττήθη τις ὑπὸ ἀδικίας, ἢ ἀκολασίας, ἢ τοιούτου τινός. λέγεται πάθος καὶ αὐτὴ ἡ ἀδικία καὶ ἡ ἀκολασία καὶ ἡ δειλία καὶ ὅσα τοιαῦτα προσβάλλει ἡμῖν, ὥσπερ λέγεται βέλος καὶ τὸ πεμπόμενον καὶ τὸ τραῦμα τὸ ἀπὸ τῆς βολῆς τοῦ βέλους. τούτων δὴ τῶν παθῶν τῶν προσβαλλόντων, ἤγουν τῆς ἀδικίας, τῆς ἀκολασίας, καὶ τῶν τοιούτων, ἐπικρατεῖν ὁ λογισμὸς δύναται, οὐ καταλύων αὐτὰ, ἀλλ' ὑπείκων αὐτοῖς. τὰ δὲ ἕτερα, ἤγουν

1. οὐκ ἔστιν] Ἄλλως praefixum in I.

ib. οὔτε ἀκοὴ—δεινὸν addidi ex A. B.M., quorum in A.B. θέα scriptum pro θέαμα et in B.M. οὔτε pro οὕτω, quod restitui ex scholio breviore Flor. 10. 33. οὐκ ἔστι δεινὸν οὔτε ἀκοῇ οὔτε θέᾳ ἔστι οὕτω δεινὸν, ὅπερ οὐχ ὑφίσταται τῶν ἀνθρώπων φύσις. In A. οὔτε θέα οὔτ' ἄλλο τι ὅπερ οὐχ etc.

2. ἡ τ. ἀ. M. τῶν ἀ. ἡ A.B.I.

3. τὰς τοῦ γένους συμφορὰς—ὥς γε] τὴν τοῦ γένους τούτου συμφορὰν—ὅτι A.

6. ἤγουν et λόγῳ om. B I.

ib. τι om. B.I.

7. πάθος] βάρος I.

8. ἀπενέγκοιτο] ἀπενέγκαιτο I. ὑπενέγκαιτο Matth. Proxima εἰς θηλυκὸν—τὸ θηλυκόν om. A.

20. πάθος] πάθη Gr.

ib. ἀδικία—ἀκολασία] ἀκολασία—ἀδικία I.

23. δὴ] δὲ I.

24. ἀδικίας—ἀκολασίας] Invertit Gr.

25. ἀλλ' ὑπείκων] ἀλλ' οὐχ ὑπείκων Gr.

αἱ πληγαὶ καὶ αἱ ἧτται αἱ ὑπὸ τούτων, ἀφανίζεται ἰατρευόμενα, ὡς μηδὲ οὐλὴν καὶ ἴχνος τι αὐτῶν καταλείπεσθαι. ἐνταῦθα δὲ πάθος λέγει σώματος ἤγουν πληγὴν καὶ κάκωσιν. Gr. I.

οὐδὲ πάθος: πάθος λέγεται σωματικὸν νόσημα, οἷον λώβη καὶ ἕτερα, ὅσα ἀπὸ τοῦ σώματος ἀναδίδονται· συμφορὰ δὲ θεήλατος ἡ ἀπὸ θεοῦ πεμπομένη, οἷον λοιμικὸν νόσημα, λιμὸς καὶ ἐπιδρομὴ ὑετοῦ. οὐκ ἔστιν οὐδὲν δεινὸν καὶ χαλεπὸν πρᾶγμα, οὐδὲ πάθος, οὐδὲ συμφορὰ θεήλατος καὶ ἐκ θεοῦ ἐλθοῦσα, ὅπερ οὐχ ὑφίσταται ἡ τῶν ἀνθρώπων φύσις. Fl. 59. *θεήλατος: θεόθεν ἐπερχομένη.* A. *ἀπὸ θεοῦ πεμπομένη.* Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. Gr. *ἐκ θεοῦ παραγενομένη.* Gu.

οὐδὲ συμφορὰν θεήλατον: γράφουσί τινες οὐδὲ συμφορὰ θεήλατος, ἀγνοοῦντες δέ· ἀπὸ κοινοῦ γὰρ ληπτέον τὸ ἔστιν εἰπεῖν. M.

3. *ἧς: διὰ τί εἰρηκὼς ἔπος καὶ πάθος πρὸς τὸ θηλυκὸν τὰ ἑξῆς συνέταξε, φάσκων "ἧς οὐκ ἂν ἄραιτ' ἄχθος." φαμὲν οὖν ὅτι προτιμᾶται τοῦ οὐδετέρου τὸ θηλυκὸν καὶ διὰ τοῦτο πρὸς αὐτὸ ἐποίησε τὴν σύνταξιν.* A. M. Fl. 33.

ἄχθος: ἄχθος ἐπὶ σώματος, ἄχος ἐπὶ ψυχῆς. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. Gr. *βάρος. καὶ Ὅμηρος φησὶ "τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν."* Gu.

4.—14. *ὁ γὰρ μακάριος: προδιόρθωσις.* Gu. *ὁ γὰρ μακάριος Τάνταλος,—καὶ οὐκ ὀνειδίζω τὰς τύχας,—γεννηθείς, ὡς λέγουσιν, ἀπὸ τοῦ Διός, φοβούμενος τὴν πέτραν τὴν ὑπερκειμένην τῆς κεφαλῆς,*

2. *πάθος λέγει σώματος ἤγουν*] *πάθη λέγει σώματος τὴν* I.

12. *συμφορὰν θεήλατον*] Sic A.M. in textu, correctum tamen in *συμφορὰ θεήλατος* in M., superscriptum *α* et *ος* in A.

13. *ἔστιν εἰπεῖν* correxi pro *οὐκ ἔστιν οὐδὲν δεινόν.* Brevius scholion in B. (qui in textu *συμφορὰ θεήλατος* habet, etsi a manu recentiore ita rescriptum ut scriptura vetus dignosci nequeat) *γρ. καὶ οὐδὲ συμφορὰ θεήλατος. ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ οὐκ ἔστι*:—Fragmentum scholii est in Fl. 33. *ἀγνοοῦντες δέ· ἀπὸ κοινοῦ γὰρ ληπτέον τὸ οὐκ ἔστιν οὐδὲν δεινόν.*

14. *ἧς*] In M. lemma *οὐδὲ πάθος οὐδὲ συμφοράν*, in Fl. 33. nullum.

ib. *διὰ τί*] *διὰ τοῦτο* Fl. 33. In C. est, *εἰπεῖν ἔπος: καὶ ἔπος καὶ πάθος. διὰ τί πρὸς θηλυκὸν συνέταξε; διότι τὸ θηλυκὸν προτιμᾶται τοῦ οὐδετέρου, καὶ διὰ τοῦτο πρὸς αὐτὸ ἐποίησε τὴν σύνταξιν.*

ib. *τὰ ἑξῆς σ.*] *σ. τὰ ἑξῆς* Fl. 33.

15. *οὖν* om. Fl. 33. Usitatissimum in *λύσεσιν ἀποριῶν* est *φαμὲν οὖν.* Margini hujus scholii adscriptum in A. *ἀπορία* et *λύσις.*

ib. *π. τοῦ οὐδετέρου τὸ θ.*] *τὸ θ. προτιμᾶται τοῦ* (*τοῦ* om. Fl.) *οὐδετέρου* A. Fl. 33.

19. *Ὅμηρος*] Il. 24. 49.

κρέμαται ἐν τῷ ἀέρι, καὶ δίδωσι ταύτην τὴν τιμωρίαν, ὡς μὲν λέγουσιν, ὅτι ἄνθρωπος ὢν, ἔχων ἀξίωμα κοινῆς τραπέζης ἴσον τοῖς θεοῖς, ἔσχε γλῶσσαν ἀκράτητον, νόσον αἰσχίστην καὶ χαλεπωτάτην. οὗτος ὁ Τάνταλος ἐγέννησε Πέλοπα, καὶ ἀπὸ τοῦδε ἔφυ ὁ Ἀτρεύς, ᾧ Ἀτρεῖ ἡ Μοῖρα ἡ Κλωθὼ ξήνασα καὶ κατασκευάσασα, ἤτοι παρασχοῦσα, τὰ στέμματα καὶ τὴν βασιλείαν, ἐπέκλωσε, καὶ εἱμαρμένον ἐποίησε, θέσθαι καὶ ποιῆσαι ἔριν πόλεμόν τε τῷ Θυέστῃ, ὄντι συγγόνῳ καὶ ἀδελφῷ. I.

ὁ γὰρ μακάριος: κατασκευὴν ποιούμενος ὁ ποιητὴς τῆς ἰδίας προτάσεως τῆς ὅτι πάντα φέρει τὰ δεινὰ ἡ ἀνθρωπότης ἐπιφέρει ὅτι καὶ αὐτοὶ οἱ μακάριοι καὶ ὄλβιοι δόξαντες ἄνθρωποι οὐκ ἄμοιροι συμφορῶν καὶ παθῶν γεγόνασιν. ἐξ ἑνὸς δὲ τοῦ Ταντάλου καὶ ἄλλους παραδηλοῖ. τὸν Τάνταλον δὲ καὶ οὐκ ἄλλον τῇ ὑποθέσει προείληφε διὰ τὸ ἐξ ἐκείνου τοῦ γένους καὶ τὸν Ὀρέστην κατάγεσθαι. A. μακάριον γὰρ αὐτὸν καλῶ, φησί, καὶ οὐ δυστυχῆ, ἵνα μὴ ὀνειδίσω αὐτῷ. Ἄλλως. ὁ ποτὲ μακάριος. οὐ γὰρ ὀνειδίζουσά φησιν, ἀλλὰ βουλομένη παραστῆσαι ὅτι πάντα τὰ δεινὰ ὑφίστανται ἄνθρωποι· καὶ Ὅμηρος "τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισι." καλῶς δὲ τὸ "ὡς λέγουσι" προσέθηκεν· οὐ γὰρ πείθομαι τὸν Δία τοὺς ἰδίους παῖδας οὕτως αἰκίζεσθαι. A. B. M. I.

ὁ γὰρ μακάριος: ἐπαινεῖταί τις ἐφ᾽ οἷς ποιεῖ καλοῖς καὶ ψέγεται ἐφ᾽ οἷς ποιεῖ κακοῖς· μακαρίζεται δὲ ἐφ᾽ οἷς ἔχει καλοῖς, ἢ ἀπολαύει. ἀφ᾽ οὗ μακάριος ὁ μακαρισμοῦ ἄξιος ἐφ᾽ οἷς ἔχει καλοῖς, ἢ ἀπολαύει. καὶ μακάριον τέλος οὗ ὁ τυχὼν μακαρίζεται. καὶ μακάριον ἔργον ἐφ᾽ ᾧ ὁ ἐργασάμενος μακαρίζεται. ἐνταῦθα δὲ τὸ μακά-

15. γὰρ om. A.B.I.
ib. φησὶ om. B.M.I.

16. αὐτῷ] αὐτὸν B. I. Prima scholii verba μακάριον γὰρ — ἵνα (omisso μὴ) ὀνειδίσω αὐτόν habet C.

17. ἄνθρωποι] οἱ ἄνθρωποι B.I.

18. καὶ (καὶ M. ὡς B.I. ὡς καὶ A.) Ὅμηρος (φησὶ addit A.)] Il. 24, 49.

ib. θυμὸν] θνητὸν I. In C. hoc scholion, Ταντάλου δίψαν διψῶμεν, φόβον φοβούμεθα, λῶνα (ἀμπελῶνα?) τρυγῶμεν. τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισι. Quorum priora ad δειμαίνων similibus verbis adscripta illic in alio codice.

19. τὸν Δία τοὺς ἰδίους] φησὶ τὸν δία τοὺς οἰκείους A. In eodem infra et in M. C. separatum scholion est (v. 5.) ὡς λέγουσιν; καλῶς τὰ ὡς λέγουσιν· οὐ γὰρ πείθομαι τὸν δία τοὺς ἰδίους παῖδας οὕτως αἰκίζεσθαι.

20. αἰκίζεσθαι] Sequitur in A.B. I. ἄλλως. τὸ ὡς λέγουσιν etc. quae vide ad v. 5.

21. ἐπαινεῖται] Ἄλλως pracfixum in I.

ριος κατ' εὐφημισμὸν λέγεται· οὐ γὰρ ἀπέλαυσεν ὁ Τάνταλος καλῶν, ἵνα διὰ ταῦτα μακαρίζηται, ἀλλὰ κακώσεων μᾶλλον καὶ κολάσεων. Gr. I. *μακάριος: εὐδαίμων διὰ τὴν τῶν θεῶν συνήθειαν.* Gu. "*κοὐκ ὀνειδίζω τύχας*" *ἡ Ἠλέκτρα προσέθετο, ἵνα δείξῃ ὅτι οὐχὶ ὀνείδει τῷ πάππῳ προφέρουσα ταῦτα λέγει, ἀλλ' ἵνα τῆς ἀνθρωπείας φύσεως ἐκ τῆς ἐνδοξότητος τούτου ἀποδείξῃ τὸ εὐτελὲς, καὶ ὅτι πᾶς ἄνθρωπος πάθεσι καὶ συμφοραῖς ὑπόκειται.* A. *καὶ οὐ λέγω ἄθλιος καὶ ταλάντατος, εἰς ὀνειδισμὸν προφέρουσα τὰς τύχας· ἀπὸ γὰρ τῶν συμβεβηκότων αὐτῷ ἄθλιος μᾶλλον ἦν καὶ ταλάντατος.* Gr. Fl. 6. 9. 21. 56. 59. 76.

5. *Διὸς πεφυκώς:* Τμώλου *καὶ* Πλουτοῦς *υἱὸς ὁ* Τάνταλος, Ταντάλου *δὲ καὶ* Εὐρυανάσσης Πέλοψ, Βροτέας, Νιόβη· Πέλοπος *δὲ καὶ* Ἱπποδαμείας Ἀτρεὺς, Θυέστης, Δίας, Κυνόσουρος, Κορίνθιος, Ἵππαλμος, Ἵππασος, Κλέων, Ἀργεῖος, Ἀλκάθους, Ἔλειος, Πιτθεὺς, Τροίζην, Νικίππη, Λυσιδίκη, *καὶ ἔκ τινος* Ἀξιόχης *νόθος* Χρύσιππος. *τούτῳ φθονοῦντες οἱ λοιποὶ* Πελοπίδαι, *ὡς προκρινομένῳ παρὰ τοῦ πατρὸς, ἀναπείθουσιν ἅμα τῇ μητρὶ τοὺς πρεσβυτάτους* Ἀτρέα *καὶ* Θυέστην *ἀνελεῖν τὸν παῖδα. οἱ δὲ ἀποκτείναντες εἰς φρέαρ ἐνέβαλον. ὁ δὲ* Πέλοψ *ὑπόπτους ἔχων τοὺς παῖδας ἐκβάλλει τῆς πατρίδος ἐπαρασάμενος. τούτων ἄλλοι μὲν ἄλλῃ ᾤκησαν,* Ἀτρεὺς *δὲ καὶ* Θυέστης *ἐν τῇ* Τριφυλίᾳ *κατῴκησαν ἐν* Μακέστῳ. *καὶ* Ἀτρεὺς *μὲν* Κλεόλαν *τὴν* Δίαντος *ἀγαγόμενος ἔσχε* Πλεισθένη *τὸ σῶμα ἀσθενῆ, ὃς* Ἐριφύλην *γήμας ἔσχεν* Ἀγαμέμνονα *καὶ* Μενέλαον *καὶ* Ἀναξιβίαν. *νέος δὲ τελευτῶν ὁ* Πλεισθένης *καταλείπει τῷ πατρὶ τοὺς παῖδας.*

1. ἀ. ὁ Τ. καλῶν] καλῶν ἀ. ὁ τ. I.

5. ὀνείδει] ὀνείδ A. cum compendio post δ.

ib. προφέρουσα] προσφέρουσα A.

12. Εὐρυανάσσης] Conf. p. 36, 14.

13. Ἵππαλμος] ἵππαλμος C.

14. Ἀργεῖος, Ἀλκάθους] ἀργείων ἀλκαθοῦς C.

ib. Ἔλειος] ἕλιος M. ἐλεῖος C. ἐλεῖος αἴλιος A. αἴλιος B. I., omisso ἐλεῖος.

ib. Τροίζην] τροιζὴν C.

15. τούτῳ—προκρινομένῳ παρὰ] τοῦτον—προκεκριμένον περὶ C.

16. φθονοῦντες] φθονήσαντες A.B.I.

ib. λοιποὶ add. C.

ib. τοῦ πατρὸς] τῷ πατρὶ B.I.

17. πρεσβυτάτους] πρεσβυτέρους A.

18. ἐνέβαλον—ἐκβάλλει] ἐνέβαλλον—ἐκβάλει A.

19. ἐπαρασάμενος — ᾤκισαν — ἐν] ἐπαρασάμενος τούτους· ἄλλοι μὲν οὖν ἄλλῃ ᾤκισαν—ἐλθόντες ἐν C.

21. κατῴκησαν] ᾤκησαν A. ᾤκισαν C.

ib. Μακέστῳ] μακέστοις M. μηκέστῳ C.

22. ἔσχε] ἔσχεν υἱὸν A.

ib. τὸ σῶμα] τῷ σώματι M.

Θυέστης δὲ λαβὼν Λαοδάμην ἔσχεν Ὀρχομενὸν, Ἀγαυὴν, Κάλλαιον. τῶν δὲ Ἡρακλειδῶν κατασχόντων τὴν Πελοπόννησον ἔχρησεν ὁ θεὸς αὐτοὺς μὲν ἀποστῆναι Λακεδαίμονος, τοὺς δὲ Πελοπίδας βασιλεῦσαι. A.B.C.M.I.

Διὸς πεφυκώς: Ζεὺς, Τάνταλος, Πέλοψ, οὗ Ἀτρεὺς καὶ Θυέστης· ἐκ τοῦ Ἀτρέως Ἀγαμέμνων καὶ Μενελαος· ἐκ τοῦ Θυέστου Ἀγλαὸς, Ὀρχομενὸς, Κάλαος· ἐκ τοῦ Ἀγαμέμνονος Ἠλέκτρα, Χρυσόθεμις, Ἰφιγένεια, Ὀρέστης· ἐκ τοῦ Μενελάου μόνη ἡ Ἑρμιόνη. Gu. ὡς λέγουσι: οὐκ ἐνδοιάζουσά φησιν εἰ παῖς ἦν τοῦ Διὸς ὁ Τάνταλος, ἀλλ' ὀνειδίζουσα τῷ δαίμονι ὅτι τοὺς ἰδίους ἐκγόνους τοσοῦτον ἐν ταῖς δυσδαιμονίαις παρορᾷ. A.B.C.M.I. Τάνταλος: ἀπὸ τοῦ τάλας Τάνταλος ὠνόμασται, οἱονεὶ ταλάντατος· ἀθλιώτατα γὰρ πέπονθεν. Fl. 21.

6. κορυφῆς—πέτρον: ἄνω κείμενον. B. τὸν ὑπεράνω τῆς κορυφῆς δεδοικὼς πέτρον. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὑπερκείμενον. M. ὑπερκρεμάμενον, ἀναφαινόμενον. Gu. δειμαίνων: φοβούμενος. B. ἐκ τούτου παροιμία Ταντάλου φόβον φοβοῦμαι, ἔτι τε πρὸς τὴν ἑτέραν ἱστορίαν Ταντάλου δίψαν διψῶ. Gu.

7. ἀέρι ποτᾶται: τινὲς μέν φασιν, ὧν ἐστι καὶ Εὐριπίδης, ἐν ἀέρι τὸν Τάνταλον κρέμασθαι, κἀνταῦθα τὴν δίκην ὑπέχειν ὧν ἐξήμαρτεν, ἐξειπὼν τοῖς βροτοῖς τὰ τῶν θεῶν ἀπόρρητα (τοῦτο γάρ ἐστι τὸ ἀκόλαστον ἔσχε γλῶσσαν) καὶ τῆς ἀμβροσίας μεταδούς.

1. Λαοδάμην] λαοδάμειαν C.

ib. ἔσχεν Ὀρχομενὸν om. I.

ib. Ἀγαυὴν] ἀγάνην C. Ἀγλαὸς est lin. 7. et ad v. 812.

ib. Κάλλαιον] κάλλεον M. κάλαιον I. κάλλε^α C., altero λ alteri subscripto, Κάλαος est lin. 7. Καλαός Phryx Pausan. 7, 17, 9.

2. τὴν additum ex C.

3. αὐτοὺς] τούτους C.

ib. Λακεδαίμονος om. C.

9. ἐνδοιάζουσα] ἐνδυάζουσα M. In A. (ad v. 4. post αἰκίζεσθαι. Ἄλλως) est τὸ ὡς λέγουσι προσέθηκεν οὐ γὰρ πείθομαι. οὐ γὰρ ἐνδοιάζουσα φησὶν etc. verbis προσέθηκεν οὐ γὰρ πείθομαι, quae ex scholio ad v. 4. praecedente per errorem repetita sunt, punctis notatis. In C. est ὡς λέγουσι. καλῶς τὸ ὡς λέγουσιν. οὐ γὰρ πείθομαι τὸν δία τοὺς ἰδίους παῖδας οὕτως αἰκίζεσθαι. ἀλλὰ τὸ ὡς λέγουσι οὐκ ἐνδοιάζουσα φησὶν ὅτι οὐκ ἔστι τοῦ διὸς ὁ τ. etc. In B.I. (ad v. 4.) τὸ ὡς λέγουσιν οὐκ— παρορᾷ. Cum C. partim consentit A. ad v. 8. ὡς μὲν λέγουσι: καλῶς— αἰκίζεσθαι . . . . σοῦτον ἐν ταῖς δυσδαιμονίαις παρορᾷ:—

10. ὅτι] ὡς C.

11. δυσδαιμονίαις] δυστυχίαις I.

15. δεδοικὼς] δεδιὼς Gu.

17. ἐκ τούτου—] Similia ex C. vide in annot. ad v. 4.

22. γλῶσσαν—μεταδούς] γλῶτται— μεταδιδούς I.

ἕτεροι δὲ λέγουσιν ἐν Ἅιδου τοῦτον κολάζεσθαι, ἱστάμενον μέσον ὕδατος ἄχρι τοῦ πώγωνος καὶ διψῶντα. ἡνίκα δὲ ἐπιχειρήσει πιεῖν, ἀθρόον τό τε ὕδωρ ἀφίσταται, καὶ ὁ ἐν τῇ κεφαλῇ πέτρος κάτεισιν, ὡς δῆθεν πατάξων αὐτόν. οὐ μόνον δὲ οὗτος ἐν Ἅιδου κολάζεται, ἀλλὰ καὶ Σίσυφος καὶ Τιτυὸς καὶ Ἰξίων καὶ αἱ Δαναοῦ παῖδες. Gu. I.

ἀέρι ποτᾶται: ἐπεὶ διὰ γλωσσαλγίας ἥμαρτεν ὁ Τάνταλος, σιωπῇ αὐτὸν κολάζει ὁ Ζεὺς θεός. οὔτε γὰρ ἐν τῷ οὐρανῷ αὐτὸν τιμωρεῖται, ἵνα μὴ συνδιαλέγηται θεοῖς, ἢ λαλούντων ἀκούῃ, οὔτε ἐπὶ γῆς, ὅπως μὴ ἐξείποι τοῖς ἀνθρώποις ἅτινα εἶδεν ἐν τῷ οὐρανῷ, οὔτε καθ' Ἅιδου, ὡς μὴ καὶ ἄλλους ὁρῶν κολαζομένους ἁμαρτωλοὺς παραμυθοῖτο, ἀλλ' ἐν ἀέρι μετέωρον, ὅπως μηδενὶ φθεγγόμενος μᾶλλον ἀνιῷτο. A.B.C.M.I.

ἀέρι ποτᾶται: κατὰ τὸν ἀέρα κρέμαται. Gr. ἐξήπλωται, μετεωρίζεται, φέρεται ὥσπερ πτηνός. Gu. τίνει: δίδωσι. Gr. ἀνταποδίδωσι. Gu.

8.—10. ὡς μὲν λέγουσιν: οὐκ ἀπέδωκε τῷ μὲν τὸν δέ. M. ὅτι ἄνθρωπος ὤν, ἔχων ἀξίωμα κοινῆς τραπέζης ἴσον τοῖς θεοῖς, ἔσχε γλῶσσαν ἀκράτητον, λέγω νόσον αἰσχίστην καὶ χαλεπωτάτην. I.

9. κοινῆς τραπέζης ἀξίωμ' ἔχων ἴσον: παρὰ τὸ "δαιτὸς ἐΐσης." M. κοινῆς τραπέζης ἀξιούμενος ὤφειλεν εἰπεῖν. ἐπεὶ δὲ ἡ κοινὴ τράπεζα τὴν αὐτὴν τιμὴν τοῖς μεταλαμβάνουσιν αὐτῆς δίδωσι, διὰ τοῦτο εἶπεν ἀξίωμ' ἔχων ἴσον. Gr. I. ἴσον: ὅρα ἐνταῦθα ὅπως χρῆται ὁ ποιητὴς τὸ ἴσον τὸ ι ὡς βραχύ. οὐ γάρ ποτε ἐν τέλει στίχου ποὺς εὑρίσκεται συγκείμενος ἐκ μακροῦ καὶ βραχέος, ἀλλὰ τοὐναντίον. Gu.

10. ἀκόλαστον: ἐπεὶ ἀκολάστῳ τινὶ λόγῳ φασὶν αὐτὸν κολά-

2. τοῦ π.] τοῦ om. I.
ib. διψῶντα] διψῶν I.
ib. ἐπιχειρήσει] ἐπιχειρήσῃ I.
6. ἐπεὶ] ἐπειδὴ C.
ib. γλωσσαλγίας] γλωσσαργίας B.
7. κολάζει ὁ Ζεὺς] ἐκόλασεν ὁ θεός B.I. ἐκώλυσεν A., ἐκόλασεν C., sed uterque omisso ὁ θεὸς vel ὁ Ζεύς.
ib. τῷ add. C.
8. θεοῖς] τοῖς θεοῖς I. πάλιν θεοῖς A.
ib. ἀκούῃ] ἀκούοι M.
ib. ἐπὶ γῆς] ἐν τῇ γῇ C.
9. ὅπως μὴ ἐξείποι] ὅπως μὴ ἐξείπῃ C. ἵνα μὴ ἐξείπῃ A.
ib. ἅτινα] ἅπερ C.
ib. τῷ οὐρανῷ] τῷ om. B.
10. ὡς] ἵνα A.B.I. In C. οὔτε ἐν ᾅδη (η in ι mutato) ον. (sic) εἰ μὴ καὶ ἄλλους ὁρῶν ἁμαρτωλοὺς κολαζομένους. In A. ἐν ᾅδου.
11. μετέωρον] μετεώρῳ I.
21. μεταλαμβάνουσιν αὐτῆς] καταλαμβάνουσιν αὐτήν I.
26. ἐπεὶ] ἐπὶ I. In M. prior tan-

ζεσθαι. εἰ γὰρ μετέδωκε τῆς ἀμβροσίας κατὰ τὸν Πίνδαρον τοῖς βροτοῖς, μᾶλλον ἂν τῆς φιλανθρωπίας παρὰ θεῶν ἐθαυμάζετο. αἰσχίστην δὲ νόσον τὴν γλωσσαλγίαν φησὶν, ὅτι πορνεία μὲν καὶ γαστριμαργία καὶ τὰ λοιπὰ πάθη σὺν τῇ βλάβῃ ἔχουσί τι καὶ τερπνὸν, ἡ δὲ γλωσσαλγία καὶ τούτου ἐστέρηται, καὶ ὅτι τὰ μὲν ἄλλα πάθη τὸν χρώμενον βλάπτει, αὕτη δὲ κατὰ τοῦ θείου ὁπλίζεται. A.B.M.I. ἀπαίδευτον. Gr. ἄσεμνον, ὑβριστικὸν, ἄτιμον, ἀνουθέτητον. κολάζω κατὰ Ἀττικοὺς τὸ νουθετῶ. Gu. ἐξέδωκεν τὰ μυστήρια. Fl. 21. ἄσεμνον. M. αἰσχίστην: κακίστην. οὐδὲν γὰρ ἀθυρογλώσσου φαυλότερον. Gu.

11. οὗτος φυτεύει Πέλοπα: ἐξ Εὐρυθεμίστης τῆς Ξάνθου, ἢ Κλυτίας τῆς Ἀμφιδάμαντος, ὡς ἱστορεῖ Φερεκύδης ...... δὲ ἱστορεῖ ἐξ Εὐρυανάσσης τῆς Πακτωλοῦ. B. M. ἐξ Εὐρυθεμίστης τῆς Ξάνθου, ἢ Κλυτίας τῆς Ἀμφιδάμαντος, ὡς ἱστορεῖ Φερεκύδης, ὁ Τάνταλος ἐγέννησε νὸν Πέλοπα. I. ἀντὶ νοῦ γεννᾷ. μεταφορικῶς ἀπὸ τῶν ἐνύδρων. M. γεννᾷ. ἀντὶ τοῦ ἐγέννησε. Gr. Fl. 59. 76.

12. ᾧ στέμματα ξήνασα: τοῦτό φησιν ὅτι ἡ Μοῖρα βασιλείαν μελετήσασα τῷ Ἀτρεῖ οὐ καθαρὰν ταύτην αὐτῷ ἐχαρίσατο, ἀλλὰ διὰ τῆς ἀδελφικῆς συμφορᾶς. δύο γὰρ ὄντοιν ἀδελφοῖν Πελοπίδαιν, Θυέστου καὶ Ἀτρέως, τῆς βασιλείας ὀφειλομένης τῷ Θυέστῃ ὡς

tum pars scholii usque ad γαστριμαργία legi potest, reliqua prope tota obliterata. In A. in duo est divisum, ἀκόλαστον δὲ γλῶσσαν τὴν γλωσσαλγίαν φησὶ αἰσχίστην νόσον, ὅτι πορνεία καὶ γαστριμαργία καὶ τὰ λοιπὰ πάθη σὺν τῇ βλάβῃ ἔχουσί τι καὶ τερπνὸν, ἡ δὲ γλωσσαλγία καὶ βλάβην φέρει καὶ τοῦ τερπνοῦ ἀπεστέρηται, καὶ ὅτι τὰ μὲν πάθη καὶ τὸν—ὁπλίζεται. ἄλλως. ἐπεὶ ἀκολάστῳ — παρὰ θεῶν ἐθαυμάζετο.

1. Πίνδαρον] Ol. 1, 98.

2. τῆς om. A.I.

ib. θεῶν] τῶν θεῶν I.

ib. αἰσχίστην] Simile scholion in C. ἀκόλαστον γλωσσαλγίαν αἰσχίστην νόσον φησὶν ὅτι ὑπορνεία (corrige ἡ πορνεία) καὶ ἡ γαστριμαργία καὶ τὰ λοιπὰ πάθη σὺν τῇ βλάβῃ ἔχει τὸ τερπνὸν, αὕτη δὲ καὶ τούτου ἐστέρηται καὶ κατὰ τοῦ θείου πολλάκις ὁπλίζεται.

4. σὺν τῇ βλάβῃ addidi ex A.

5. καὶ τούτου ἐστέρηται] καὶ βλάβην φέρει καὶ τοῦ τερπνοῦ ἀποστέρηται (sic) A.

12. Post Φερεκύδης in B. quinque vel sex literarum lacuna est, in M. ultima post Φερεκύδης verba scholii, quae dimidiam expleverunt versus partem, obliterata sunt, ita tamen ut post Φερεκύδης literae ἐν agnosci possint. Itaque non dubitandum videtur quin post Φερεκύδης ἐν nota numeri ι′ (ad quem librum haec rettulit Muellerus vol. 1. p. 93.) et nomen exciderit Ἑλλάνικος, quem de Pelope in Argolicis dixisse novimus ex schol. Hom. Il. 2, 105. Εὐρυάνασσα Pelopis mater nominatur in scholio v. 5.

13. Εὐρυθεμίστης] εὐρυσθεμίστης I.

16. ἐγέννησε] ἐφύτευσε Fl. 17.

πρωτοτόκῳ, ταύτην ἡ Μοῖρα τῷ δευτέρῳ Ἀτρεῖ προσεποιήσατο. ἐκεῖνον μὲν γὰρ ἡ φύσις ἐκάλει πρὸς τὴν ἀρχὴν, τοῦτον δὲ ἡ πονηρία καὶ ἐπιτέχνησις εἰς τὸ κράτος ἀνήγαγε. ταύτην γὰρ τὴν πονηρίαν καὶ ἐπιτέχνησιν Μοῖραν ἐμυθεύσαντο οἱ σοφοί· μόρος γὰρ λέγεται ἡ κακοπάθεια καὶ μορεῖν τὸ κακοπαθεῖν· ὅθεν προσλήψει τοῦ ἰῶτα μοῖρα· ἡ γὰρ πονηρία μετὰ πλείστης κακοπαθείας καὶ μόχθου νικᾷ τὴν εὐθύτητα. διὰ τοῦτο καὶ λέγεται ἡ Μοῖρα κλώθουσα καὶ ξαίνουσα. A. ᾧ στέμματα: τὸν τῆς ἀρχῆς στέφανον. Αἰσχίνης γὰρ στέμματα τὰ ἔριά φησιν ἀπὸ τοῦ στέφειν τὰς ἠλακάτας· ἐξ ὧν γίνονται οἱ στέφανοι τῶν βασιλέων. ξήνασα δὲ ἀντὶ τοῦ προξενήσασα καὶ παρασχομένη, ἢ ἀντὶ τοῦ ἐριουργήσασα, κατασκευάσασα. ὁ δὲ νοῦς, ἡ τῷ Ἀτρεῖ περιποιησαμένη τὴν βασιλείαν θεὰ πόλεμον καὶ ἔριν πρὸς τὸν ἀδελφὸν ἐπέκλωσε. γράφεται δὲ καὶ Ἔρις, ἵνα ᾖ, ἡ θεὰ Ἔρις τὸν πόλεμον ἐπέκλωσε Θυέστῃ καὶ Ἀτρεῖ. οὐ παράλογον δὲ καὶ ἄλλον θεὸν ἐπικλώθειν, ὡς καὶ τὰς Μοίρας. Ὅμηρος γάρ φησι "τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκόνδε νέεσθαι." A.B.M.I.

Τρεῖς εἰσι Μοῖραι, Κλωθὼ, Λαχεσις καὶ Ἄτροπος. τούτων ἡ μὲν Κλωθὼ τὰ ἑνὶ ἑκάστῳ μέλλοντα συμβήσεσθαι κλώθει καὶ κατασκευάζει, ἡ δὲ Λάχεσις λαγχάνει καὶ κληροῖ καὶ ἐπικυροῖ ταῦτα καὶ οἷον ἐπισφραγίζει, ἡ δὲ Ἄτροπος ἄτρεπτα καὶ ἀμετακίνητα καὶ ὡς οὐκ ἂν ἄλλως γενησόμενα τίθησιν. Gu. I. στέμματα: βασιλείαν. Gr. ἀπὸ συμβόλου τὸ κύριον. Gu. ξήνασα: κατασκευάσασα. Gr. προξενήσασα, ἐριουργήσασα. Gu. τὸ δὲ ξήνασα διὰ τοῦτο προσέθηκε, διότι ἐπέκλωσεν εἶπε· ξαίνουσι γὰρ πρῶτον τὸ ἔριον αἱ βουλόμεναι νῆμα κατασκευάσαι γυναῖκες. Bar. Gu. ἐπέκλωσεν: εἱμαρμένον ἐποίησε. Gr. κατεσκεύασε. Gu. θεά: ἡ Μοῖρα, ἡ Κλωθώ. Gr. ἡ τύχη. Gu.

1. προσεποιήσατο] Praestat περιεποιήσατο.

8. τὸν τῆς ἀ. τ.] τῆς ἀ. τὸν I.

10. προξενήσασα καὶ] ξενήσασα M. omisso καὶ, omissisque illis ἀντὶ τοῦ —κατασκευάσασα. In C. ξείνασα ἀντὶ τοῦ ξενήσασα καὶ παρασχομένη. ὁ δὲ νοῦς ὦ τῷ ἀτρεῖ τὰ βασίλεια ποιησαμένη ἡ θεὰ ὁμοῦ καὶ ἔριν πρὸς τὸν ἀδελφὸν ἐπέκλωσεν. Idem vero iu gl. interl. καὶ προσεξένησα (i. e. προξενήσασα) τὸν ἀτρέα ἐπέθηκε, κατεσκεύασεν ἡ ἥρα καὶ πόλεμον ἐριστικόν. In A. ξήνασα δὲ ἀντὶ τοῦ ἐριουργήσασα καὶ κατασκευάσασα, ἢ ἀντὶ τοῦ προξενήσασα καὶ παρασχομένη, ὡς εἶναι διὰ διφθόγγου τὸ ξεῖ. ὁ δὲ νοῦς τοιοῦτος, ἡ τῷ—.

13. γράφεται] γράψον A. ut saepe.

ib. θεὰ om. A.

14. Ἀτρεῖ] τῷ ἀτρεῖ A.

15. Ὅμηρος] Od. 1, 17.

16. ἐπεκλώσαντο] ὑπεκλώσαντο A.

17. εἰσι] δέ εἰσι I.

13. ἔριν Θυέστῃ πόλεμον: πολέμιον, ἐριστικόν. C. ἀρσενικὸν, τὸν ἐριστικὸν, ὡς τὸ Ἡσιόδειον "μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν ἀνέρα τιμήσουσιν." C. Θυέστῃ: ἀντὶ τοῦ Θυέστην ὄντα σύγγονον θέσθαι. M.

14. θέσθαι: ἀντὶ τοῦ τὴν αἰτίαν τῆς φιλονεικίας αὐτῶν. M. ὥστε ποιῆσαι. Gr. ποιήσασθαι. G.

τί τἄρρητα: ἐπειδὴ ἡ ἔρις τοῖς ἀδελφοῖς γέγονε διὰ τὴν μοιχείαν τῆς Ἀερόπης, ἣν γυναῖκα οὖσαν Ἀτρέως ὁ ἀδελφὸς αὐτοῦ Θυέστης ἐμοίχευσε. καὶ ὤφειλεν ἐνταῦθα λαληθῆναι τὸ τῆς ἔριδος αἴτιον, διὰ δὲ τὸ ἄρρητον καὶ ἄφραστον τῆς ὑποθέσεως καὶ μηδὲ πρέπον διὰ κόρης τῆς Ἠλέκτρας ἐκλαληθῆναι φησὶν ὁ ποιητὴς δι' αὐτῆς "τί τἄρρητ' ἀναμετρήσασθαί με δεῖ," ἤγουν τί με δεῖ τὰ μὴ εἰρημένα λαλεῖσθαί τινι καὶ μάλιστα ἐμοὶ ὡς παρθένῳ ἀναμετρήσασθαι καὶ ἀπαριθμῆσαι χρεὼν, ἢ τὸ ἀπαριθμῆσαι ἐν τῷ ἀριθμῷ τῶν λεγομένων ἐκθεῖναι. A. ἀντὶ τοῦ εἰς μέτρον θεῖναι ἐμὲ παρθένον οὖσαν τὰ ἄρρητα, ἤτοι τὰ μὴ πρέποντα λέγεσθαι ὡς αἰσχρά. I. ἀναμετρήσασθαι: "ἀνεμέτρει τὸ χωρίον" παρ' Ἀριστοφάνει ἀντὶ τοῦ διεμέτρει· ἀναμετρήσασθαι δὲ ἐνταῦθα ἀντὶ τοῦ ἀναλαβεῖν καὶ διηγήσασθαι, ἀπὸ μεταφορᾶς τῶν τὰ μετρηθέντα ἐξ ἀρχῆς ἀναλαμβανόντων καὶ μετρούντων. καθὸ λέγεται καὶ τὸ ἀνακοινωσώμεθα τὸν λόγον παρὰ Πλάτωνι ἀντὶ τοῦ ἐξ ἀρχῆς ἀναλαβόντες κοινωσώμεθα. τὸ ἑξῆς, ᾧ παρθένοι μὲν τρεῖς ἔφυμεν ἐκ μιᾶς μητρὸς ἀνοσιωτάτης, ἡ Χρυσόθεμις καὶ ἡ Ἰφιγένεια καὶ ἐγὼ ἡ Ἠλέκτρα καὶ ἄρσην ὁ Ὀρέστης. Gr. I.

ἀναμετρήσασθαι: διὰ τοῦ ἀναμετρήσασθαι τὸ πλῆθος τῶν κακῶν ἐσήμανεν. ἢ οὖν ὡς πολλὰ, ἢ ὡς ἄτοπα παραπέμπεται, ἢ ὡς παρθένος παραιτεῖται λέγειν, διὰ τὴν μοιχείαν Θυέστου, ἢ τὸν ἄθεσμον Αἰγίσθου γάμον. οὗτος γὰρ ἦν παῖς Πελοπείας τῆς θυ-

1. ἀρσενικὸν, τὸν ἐριστικὸν] ἀρσενικόν τ' ἐριστικὸν C.
2. Ἡσιόδειον] Op. 191.
ib. ὕβριν] ὑβριστὴν C.
17. Ἀριστοφάνει] Nub. 152.
19. ἀρχῆς] ἀρχῶν I.
26. ἐσήμανεν] ἐσήμενε C., quod ἐσήμαινε esse potest. ἐσήμηνεν A.
27. διὰ om. M.

ib. Θυέστου] αἰγίσθου I. Conf. schol. v. 16.
ib. ἄθεσμον] ἄνομον I. In C. ἢ τὴν ἄθεσμον αἰγίστου (sic) γονὴν σιωπᾷ. ἐκ γὰρ τῆς ἐπελοπίας (sic) τῆς θυγατρὸς στεροπίδος ἐποίησεν αὐτὸν θυέστης.
27. Πελοπείας] πελοπίας A.B.I. frequenti in libris vitio, quod couvellit

γατρὸς, ἢ Στερόπιδος, δι' ἧς ἐποίησεν αὐτὸν Θυέστης. A.B. C.M.I.

τἄρρητα: τὰ μὴ πρέποντα λέγεσθαι, ὡς αἰσχρά. λέγει δὲ τὰ τῆς μοιχείας τοῦ Θυέστου. Gr. μὴ δυνάμενα ῥηθῆναι διὰ τὸ πλῆθος, ἢ διὰ τὸ εἶναι δύσφημα. Gu. ἀναμετρήσασθαι: ἐξαριθμῆσαι, καταλέξαι, εἰπεῖν. Gu. ἀναλαβεῖν καὶ διηγήσασθαι. Gu.

15.—27. ἔδαισε δ' οὖν νιν: εὐώχησεν αὐτὸν τὸν Θυέστην ὁ Ἀτρεὺς, τὰ τέκνα αὐτοῦ δηλονότι ἀποκτείνας. ἀπὸ τοῦ Ἀτρέως δὲ —τὰς γὰρ ἐν μέσῳ δυστυχίας σιγῶ,—ἔφυ ὁ κλεινὸς Ἀγαμέμνων, κλεινὸς μὲν, ὡς ὑπὲρ τῆς Ἑλλάδος εἰς Τροίαν στρατεύσας· εἰ δὴ κλεινὸς, ὡς ἀθλίως ἀποθανὼν καὶ τὴν τῆς γυναικὸς ὑποστὰς μοιχείαν, ὁ Μενέλεώς τε ἀπὸ μητρὸς Κρητικῆς τῆς Ἀερόπης. εἰς γυναῖκα δὲ ἔλαβεν ὁ μὲν Μενέλαος τὴν Ἑλένην, τὴν μισουμένην ὑπὸ τῶν θεῶν, ὁ δὲ Ἀγαμέμνων ὁ ἄναξ τὸ λέχος τῆς Κλυταιμνήστρας (περιφραστικῶς ἀντὶ τοῦ τὴν Κλυταιμνήστραν) τὸ ἐπίσημον καὶ διάδηλον, διὰ τὸν φόνον δηλονότι, εἰς Ἕλληνας· ᾧ Ἀγαμέμνονι παρθένοι μὲν τρεῖς ἐγεννήθημεν ἐκ μιᾶς ἀνοσιωτάτης μητρὸς, Χρυσόθεμις, Ἰφιγένεια, καὶ ἐγὼ ἡ Ἠλέκτρα, ἄρσην τε Ὀρέστης· ἥτις Κλυταιμνήστρα περιβαλοῦσα καὶ περικρύψασα τὸν ἄνδρα ἐν ἱματίῳ κυκλοτερεῖ, μὴ ἔχοντι διέξοδον, ἔκτεινεν· ὧν δὲ χάριν, ἔκτεινε δηλονότι, οὐ καλόν ἐστι παρθένῳ λέγειν, τουτέστιν ἐμοὶ τῇ παρθένῳ· ἀφίημι τοῦτο ἀσαφὲς καὶ ἄρρητον σκοπεῖσθαι ἐν τῷ δήμῳ. I.

15. ἔδαισε: ἐδείπνησεν. C.M. ἐπειδὴ μετὰ τὸ ψωμισθῆναι τὰ τέκνα τὸν Θυέστην ἐχρήσθη ἐν τῇ Πυθίᾳ ἐρωτῶν πῶς τιμωρήσαιτο τὸν ἀδελφὸν μιγῆναι τῇ θυγατρὶ Πελοπείᾳ καὶ τὸν ἐκ ταύτης τεχθησόμενον δεινὰ κατεργάσασθαι τοὺς Ἀτρείδας. οὗτος δ' ἦν Αἴγισθος.

Apollon. Rh. 1, 326. Recte scriptum etiam in scholio v. 15. 16.

1. δι' ἧς om. B.C.M. Omittit etiam A. qui ἀπὸ ante Στερόπιδος addit. Praestat ἐξ ἧς.

3. ὡς αἰσχρά] ἢ ὡς ἄπειρα superscripsit Gu. "ἢ ὡς ἄπειρα et μὴ δυνάμενα—διηγήσασθαι etiam ex Bar. enotavit King. Reliqua habent etiam Flor. 6. 9. 17. 21. 56. 59. 76." MATTH.

10. Verba ὡς ὑπὲρ—στρατεύσας super v. κλεινὸς, ὡς ἀθλ.—μοιχείαν super εἰ δὴ κλεινὸς in Gu. scripta sunt.

23. ἐπειδὴ addidi ex B.

24. τὸν om. A. Mox τῇ om. Fl. 10. 33. In C. est ὁ θυέστης ἐν τῷ πυθίῳ—ἀδελφὸν ἤτοι τὸν ἀτρέα etc.

25. Πελοπείᾳ] πελοπίᾳ A.B.C.

ib. τεχθησόμενον] γενόμενον Fl. 10. 33. γινόμενον C.

26. τοὺς Ἀ.] τοῖς ἀτρείδαις A.

ib. οὗτος δ' ἦν Αἴγισθος A. αἴγισθον B.C. Fl. 10. 33.

A.B.C. Fl. 10. 33. *καὶ ἔθρεψεν αὐτὸν, ἐδείπνισε τὰ τέκνα αὐτοῦ καὶ αὐτὸν τὸν Θυέστην, ἔδωκεν αὐτῷ ἑστιᾶσαι τὰ ἑαυτοῦ τέκνα καὶ ἑστίασιν.* Fl. 21.

16. *τὰς γὰρ ἐν μέσῳ: ἐπεὶ κακῆς πράξεως ὑπεμνήσθη, διὰ τοῦτο οὐκ εἶπεν ὁ πάππος ὁ ἐμὸς, ἀλλ' Ἀτρεύς.* C.M. *ἤγουν τὰ συμβάντα πρὸς ἀλλήλους κακὰ, καὶ τὴν τῆς γυναικὸς αὐτοῦ πρὸς Θυέστην μοιχείαν, καὶ ὅτι διὰ τοῦτο κατὰ θαλάσσης ταύτην ἀφῆκεν.* Bar. Gu. *ἐν μέσῳ τύχας λέγει τὴν μίξιν τοῦ Θυέστου τὴν μετὰ τῆς αὐτοῦ θυγατρὸς Πελοπείας, ἀφ' ἧς ἔτεκε τὸν Αἴγισθον τὸν μοιχὸν τῆς Κλυταιμνήστρας.* Fl. 59. *τὴν μοιχείαν Ἀερόπης αἰνίττεται, ἢ τὴν γυναῖκα Πλεισθένους, ὃν ἀνεῖλεν Θυέστης.* Fl. 10.

18. *Κρήσσης: οὐ γὰρ ἂν Ἑλληνὶς γυνὴ τοιαῦτα ἔπραξε. τοῦτο οὖν προσέθηκεν ἐλευθερῶν μὲν τὰς Ἑλληνίδας, κωμῳδῶν δὲ τὰς Κρήσσας.* A.C.M. *τὸ ἀρσενικὸν Κρής, καὶ κλίνεται Κρητός· τὰ γὰρ εἰς ης ὀξύτονα μονοσύλλαβα περιττοσυλλάβως κλινόμενα διὰ τοῦ τος, οἷον Κρής Κρητός, βλής βλητός, σής σητός.* Fl. 21.

Ἀερόπης ἄπο: πάλιν τὴν μοιχείαν Ἀερόπης αἰνίττεται ἢ τὴν γονὴν Πλεισθένους, ὃν ἀνεῖλε Θυέστης. C.M. *ὁ μὲν Ἀτρεὺς ἐφόνευσε τοὺς παῖδας τοῦ Θυέστου, εἶθ' οὕτως παρέβαλε τῷ Θυέστῃ, καὶ ἔφαγεν αὐτούς. ὁ δὲ Θυέστης ἔγημε τὴν γυναῖκα τοῦ Ἀτρέως, ἥτις ἦν Ἀερόπη.* C.

θεοῖς στυγούμενον: οὐχ ὡς μισουμένην παρὰ θεῶν προφανῶς ἡ Ἠλέκτρα εἶπεν, ἀλλ' ὡς ἐν εὐχῆς τρόπῳ καὶ ὡς ἐὰν οὕτως εἶπεν, ἣν μισήσειαν οἱ θεοί. A. *τὴν θεομίσητον.* Gr. *διὰ τὸ πολλῶν κακῶν αἰτίαν γενέσθαι.* Gu.

21. *ἐπίσημον: τὸ ἐπίσημον ἐπὶ σωφροσύνῃ ἔφη, ὡς καὶ Ὅμηρος*

4. *ὑπεμνήσθη*] *ἐμνήσθη* C.
5. *ἤγουν* om. Gu.
6. *συμβάντα* om. Bar.
12. *οὐ γὰρ ἂν* (*ἂν* om. M.)—] Hoc scholion in M. etiam supra legitur ad v. 9. post verba *δαιτὸς εἴσης.* In A.C. est *οὐ γὰρ ἂν ἑλληνικὴ γυνὴ* etc.
13. *οὖν* om. C. Idem *δὲ τὰς κρήτας.*
18. *γονὴν*] *γυναῖκα* lin. 11.
26. *τὸ ἐπίσημον*—] Hoc scholion negligenter excerptum in Fl. 33. *ἐπίσημον ἐπὶ σωφροσύνῃ. Ὅμηρος, δὴ τὸ πρὶν ἀναίνετο ἔργον ἀεικές· φρεσὶ γὰρ κέχρητ' ἀγαθαῖσι. ἢ οὖν τὸ πρὸ τοῦ ἐπίσημον, ἢ νῦν διὰ τὴν μοιχείαν φανερόν.* In A. incipit *ἐπίσημον εἰς ἕλληνας: ἐπὶ σωφροσύνῃ ἔφησεν ἐπίσημον ὡς ὅμηρος ἡ δ' ἤτοι* etc. Postrema *ἢ οὖν—φανερόν* sic scripta in A. *ἢ οὖν πρὸ τούτου νοητέον ἐπὶ σωφροσύνῃ ἐπίσημον ἢ νῦν ἐπὶ μοιχείᾳ ἐπίσημον ἤτοι φανερὸν καὶ διάδηλον καὶ περίφημον ἐπὶ μοιχείᾳ.*
ib. *Ὅμηρος*] Od. 3, 265.

“ἡ δή τοι τὸ πρὶν μὲν ἀναίνετο ἔργον ἀεικὲς δῖα Κλυταιμνήστρη· φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν.” ἢ οὖν πρὸ τούτου ἐπίσημον, ἢ νῦν ἐπὶ μοιχείᾳ ἐπίσημον. A.B.M.

ἐπίσημον: διάδηλον διὰ τὸν φόνον. Gr. ἔνδοξον, περιβόητον διὰ τὴν ἀνυπέρβλητον ὕστερον αὐτῆς κακίαν. ἐπίσημον καὶ ἐπὶ καλῷ καὶ ἐπὶ κακῷ, ἐνταῦθα δὲ ἐπὶ κακῷ. Gu.

23. Χρυσόθεμις: καὶ Ὅμηρος “Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα.” καὶ οὗτος Ἰφιγένειαν μὲν τὴν Ἰφιάνασσαν καλεῖ, Ἠλέκτραν δὲ τὴν Λαοδίκην διὰ τὸ πολυχρόνιον ἴσως τῆς παρθενίας, οἱονεὶ ἄλεκτρός τις οὖσα, ὡς αὐτὸς καὶ οὕτως φησὶν “ὦ παρθένε μακρὸν δὴ μῆκος Ἠλέκτρα χρόνου.” A.B.C.M. Fl. 10. 33. 59.

Χρυσόθεμις: οὗτος ὁ ποιητὴς τρεῖς λέγει θυγατέρας γεννηθῆναι τῷ Ἀγαμέμνονι· ὁ δὲ Σοφοκλῆς ἐν τῷ δευτέρῳ δράματι τέσσαρας μετὰ τῆς Ἰφιανάσσης. Gu. ἱστοροῦσί τινες ὡς ἡ Ἠλέκτρα πρῶτον μὲν ἐκαλεῖτο Ἰφιάνασσα, διὰ δὲ τὸ παραταθῆναι εἰς μακρὸν τὸν τῆς παρθενίας αὐτῆς καιρὸν καὶ ἄνανδρον μεῖναι μέχρι πολλοῦ, οὕτως ἐκλήθη, ὡς ἔστι συμβαλεῖν τοῦτο ἀπὸ τῆς ἐτυμολογίας τοῦ ὀνόματος· ἀπὸ γὰρ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ λέκτρον ἡ κοίτη. Gu.

24. ἀνοσιωτάτης: ἀδικωτάτης, μιαρωτάτης. Fl. 6. 9. 17. 21. 56. 59. 76.

25. ἀπείρῳ: κυκλοτερεῖ. Gr. ἀδιεξοδεύτῳ, μὴ διεξόδους ἔχοντι κεφαλῆς καὶ χειρῶν. Gu. ἄπειρον, ὃ οὐκ ἦν διαπερᾶσαι χερσὶν ἢ κεφαλῇ. Fl. 33. περιβαλοῦσα: περικαλύψασα, ἐνδύσασα, ὡς τὸ “περιέβαλε τὸν ἅγιον τοῖς δεσμοῖς.” Gu. ὑφάσματι: ἱματίῳ. Gr.

7. καὶ (καὶ ὁ I., utrumque om. M.) Ὅμηρος] Il. 9, 145. In A. ὡς ὁ ὅμηρος λέγει.

8. καὶ οὗτος—Ἰφιάνασσαν] καὶ οὕτως ἰφιάνασσαν μὲν τὴν ἰφιγένειαν Fl. 10. 33. 59. In C. est ἰφιγένειαν μὲν οὖν φησι τὴν ἰφιάνασσαν παρ' ὁμήρῳ λεγομένην, ἠλέκτραν δὲ τὴν λαοδίκην ὑπὸ ὁμήρου λεχθεῖσαν διὰ τὸ πολυχρόνιον etc.

10. οἱονεὶ] οἷον A., om. C.

ib. ἄλεκτρος] ἀλέκτρα C.

ib. αὐτὸς om. M. In A. est ὡς καὶ αὐτὸς φησίν. Verba ὡς αὐτὸς—χρόνου om. C. Post hoc scholion in C. excidit folium unum, versus complexum 55.—106. Proximum vero scholion est ad v. 85. a quo incipit folium 11ᵃ. Nam scholia saepe non respondent versibus paginae cui adscripta sunt.

ib. οὕτως] οὗτος B. Est v. 72.

11. μακρὸν] μακρὰν A.

15. τῷ δευτέρῳ] I. e. Electrae v. 158. ubi vide quae annotavi.

χιτῶνι. Gu. ἡ γὰρ Κλυταιμνήστρα χιτῶνα ὕφανεν οὔτε ταῖς χερσὶν οὔτε τῇ κεφαλῇ ἔκδυσιν ἔχοντα, ὅπως μὴ Ἀγαμέμνων ἀμύνασθαι δύνηται τοὺς φονεύοντας. Καὶ ἄλλως. ἀντὶ τοῦ χιτῶνι. ἄπειρον ὃ οὐκ ἦν περᾶν χερσὶν ἢ κεφαλῇ, ὥσπερ ἄπειρον δίκτυόν φαμεν. καλῶς δὲ εἶπεν, ἡ πόσιν· εἰ γὰρ εἶπε τὸν ἐμὸν πατέρα, δι' ἑαυτὴν ἐδόκει κατηγορεῖν τῆς μητρός. Αἰσχύλος δέ φησιν "ἀμήχανον τεύχημα καὶ δυσέκλυτον." A.B.M.

27. οὐ καλόν: οὐ γὰρ προσήκει παρθένον μοιχείας καὶ μιασμάτων ἀνόμων μεμνῆσθαι. Gu. ἀσαφές: ἄδηλον. Gr. σκοτεινὸν, ἄρρητον. Gu.

28.—33. Φοίβου δ' ἀδικίαν: τοῦ δὲ Ἀπόλλωνος κατὰ τί πρέπει κατηγορεῖν ἀδικίαν; πείθει δὲ, ἀντὶ τοῦ ἔπεισε, τὸν Ὀρέστην κτεῖναι τὴν μητέρα, ἥτις ἐγέννησεν αὐτὸν, πρᾶγμα δηλονότι προστάξας, οὐ φέρον πρὸς ἅπαντας εὔκλειαν καὶ καλὴν φήμην. ὅμως δὲ ἀπέκτεινε πεισθεὶς τῷ θεῷ. καὶ ἐγὼ μετέσχον τοῦ φόνου, καθὰ γυνὴ, τουτέστι συνεβούλευσα, ὁ Πυλάδης τε, μετέσχε τοῦ φόνου δηλονότι, ὃς συνέπραξεν ἡμῖν τάδε. I.

28. Φοίβου δ' ἀδικίαν: ἐν ἤθει ταῦτα· φησὶ μὲν γὰρ οὐ κατηγορήσειν τοῦ θεοῦ, ὅμως γε μὴν ὕστερον ὑπερπαθήσασα καταβοᾷ τοῦ Ἀπόλλωνος, καὶ δι' ὧν ἐδόκει μὴ κατ' αὐτοῦ λέγειν, διὰ τούτων ἐλέγχεται αὐτοῦ κατηγοροῦσα. τὸ δὲ ἀκόλουθον ἦν· ὁ δὲ Ἀπόλλων οὐκ

1. ἡ γὰρ Κλυταιμνήστρα—] Hoc scholion primus edidit Matth., omissis notis codicum Florentinorum. In A. sic est conformatum, ἢ πόσιν ἀπείρῳ: ἡ γὰρ κλυταιμνήστρα χιτῶνα τὸν ἀγαμέμνονα ἐνέδυσεν οὔτε ταῖς—ἔκδυσιν ἔχοντα, ὅπως ἀγαμέμνων μὴ ἀμύνασθαι δύνητο (sic) τοὺς φονεύοντας. καὶ αἰσχύλος δέ φησιν—δυσέκλυτον. καλῶς δὲ εἶπει—πατέρα ἔδοξεν ἂν δι' ἑαυτὴν κατηγορεῖν τῆς μητρός.

2. ἔκδυσιν] ἔνδυσιν apud Matth.

3. δύνηται] δύναται M.

ib. καὶ ἄλλως—φαμεν] Haec in solo exstant M.

4. ὃ οὐκ ἦν περᾶν] In M. literis partim obliteratis . . .λην περι. Correxi ex scholio superiore Flor. 33.

5. φαμεν] φ^a M. ἄπειρον ἀμφίβληστρον ὥσπερ ἰχθύων dixit Aeschylus Ag. 1382. et ἀπέραντον δίκτυον Prom. 1078.

ib. εἶπεν ἢ] τὸ, omisso εἶπεν, M.

6. Αἰσχύλος] καὶ αἰσχύλος A. qui haec post τοὺς φονεύοντας collocat.

7. τεύχημα—δυσέκλυτον] Fortasse τέχνημα legendum, nec δυσέκλυτον sanum puto. NAUCK. Fragm. Trag. p. 87. Fort. δυσέκδυτον.

18. ταῦτα] τοῦτο M. In A. ταῦτα νοητέον. φησὶ μὲν γὰρ ὡς οὐ δεῖ κατηγορήσειν etc.

19. τοῦ om. B.1. Proxima καὶ δι'—κατ' αὐτοῦ om. M.

21. τὸ δὲ ἀκόλουθον] δὲ om. M. in quo novum ab his verbis scholion

ἄδικος μὲν, ὅμως πείθει Ὀρέστην ἀποκτεῖναι τὴν μητέρα. πρὸς οὐχ ἅπαντας δὲ τὴν εὔκλειαν φέρειν εἴρηκεν, ἐπειδὴ οἱ μὲν ἐπῄνουν αὐτὸν, οἱ δὲ οὔ. A.B.M.I.

Φοίβου δ' ἀδικίαν: οὐ γὰρ πρέπει θεοῖς ἀδικία· ἀγαθῶν γὰρ δοτῆρές εἰσι. τοῦτο δὲ λέγει ὥσπερ δυσχεραίνουσα διὰ τὴν τοῦ ἀδελφοῦ μανίαν· δοκεῖ γὰρ τοῦτο λογιζομένη, ὡς, εἰ δικαίως παρὰ τοῦ Φοίβου ὁ τῆς μητρὸς φόνος ἐθεσπίσθη Ὀρέστῃ, οὐκ ἔδει τοῦτον μανῆναι θεῷ ὑπακούσαντα. Gu. *τί δεῖ: κατὰ τί ἀντὶ τοῦ οὐδέν.* Gr. *πρέπει.* Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. *κατηγορεῖν: κατηγορεῖ τὸ σκυλάκιον τὸ προελθὸν πρῶτον τῆς μητρὸς τὸν πατέρα ἀντὶ τοῦ δεικνύει ἐν ἑαυτῷ. κατηγορεῖν καὶ τὸ κατά τινος ἀγορεύειν, καὶ ἔχει τὴν σύνταξιν ἀπὸ γενικῆς εἰς αἰτιατικὴν, οἷον κατηγορῶ σου φόνον, κατηγορῶ σου ἀδικίαν. καὶ ἔστι μὲν ἡ τετελεσμένη σύνταξις αὐτοῦ αὕτη. ἔστι δ' ὅτε καὶ μετὰ γενικῆς μόνης λέγεται. τὸ τοιοῦτο δὲ καὶ ἐν ἄλλοις συμβαίνει πλείστοις, οἷον τὸ προσέχω ἐντελῶς μὲν λεγόμενον ἐν τῷ λόγῳ ἔχει καὶ τὸν νοῦν, οἷον προσέχω τὸν νοῦν τοῖς λεγομένοις· λέγεται δὲ καὶ προσέχω τοῖς λεγομένοις χωρὶς ἐκείνου. καὶ τὸ φθονῶ ἐντελῶς μὲν ἔχον τῆς συντάξεως ἀπὸ δοτικῆς εἰς γενικὴν συντάσσεται, οἷον φθονῶ σοι τοῦδε. λέγεται δὲ καὶ φθονῶ σοι μόνον, καὶ ἔτι φθονῶ τῆς σῆς ἀρετῆς.* Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

29. *σφ': σφίν καὶ νίν καὶ μίν ἐπὶ ταῖς ἄλλαις πτώσεσιν οὐχ εὑρίσκεται.* Fl. 21.

30. *πρὸς οὐχ — φέρον: οἱ μὲν γὰρ ἐπῄνουν αὐτόν· διὸ τὸ πρὸς οὐχ ἅπαντας εἶπεν.* M. *πρᾶγμα.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *οὐ γὰρ ἅπαντες ἀποδέχονται τοῦτο, ἀλλ' οἱ μὲν, οἱ δ' οὔ.* Gu. *εὐκλείαν φέρον: ἐκτέταται τὸ ᾱ τοῦ εὐκλεία Ἀττικῶς. ἀντὶ τοῦ εὐκλείαν φέροντος Ἀττικῶς, τοῦ κτεῖναι δηλονότι.* M. *εὔκλειαν: καλὴν φήμην.* Gr. *τιμὴν, δόξαν.* Gu.

31. *οὐκ ἀπειθήσας: οὐκ ἀπειθὴς γενόμενος, παρακούσας τῷ Ἀπόλλωνι.* Fl. 59.

incipit cum lemmate *τί δεῖ κατηγορεῖν*, finitur verbis *τὴν μητέρα*, reliquis omissis.

1. *μητέρα*] *αὐτοῦ* addit A.

2. *δὲ τὴν εὔκλειαν φέρειν*] *δὲ εὔκλειαν φέρων* A.

4. *πρέπει* Matth. *παρὰ*, usitato compendio expressum, Gu. Verba *οὐ γὰρ — εἰσι* om. King., qui reliqua primus edidit, haud dubie e Bar.

32. οἷα δὴ γυνή: ὥσπερ ἀδύνατος ἡ γυναικεία φύσις μεταλαβεῖν φόνου· οὐ γὰρ κεκοινώνηκε τοῦ φόνου ἡ Ἠλέκτρα, ὡς καὶ Ὀρέστης φησίν "σὺ μὲν γὰρ ἐπένευσας τάδ', εἴργασται δ' ἐμοί." Ἄλλως. ζητεῖται τί δήποτε ἀνωτέρω παρθένον ἑαυτὴν εἰρηκυῖα, ὅπου φησὶν "ὧν δ' ἕκατι, παρθένῳ λέγειν οὐ καλόν," ἐνταῦθα γυναῖκα ἑαυτὴν λέγει. λεκτέον δὲ ὅτι οἷα δὴ γυνὴ πρὸς τὸ θηλυκὸν γένος σκοπουμένη, ὡς οὐδὲν μὲν ἔπραξεν, ἀλλὰ τοσοῦτον ὅσον ἂν γυνή τις ἐργάσαιτο. Ἄλλως. ὡς γυνὴ, συμβουλεύσασα, παραθαρρύνασα, ὑπομνήσασα τοῦ πατρός. οὐ γὰρ αὐτόχειρ γέγονε τῆς μητρὸς, ἀλλὰ λόγοις παρώρμησε κατ' αὐτῆς τὸν ἀδελφόν. τάχα δὲ διὰ τοῦ "οἷα δὴ γυνή" παρονειδίζει τῇ μητρί· ἐκείνη γὰρ αὐτόχειρ γέγονε τοῦ Ἀγαμέμνονος, οὐ κατὰ γυναῖκα. A.B.M.I.

οἷα δὴ γυνή: ὅσον δὲ δύνανται αἱ γυναῖκες εἰς φόνον πρᾶξαι ὥσπερ ἀδύνατος ἡ γυναικεία φύσις μεταλαβεῖν φόνου. τοσοῦτον ἔπραξα, ὅσον ἂν γυνή τις ἐργάσηται συμβουλεύσασα, παραθαρρύνασα, ὑπομνήσασα τοῦ πατρός· οὐ γὰρ αὐτόχειρ γέγονε κἀκείνῳ εἰς τὸν φόνον τῆς μητρὸς, ἀλλὰ λόγοις παρώρμησεν ἱσταμένη ἔξωθεν καὶ περισκοποῦσα. Fl. 59. ἐκοινώνησα καθὰ ἂν μετάσχοι γυνή. Fl. 6. 9. 17. 21. 56. 59. 76.

33. Πυλάδης: Φώκου παῖδες Κρῖσος καὶ Πανοπεύς. τούτοιν ὁ Κρῖσος ἔκτισε τὴν νῦν Κίρραν, τότε Κρῖσαν καλουμένην, καὶ

1. ὥσπερ ἀδύνατος] ταῦτα φησὶν ὅτι ἀδύνατος A.
ib. μεταλαβεῖν] μεταβαλεῖν M.
2. κεκοινώνηκε] ἐκοινώνει A.
3. τάδ', εἴργασται δ' ἐμοί] τὰ δ' ἔργασταί μοι I.
4. Ἄλλως. ζητεῖται] ζητεῖται δὲ B. I., omisso Ἄλλως.
ib. ἀνωτέρω—ἐνταῦθα] εἰρηκυῖα ἀνωτέρω παρθένον, ὧν δ' ἕκατι παρθένῳ λέγειν, ἐνταῦθα M.
ib. ὅπου] ἔνθα A.
6. ὅτι] ὅτι τὸ A. ὡς I.
ib. γένος om. M.
ib. σκοπουμένη—ἔπραξεν] σκοποῦμεν—ἔπραξεν πλέον A.
7. τοσοῦτον] τὸ τοῦτον M.
8. ἐργάσαιτο] ἐργάσοιτο A. φράσοιτο I.
ib. Ἄλλως om. I., sed habet lemma οἷα δὴ γυνή.
ib. παραθαρρύνασα] παραθαρσύνουσα M.
9. τοῦ πατρὸς] τῶν τοῦ πατρὸς ἀγαθῶν A.
ib. οὐ γὰρ] οὐχὶ I.
ib. αὐτόχειρ] αὕτη addit A.
10. λόγοις παρώρμησε] λόγος παρώρμησεν M.
11. γέγονε τοῦ Ἀ.] γέγονεν ἀ. A.
12. γυναῖκα] γυναῖκας M.
20. Κρῖσος — Κρῖσος] κρίσος M. κρίσσος B.I.
ib. τούτοιν] τούτοις B. τούτων M.I.
22. Κρῖσαν scripsi pro Κρίσσαν.

παῖς αὐτῷ ἐξ Ἀντιφατείας τῆς Ναυβόλου Στρόφιος ἐγένετο. οὗ Ἀστυδάμεια καὶ Πυλάδης ἐκ Κυδραγόρας τῆς ἀδελφῆς Ἀγαμέμνονος. A.B.M.I.

34.—45. ἐντεῦθεν: ἤτοι ἐξ ἐκείνου συντακεὶς καὶ συμμιγεὶς ὁ τλήμων Ὀρέστης νόσῳ ἀγρίᾳ, ἤτοι μανίᾳ, νοσεῖ· ὁ δὲ, ἀντὶ τοῦ ὃς δὴ, πεσὼν ἐν κοίτῃ κεῖται. ὁ φόνος γὰρ τῆς μητρὸς ἐλαύνει καὶ ταράσσει αὐτὸν μανίαισιν, ὑπὸ μανιῶν, τῶν Ἐριννύων δηλονότι. αἰδοῦμαι γὰρ ὀνομάζειν καὶ λέγειν θεὰς Εὐμενίδας, τὰς Ἐριννύας δηλονότι, αἳ ταράσσουσι τόνδε διὰ φόβου. ἕκτον δὲ ἦμαρ τόδε, ἐστὶ δηλονότι, ἐξότου σφαγαῖς καὶ διὰ σφαγῆς θανοῦσα ἡ μήτηρ ἐκαθάρθη τὸ δέμας διὰ τοῦ πυρός· δι' ὧν ἡμερῶν οὔτε τροφὴν ἐδέξατο διὰ τοῦ λαιμοῦ, οὐ λουτρὰ ἔδωκε τῷ σώματι, ἤτοι οὐκ ἐνίψατο· κρυφθεὶς δὲ ἔσω τῶν ἱματίων, ὅταν μὲν κουφισθῇ τὸ σῶμα ἀπὸ τῆς νόσου, ἔμφρων γενόμενος δηλονότι, δακρύει, ποτὲ δὲ ἀπὸ τῆς κοίτης πηδᾷ, καθὰ πῶλος ἀπὸ ζυγοῦ δρομαῖος καὶ ταχύς. I.

34. ἐντεῦθεν: μετὰ τὴν ματροκτονίαν. Fl. 59. ἐξ ἐκείνου. Gr. ἐκ τῆς αἰτίας ταύτης. ἐκ τούτου, μετὰ τὸ γενέσθαι τὸν φόνον. Gu. ἀγρίᾳ: ἀγριότητος ποιητικῇ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀφορήτῳ. μεγάλῃ. Gu. συντακείς: συγκολληθείς. M. Fl. 10. συμφθαρείς. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gu. συμπλακείς. Fl. 2.

35. τλήμων: παρὰ μὲν τῷ ποιητῇ τλήμων ὁ ὑπομονητικὸς, παρὰ δὲ τοῖς τραγικοῖς τλήμων ὁ δυστυχής. A.M. Fl. 10. ὁ δέ: ὅς. Gu.

36. δέ: γάρ. Gu. τροχηλατεῖ: κατεπείγει, οἷον μετὰ τρόχου καὶ ἁρμάτων ἐλαύνει. τρόχος γὰρ ὁ δρόμος. A.B.M.I. ταχέως

1. Ἀντιφατείας] ἀφαντείας M. ἀντίφα A.

ib. Στρόφιος] στρόφίος B., duplici accentu. Frequens in libris accentus Στροφίος.

8. Ἐριννύας duplici ν scriptum hic et alibi reliqui in recentissimorum scholiastarum annotationibus.

22. παρὰ — δυστυχής] ὁ δυστυχὴς παρὰ τοῖς τ., παρὰ δὲ τῷ π. ὁ ὑ. Fl. 10. παρὰ μὲν A. μὲν om. ceteri.

ib. τλήμων A., om. ceteri.

25. τροχηλατεῖ] δὲ addunt A.B. in quibus haec post p. 46, 6. Pergit A. ἀντὶ τοῦ κατεπείγει, οἱονεὶ μετὰ etc.

ib. οἷον om. I.

ib. τρόχου] τροχοῦ A. τοῦ τροχοῦ I.

26. τρόχος γὰρ ὁ δρόμος (λέγεται add. A.) om. I. In Fl. 10. est κατεπείγει· τρόχος γὰρ ὁ δρόμος.

κινεῖσθαι ποιεῖ ὧδε κἀκεῖσε δίκην τροχοῦ. B. Fl. 21. ταράσσει, ἐλαύνει. Gr. κινεῖ δίκην τροχοῦ. Gu.

37. μανίαισιν: νόσοις μανικαῖς. Gu.

ὀνομάζειν: ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς τὰς Ἐρινῦς. οὐκ ὀνομάζουσι δὲ, ἀλλ' εὐφημιζόμενοι σεμνὰς θεὰς ἢ Εὐμενίδας καλοῦσιν. ὀνόματα δὲ τῶν Ἐριννύων, Τισιφόνη, Μέγαιρα καὶ Ἀλληκτώ. A.B. M I. ὄνομα ἡ λέξις καὶ ὀνομάζειν τὸ λέγειν. Gu.

ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς Εὐμενίδας: τουτέστιν εὐλαβοῦμαι λέγειν ὅτι αἱ Εὐμενίδες, ἤγουν αἱ Ἐριννύες, ποιοῦσιν αὐτὸν μαίνεσθαι, αἳ τοῦτον ἐξαμιλλῶνται καὶ ἐλαύνουσιν ἐν φόβῳ. ἔστι δὲ τὸ σχῆμα κατὰ παράλειψιν· ὃ γὰρ ηὐλαβεῖτο λέγειν εἴρηκεν. οἱ δὲ πολλοὶ οὕτω νοοῦσιν· αἰδοῦμαι τὰς Εὐμενίδας λέγειν θεὰς, ἀντὶ τοῦ εὐλαβοῦμαι λέγειν αὐτὰς εἶναι τοῦ θείου γένους, ὡς κακῶν παρεκτικάς. τὸ δὲ ἐξαμιλλῶνται εἶπεν, ἐπειδὴ οἱ ἀγωνιζόμενοι πρὸς ἀλλήλους ἐν γυμνασίοις ἄνω καὶ κάτω στρέφονται τοῖς ἀγωνίσμασιν. Gu. I.

38. Εὐμενίδας: Εὐμενίδας φησὶν αὐτὰς κατ' ἀντίφρασιν. μᾶλλον γάρ εἰσι δυσμενίδες ἢ εὐμενίδες· τὴν γὰρ τῆς μανίας νόσον αὗται τοῖς ἀνθρώποις προσάγουσιν ἐπεκδικοῦσαι. Fl. 21. ἐξαμιλλῶνται: ἐκ τοῦ καθεστηκότος ἐλαύνουσι. B. ταράσσουσιν, εἰς ἀγῶνα ἐμβάλλουσιν. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. δίκην τῶν ἁμιλλωμένων κινεῖσθαι ποιοῦσιν. Gu. συνεχῶς φοβοῦνται. Fl. 10.

39. ἐξ ὅτου σφαγαῖς: καὶ Ὅμηρος "ἤτοι ὁ τὸν κτείνας δαίνυ τάφον Ἀργείοισιν· αὐτῆμαρ δέ οἱ ἦλθε." A.B.M.I.

40. καθήγνισται δέμας: καθωσίωται, κέκαυται. ἁγνείαν γὰρ ἐκάλεσε τὴν διὰ πυρὸς φθορὰν τοῦ σώματος. Ἄλλως. κεκάθαρται·

1. ταχέως κ. π.—κἀκεῖσε—τροχοῦ] ἤγουν π. κ.—καὶ ἐκεῖσε—τρόχου Fl. 21.
4. Ἐρινῦς] ἐριννύς I. et mox ἐριννύων.
5. δὲ, ἀλλ' εὐφημιζόμενοι] γὰρ ταύτας, ἀλλ' εὐφημοῦντες A.
ib. σεμνὰς om. B.I.
6. καὶ om. A.M.
ib. Ἀλληκτώ] ἀληκτώ I.
8. ὀνομάζειν] Ἄλλως praefixum in I.
9. αἱ Εὐμενίδες] αἱ om. Gu.
11. παράλειψιν] παράληψιν I.
ib. οἱ δὲ—νοοῦσιν om. I.
12. αἰδοῦμαι] Ἄλλως praefigit I.
14. τὸ δὲ ἐ. εἶπεν] εἶπε δὲ τὸ ἐ. I.
22. καὶ] φησὶν M., om. A. Est Od. 3, 309.
ib. ἤτοι] φα A. i. e. φασὶν, vitiose pro φησίν.
24. δέμας om. I., δὲ est in B. In A. καθήγνισται δὲ ἀντὶ τοῦ καθωσίωται καὶ κέκαυται.
25. Ἄλλως om. B. Pro eo καθήγνισται I. In A. εἰς τὸ αὐτὸ ἄλλως.

πάντα γὰρ καθαίρει τὸ πῦρ, καὶ ἁγνὰ δοκεῖ εἶναι τὰ καιόμενα, τὰ δὲ ἄταφα μεμιασμένα. A.B.M.I. ὑπὸ Πυρὸς ἐκαθάρθη. Gr.

41. ἂν οὔτε σῖτα: ἀφ' ὧν, ἢ δι' ὧν ἐξ ἡμερῶν οὐκ ἔφαγεν. ἐμφαίνει δὲ ὡς προσηνέχθη μὲν τῷ στόματι αὐτοῦ τροφὴ, ἀλλὰ καταπιεῖν οὐκ ἠδυνάτο. A.B.M.I. διὰ δέρης: τοῦ λαιμοῦ. Gr. φάρυγγος. Gu. τράχηλος καὶ αὐχὴν τὸ ὄπισθεν, δέρη καὶ δειρὴ τὸ ἔμπροσθεν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

42. οὐ λοῦτρ' ἔδωκε: οὐκ ἐκαθαρίσθη τῷ προσώπῳ, οὐκ ἐνίψατο, ἢ οὐκ ἐλούσατο· οἱ γὰρ Ἕλληνες συνεχῶς καὶ σχεδὸν καθ' ἡμέραν ἐλούοντο. Fl. 59. χλανιδίων: τῶν ἁπαλῶν σκεπασμάτων τῶν ἐπὶ τῆς κοίτης. ἱματίων. Gu.

43.—45. ὅταν μὲν σῶμα κουφισθῇ νόσου: ἀκόλουθον τῷ "ἄραιτ' ἄχθος" τὸ κουφισθῇ νόσου. M. ὅταν μὲν κουφισθῇ τῆς μανίας, εἴσω τῶν στρωμάτων κρυβεὶς λυπεῖται, ἐξ οἵων ἄρα εἰς οἷα ἐμπέπτωκε λογιζόμενος, ὅταν δὲ τῇ μανίᾳ κάτοχος ᾖ, ἄνω καὶ κάτω φέρεται ἀλλόμενος καὶ οὐκ ἐν δεμνίοις κεῖται, ἀλλ' ἀποπηδᾷ μὲν δρομαῖος, ὥσπερ πῶλος ἀπαλλαγεὶς τοῦ ζυγοῦ. Gu.

43. σῶμα: κατὰ τό. Fl. 59. κουφισθῇ: ῥαϊσθῇ καὶ ἀπαλλαγῇ. Gu. ἐλαφρωθῇ. Fl. 59. ἀπὸ τῆς μανίας. Gr. Fl. 59.

44. ἔμφρων δακρύει: ἀντὶ τοῦ ἔμφρων γενόμενος. ἄμεινον δὲ ὑφὲν ἔμφρων δακρύει. M. ἔμφρων: γενόμενος. B. Gr. δέον ἐμφρόνως εἰπεῖν, πρὸς τὸ Ὀρέστης ἔμφρων εἶπεν. Gu. σώας ἔχων τὰς φρένας. Fl. 59.

45. ἀπὸ ζυγοῦ: ὁ ἄποθεν τοῦ ζυγοῦ, ὅ ἐστιν ἀδάμαστος. M.

46.—70. Ἐκυρώθη δὲ τοῖς Ἀργείοις (τὸ περιέχον ἀντὶ τοῦ περιεχομένου) μήτε ἐν οἴκοις μήτε ἐν θυσίαις δέχεσθαι ἡμᾶς τινὰ μητροκτονήσαντας, μήτε προσαγορεύειν· κυρία δὲ, ἤτοι ὡρισμένη καὶ κεκυρωμένη, ἥδε ἡ ἡμέρα, ἐν ᾗ ἐξοίσει ἡ πόλις τῶν Ἀργείων τὴν ἀπό-

1. καὶ ἁγνὰ] ἀλλ' ἁγνὰ γὰρ M.
ib. δοκεῖ εἶναι] εἶναι δοκεῖ A.
2. ἄταφα] ἄκαυστα Fl. 59. In eo utrumque scholion conjunctum est: κάθαρσιν ἁγνείαν ἔλεγον οἱ Ἕλληνες τῶν ἁμαρτιῶν τοῦ σώματος τὴν διὰ πυρὸς καῦσιν καὶ φθορὰν τούτου· πάντα γὰρ etc. MATTH.

3. δι'] ἐξ I.
4. τῷ σ. αὐτοῦ] αὐτοῦ τῷ σ. ἡ I.
ib. ἡ τροφὴ] ἡ om. A.
5. ἠδύνατο M. ἐδύνατο A. ἐδυνήθη B.I.
12. ἄραιτ' ἄχθος] V. 3.
16. ἀλλόμενος] ἀλλώμενος Gu. quod etiam ἀλώμενος esse potest.

φασιν, εἰ πρέπει θανεῖν ἡμᾶς ἐν πετρώματι λιθοβολησίμῳ, ἢ ξίφος ἀκονήσαντά τινα βαλεῖν ἐπὶ τοῦ αὐχένος ἡμῶν δηλονότι. ἔχομεν δὲ δή τινα ἐλπίδα ὥστε μὴ θανεῖν· ἥκει γὰρ ἀπὸ τῆς Τροίας ὁ Μενέλαος εἰς τὴν γῆν τὴν ἑαυτοῦ, δηλονότι εἰς τὴν πατρίδα, τὸν λιμένα δὲ τὸν Ναύπλιον, τὸν ἀπό τινος Ναυπλίου οὕτω λεγόμενον, διανύσας κώπῃ, ἐνελιμένισε τῷ αἰγιαλῷ, ἐπὶ πολὺν χρόνον ἐκ τῆς Τροίας πλανηθείς· τὴν δὲ πολλῶν στεναγμῶν αἰτίαν Ἑλένην προέπεμψεν εἰς τὸν οἶκον τὸν ἡμέτερον, ἐπιτηρήσας νύκτα, ἵνα μή τις ἰδὼν πορευομένην κατὰ τὴν ἡμέραν ὧν οἱ παῖδες ἀπέθανον ἐν τῇ Τροίᾳ λιθοβολήσῃ αὐτήν· ἔστι δὲ ἔσω κλαίουσα τὴν ἀδελφὴν καὶ τὴν δυστυχίαν τῶν δωμάτων. ἔχει δὲ δή τινα παραμυθίαν τῶν θλίψεων· ἣν γὰρ ὁ Μενέλαος ἀπὸ τῆς Σπάρτης ἀγαγὼν ἔλιπε κατὰ τοὺς οἴκους, ὅτε ἔπλει εἰς τὴν Τροίαν, τῇ ἐμῇ τε μητρὶ παρέδωκεν ἀνατρέφειν, τὴν παρθένον λέγω τὴν Ἑρμιόνην, ἐπὶ ταύτῃ χαίρει καὶ ἐπιλήθεται τῶν δυστυχιῶν. βλέπω δὲ πᾶσαν εἰσέλευσιν, πότε ὄψομαι τὸν Μενέλαον ἥκοντα, ὅτι κατὰ τὰ ἄλλα ἐπ' ἀσθενοῦς ῥώμης ὀχούμεθα καὶ φερόμεθα, ἐὰν μὴ σωθῶμεν κατά τι παρ' ἐκείνου. ἄπορον χρῆμα ὑπάρχει δηλονότι ὁ δόμος ὁ δυστυχῶν. I.

46. ἔδοξε δ' Ἄργει: φανερὸν ὅτι ἐν Ἄργει ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται. A.B.M.I. Ὅμηρος δὲ ἐν Μυκήναις φησὶν εἶναι τὰ βασίλεια τοῦ Ἀγαμέμνονος, Στησίχορος δὲ καὶ Σιμωνίδης ἐν Λακεδαιμονίᾳ. A.B.I.

μὴ πυρὶ δέχεσθαι: τὸ ἑξῆς, ἔδοξε δ' Ἄργει τῷδε μήθ' ἡμᾶς στέγαις δέχεσθαι. πρὸς δὲ τὸ πῦρ οὐδὲν ἀνταπέδωκεν· ἔξωθεν οὖν προσυπακουστέον τὸ ἐναύειν. καὶ ἔστι σχῆμα Ἀττικὸν, μὴ πυρὶ ἐναύειν, ἀντὶ τοῦ μήτε πυρὸς ἐναύειν. οὐ γὰρ τὸ δέχεσθαι πρὸς τὸ πῦρ ληπτέον. A.B.M.I.

ἔδοξε δ' Ἄργει: ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. B. ἔδοξε δὲ τῷ Ἄργει, ἤγουν τῷ λαῷ, μήτε δέχεσθαι ἡμᾶς ἐν ταῖς στέγαις

19. ὑπόκειται ante ἡ σκηνὴ I., om. M.
ib. Μυκήναις] μυκήνῃ A.
ib. φησὶν εἶναι τὰ β. τοῦ ἀ. A. φησὶ τὰ β. ἀ. B.I.
22. τὸ ἑξῆς] τὸ δὲ ἑξῆς B.I., omisso lemmate μὴ πυρὶ δέχεσθαι.
24. οὖν] γὰρ A.
ib. προσυπακουστέον A. ὑπακουστέον ceteri.
25. ἀντὶ—ἐναύειν om. A.

καὶ ἐν τοῖς οἴκοις μητροκτονοῦντας καὶ φονεύσαντας τὴν μητέρα, μήτε δέχεσθαι ἐν πυρὶ, ἤγουν ἐν ταῖς θυσίαις, μήτε προσλαλεῖν ἡμᾶς τινά. Fl. 59.

ἔδοξε : ἐκυρώθη. Gr. *ἐκρίθη, ἐτυπώθη, ἀρεστὸν, ἐφάνη.* Gu.

47. *προσφωνεῖν : χαιρετίζειν.* Gr. *προσλαλεῖν ἡμᾶς.* Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

48. *μητροκτονοῦντας : ἀντὶ τοῦ μητροκτονήσαντας.* Gr. *τὴν μητέρα φονεύσαντας, κατ' ἀντιχρονισμόν.* Gu. *κυρία δ' ἥδ' ἡμέρα : ἐν ταύτῃ ἐστὶ τὸ κῦρος.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *κυρωθεῖσα, ὡρισμένη, τετυπωμένη.* Gu. *ἡμέρα : ἤγουν ἡ σήμερον.* Fl. 59.

49. *ἐν ᾗ διοίσει : ἀντὶ τοῦ ἐξοίσει.* Gr. *ἐξενέγκῃ, κομίσει.* Gu. *ἡ διά ἀντὶ τῆς ἐξ, ὡς τὸ "διεγράψατέ με τῆς πολιτείας," ἤγουν ἔξω ἐβάλετε.* Gu. *τῆς ψήφου γὰρ ἀποφηναμένης θανεῖν αὐτοὺς διὰ ξίφους, οἱ δὲ αὐτόχειρα μᾶλλον τὸν φόνον αὐτῶν ποιήσασθαι εἵλοντο.* Gu.

50. *χρή : πεπρωμένον ὑπάρχει.* Gu.

νώ : δυϊκῶς νὼ ἡμεῖς οἱ δύο. M. *ἡμᾶς.* M. Gr.

λευσίμῳ : βολαῖς πέτρων. B. *λιθολεύστῳ.* Gu. *λιθοβολησίμῳ.* Gr.

πετρώματι : λιθάσματι. M. Gu.

51. *ἢ φάσγανον θήξαντ' : δυϊκῶς τὸ φάσγανον θήξαντε. κέκριται δὲ, φησὶν, ἡμᾶς τελευτῆσαι· πότερον δὲ λίθοις βληθέντας ἢ ξίφει, τήμερον κρινοῦσιν.* A.B.M.I. *θήξαντ' : ἀκονήσαντα τινά.* Gr. *ἡμᾶς.* Gu.

54. *λιμένα δὲ Ναυπλίειον : Ναύπλιος γὰρ Ἀργεῖος ἀνὴρ, ναυτικῆς ἔμπειρος, λιμένα κατασκευάσας ἀφ' ἑαυτοῦ ἐκάλεσε Ναυπλίειον. ἦν δὲ οὗτος υἱὸς Ποσειδῶνος καὶ Ἀμυμώνης. ἢ ὅτι ἐν λιμένι διέτριβεν, ἐκ τούτου ὁμώνυμος αὐτῷ ὁ λιμήν.* A.B.M.I.

22. *δυϊκῶς—θήξαντε* om. B.I.
23. *δὲ* om. A.B.I.
ib. *πότερον δὲ*] *δὲ* om. M.
ib. *λ. β. ἢ ξίφει*] *ξίφει ἢ λ. β.* I. In A. *ἢ λ. β. ἢ ξίφει.*
24. *τήμερον*] *σήμερον* B.I.
ib. *κρινοῦσιν*] *κρινοῦμεν* M.

26. *Ναυπλίειον*] *ναύπλιον* B.M. in lemmate ut in textu.
ib. *γὰρ* om. B.I.
27. *ναυπλίειον* A. *ναύπλιον* ceteri.
28. *οὗτος* add. A.
ib. *λιμένι* pro *λειμῶνι* A. ut Lennep. ad Phalar. p. 57.

Ναυπλίειον: Ναύπλιος λιμὴν ἐκλήθη ἀπὸ Ναυπλίου, ἀνδρὸς Ἀργείου, υἱοῦ Ποσειδῶνος καὶ Ἀμυμώνης, εὑρόντος πρώτου τὰ ναυτικά. ἔστι δὲ καὶ ἕτερος ἀνὴρ Ναύπλιος, πατὴρ Παλαμήδους, ὃς ἀμυνόμενος τοὺς Ἕλληνας διὰ τὸν ἐν Τροίᾳ τοῦ παιδὸς φόνον, ἐπιτηρήσας ὅτε ἀνέστρεφον ἐκεῖθεν, οὓς ἂν εὗρε χειμαζομένους ἀπ' αὐτῶν τῷ τῆς θαλάσσης βυθῷ παρεδίδου· ἔστι δὲ οὗτος ὁ λιμὴν ἐν Ἄργει. Bar. Gu.

ἐκπληρῶν πλάτῃ: ἤτοι τὴν ὁδὸν διαπεπερακὼς ταῖς κώπαις τὸν λιμένα προσορμίζεται ταῖς ἀκταῖς. ἀπὸ δὲ τῶν πλατῶν τὰς ναῦς σημαίνει. πλάτη δὲ τὸ πλατὺ τῆς κώπης, ὃ καθίεται εἰς τὴν θάλασσαν. A.B.M.I. ἀντὶ τοῦ διανύσας κώπῃ. Gr. ἐκτελῶν, διαπερῶν. Gu.

55. γράφεται ἡ λέξις παρ' Ἀριστείδῃ. Gu.

ἀκταῖσιν ὁρμεῖ: αἰγιαλοῖς ἐλλιμενίζει. Gu. ἀντὶ τοῦ τῷ αἰγιαλῷ ἐνελιμένισεν. Gr.

δαρὸν—χρόνον: ἐπὶ πολὺν χρόνον. Gr. πολύν. M.

56. ἄλαισι: πλάναις. M. Gr. πλαγχθείς: πλανηθείς. M. Gr. πολύστονον: τὴν αἰτίαν πολλοῦ στόνου. B. τὴν πολλῶν στεναγμῶν αἰτίαν. Gr. ἢ τὴν ἀξίαν. Gu. Bar.

57. εἰσιδών: περισσὴ ἡ εἰς. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

58. μεθ' ἡμέραν: οὐκ ὀρθῶς νῦν ποιοῦσιν αὐτὴν τῶν ὑποκριτῶν προεισπορευομένην καὶ τὰ λάφυρα προεισπορευόμενα μεθ' ἡμέραν· ῥητῶς γὰρ αὐτὴν νυκτὸς ἀπεστάλθαι φησί. τὰ δὲ κατὰ τὸ δρᾶμα ἡμέρᾳ συντελεῖται. A.B.M.I. μεθ' ἡμέραν Ἀττικῶς· καθ' ἡμέραν καὶ εἰς ἡμέραν κοινῶς. Gu.

ὑπ' Ἰλίῳ: ἡ ὑπό ὅταν σημαίνῃ τὴν ὑποκάτω, κατὰ κοινοὺς γενικῇ, κατὰ δὲ Ἀττικοὺς δοτικῇ. Gu.

5. εὗρε χ. ἀπ' αὐτῶν τῷ τῆς (τῆς om. Gu.)] αὐτῶν εὗρε χ. τῷ τῆς Bar.
8. ἐκπληρῶν] δὲ add. A.B.
ib. ἤτοι om. M.
ib. διαπεπερακὼς ταῖς] διαπεπερακότες M.
ib. τὸν λιμένα om. B.I.
9. ἀπὸ] ὑπὸ I.
ib. σημαίνει. πλάτη] ἐσήμαινε. πλάτην A.
10. καθίεται] μεθίεται I.
21. οὐκ — λάφυρα] οὐκ ὀρθῶς νῦν ποιοῦσι τινὲς τῶν ὑποκριτῶν προεισπορευομένην τὴν ἑλένην καὶ τὰ λάφυρα Fl. 33.
22. προεισπορευόμενα om. Fl. 33. μεθ' ἡμέραν om. A.B.M.
ib. ῥητῶς] ἀρρήτως A.B.M.I. Correxi ex Fl. 33.
23. συντελεῖται] ἐκτελεῖται I. συντελεῖται est etiam in Fl. 33.

59. ἐς πέτρων ἔλθῃ βολάς: λιθοβολήσῃ. ἡ εὐθεῖα ὁ πέτρος. Gr. Fl. 6. 9. 21. 56. 59. 76.

60. προὔπεμψεν: ἔμπροσθεν ἔπεμψεν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. προαπέστειλεν. Gu.

61. συμφοράς τε δωμάτων: συμφορὰ οὐ μόνον ἡ δυστυχία, ἀλλὰ καὶ ἡ συνέλευσις, ὡς ἔχει καὶ τὸ τοῦ Σοφοκλέους "κἀπὶ συμφορᾷ γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο." Gu.

62. παραψυχήν: παραμυθίαν. Gr. παρηγορίαν. Gu.

64. ἔλιφ' ὅτ' ἐς Τροίαν ἔπλει: ὁ Μενέλαος δηλονότι, ὅνπερ ἑξῆς ἐπάγει. ἐδεδίει γὰρ ἡ Ἑλένη ἡμέρας ἐπιπολούσης εἰσελθεῖν, ἵνα μὴ ὑπὸ τῶν πατέρων, ὧν κατὰ Ἴλιον οἱ παῖδες ἔπεσον, ἀναιρεθῇ. αὕτη γὰρ τούτου αἰτία καὶ ἑτέρων πολλῶν. διὰ τοῦτο νυκτὸς ἐπικαταλαβούσης εἰσῄει μή τινα ἔχουσα κατ' ὄψιν. A.

67. εἴσοδον: διέλευσιν, δίοδον, ὁδόν. Gu.

68. τά γ' ἄλλα: ἀντὶ τοῦ ἐπ' ἀσθενοῦς δυνάμεως φερόμεθα. B. κατὰ τὰ ἄλλα γὰρ ἐπ' ἀσθενοῦς ῥώμης κρεμώμεθα, ἤγουν οὐδείς ἕτερος ἔστιν ὁ βοηθήσων ἡμᾶς, ἐὰν μὴ παρὰ τοῦ Μενελάου σωθῶμεν. Fl. 59.

70. ἄπορον χρῆμα: ἄπορον χρῆμα ὑπάρχει ὁ δόμος τῶν δυστυχῶν, ἤγουν τοὺς δυστυχοῦντας οὐδεὶς ἔστιν ὁ βοηθῶν αὐτούς. Fl. 59. ἤγουν οἱ δυστυχοῦντες ἀποροῦσιν ὅ τι καὶ δράσουσιν. Gu.

71.—80. ὦ παῖ Κλυταιμνήστρας: ὦ θύγατερ τῆς Κλυταιμνήστρας καὶ τοῦ Ἀγαμέμνονος, παρθένε ἐπὶ μακρὸν δὴ μῆκος χρόνου, πῶς σύ τε, ὦ τάλαινα, ἔφυς δηλονότι κατὰ κοινοῦ, ὁ σός τε κασίγνητος Ὀρέστης οὗτος ἔφυ καὶ ἐγένετο φονεὺς τῆς μητρός; τοῖς προσφθέγμασι γάρ σου, ἤγουν τῇ πρὸς σὲ ὁμιλίᾳ, οὐ μιαίνομαι, ἀνατιθεῖσα τὸν φόνον εἰς τὸν Ἀπόλλωνα. καίτοι θρηνῶ τὸν θάνατον τῆς Κλυταιμνήστρας τῆς ἐμῆς ἀδελφῆς, ἥν, ἀφ' οὗ ἔπλευσα πρὸς τὴν Ἴλιον, (ὅπως δὲ καὶ πῶς ἔπλευσα, ἀπὸ μήνιδος θείας,) οὐκ εἶδον, στερηθεῖσα δὲ τῆς ἀδελφῆς θρηνῶ τὰς τύχας καὶ τὰς δυστυχίας. ἰστέον δὲ ὅτι ἡ αὐτὴ Ἠλέκτρα παρ' Ὁμήρῳ Λαοδίκη εἴρηται, ἢ κατὰ τρόπον διωνυμίας Ἠλέκτρα ἐκλήθη, διὰ τὸ κατ' ὄψιν ἠλεκτρῶδες καὶ χρυσοειδὲς, ἢ κατὰ λόγον τινὰ σκώμματος, διὰ τὸ πολὺν χρόνον

6. Σοφοκλέους] El. 1230.

9. ὅνπερ] ᾧπερ A. In M. τίς ἔλιπεν δῆλον ⁘ ὁ μενέλαος ὅπως τὸ ἑξῆς ἐπείγει:—

31. εἴρηται King. εὕρηται I.

ἄλεκτρον μεῖναι χόλῳ Κλυταιμνήστρας, ὃ δὴ καὶ Εὐριπίδης νῦν παρίστησιν ἐν τῷ παρθένε δὴ μῆκος. I.

ὦ παῖ Κλυταιμνήστρας: τοῦ προσήκοντος ἤθους ἐξέπεσεν ὁ Εὐριπίδης· νῦν γὰρ πρῶτον ἀλλήλας ἀποβλέπουσι, καὶ ἀήθως πάνυ οὔτε ἀσπάζονται ἀλλήλας οὔτε προσφωνοῦσιν, ἅμα δὲ δυσωπεῖ τὴν Ἠλέκτραν, καὶ λυπεῖ ὑπομιμνήσκουσα τοῦ ὀνόματος Κλυταιμνήστρας καὶ προστάττουσα. A.B.M.I. ἀκολούθως δὲ καὶ τόδε διὰ μέσου. ἡ μὲν Ἑλένη ἔξεισιν ἔχουσα χοὰς καὶ τὸν βόστρυχον ἀποτετμημένον. τὸ δὲ ἑξῆς, μακρὸν δὴ μῆκος χρόνου παρθένε, Ἠλέκτρα, ἀντὶ τοῦ, ὦ πολυχρόνιε παρθένε, ἤτοι πολλῷ χρόνῳ παρθενευομένη. τοῦτο δὲ ὑβρίζουσα αὐτήν φησιν, ὡς αἰτίαν ἔχουσαν καὶ διὰ τοῦτο μὴ γαμουμένην. παρεμφαίνει δὲ διὰ τούτου ὅτι εὐμοιρίας νομίζει τέλος τὸν γάμον. B.M.I. ἐξιοῦσα τῶν δόμων ἡ Ἑλένη κατέχει χοὰς καὶ βόστρυχον τῶν οἰκείων τριχῶν ἀποτετμημένον. Gu.

72. μακρὸν δὴ μῆκος: ὅ ἐστι πολὺν χρόνον παρθενεύουσα. τοῦτο δὲ καὶ ὑβρίζουσά φησιν ὡς αἰτίαν ἐχούσῃ καὶ διὰ τοῦτο μὴ γαμουμένῃ. A. ἔστιν δηλονότι, ἐξ ὅτου οὐκ οἶδα ὑμᾶς. παρασιώπησις. Fl. 21. ἥτις ἦσθα παρθένος ἐπὶ πολὺν χρόνον· διὰ γὰρ τοῦτο ἐκλήθης πολὺν χρόνον οὖσα παρθένος. Fl. 6.

73. πῶς, ὦ τάλαινα: διὰ τοῦτο ὠνείδισεν αὐτὴν ὡς μητροφόνου ἀδελφήν. οἱ δὲ τοῖς ἐναγέσι προσφθεγγόμενοι αὐτοὶ δοκοῦσι μιαίνεσθαι, ὡς καὶ ἐν Ἡρακλεῖ καὶ Ἰξίονι δέδεικται. A. ἔχετε δηλονότι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

74. φονεὺς ἔφυ: δέον ἔφυτε εἰπεῖν, ἐπειδὴ καὶ ἀμφότεροι τὸν

3. ὁ Εὐριπίδης] ὁ om. A.
4. ἀποβλέπουσιν M. βλέπουσι B.I.
ib. ἀήθως] εὐήθους A.
5. οὔτε προσφωνοῦσιν om. I. Similia habet Flor. 59. θέλουσα ἵνα λυπήσῃ τὸν Ἠλέκτραν ἡ Ἑλένη ὑπομιμνήσκει αὐτὴν τοῦ τῆς μητρὸς πρότερον ὀνόματος. ἀήθως δὲ πάνυ πρὸς ἀλλήλας βλέπουσι, καὶ οὔτε ἀσπάζονται ἀλλήλας, οὔτε προσφωνοῦσιν. ὀνειδίζουσα αὐτὴν λέγει ὡς μητροφόντας.
6. λυπεῖ ὑπομιμνήσκουσα] διυπομιμνήσκουσα A.
ib. τοῦ ὀ. K.] τοῦ τῆς κ. ὀ. I.
7. προστάττουσα] προστάσσουσα M.
ib. διὰ μέσου—ἀποτετμήμενον] διατετμημένον I., librario vel typotheta ab διὰ ad τετμημένον aberrante, omissis μέσου—ἀπο.
10. ἤτοι] ἄλλως. παρθένε μακρὸν δὴ μῆκος, ἤτοι M.
11. ὑβρίζουσα] καὶ ὑβρίζουσα I.
ib. ἔχουσαν—γαμουμένην] ἔχουσα—γαμουμένη I.
12. π. δὲ διὰ τούτου] καὶ διὰ τούτου π. M.
13. ἐξιοῦσα—] Hoc scholion repetitur in Gu. ad v. 96. ubi δωμάτων et ἀποτετμημένων legitur.
22. Ἡρακλεῖ] 1219. Quod de Ixione dicit aliunde nondum cognitum.

φόνον εἰργάσαντο, ἡ μὲν βουλευσαμένη, ὁ δὲ πράξας, ὁ δὲ εἰπὼν "σύ τε κασίγνητός τε σός" πρὸς τὸν Ὀρέστην ἀπέδωκε, διὰ μὲν τοῦ συμπαραλαβεῖν ἀμφοτέρους δεικνύων βουλευσαμένους τὸν φόνον, διὰ δὲ τοῦ ἔφυ μόνον τὸν Ὀρέστην εἰργασμένον. ἢ οὕτω, δέον εἰπεῖν, πῶς ἔχετε, ὦ τάλαινα σύ τε κασίγνητός τε σὸς, τλήμων Ὀρέστης, ὁ δὲ τὴν ὁρμὴν τῆς προτάσεως, ἤτοι τὸ ἔχετε, ἐάσας, ἐπειδὴ Ὀρέστης ἐφόνευσε τὴν μητέρα, πρὸς τοῦτον τὴν ἀπόδοσιν ἐποιήσατο. ἀγνοοῦντες δέ τινες τὸ ὅδε ἀντὶ τοῦ ὅστις φασίν. ἔστι δὲ τὸ ὅδε διὰ μέσου δεικτικόν. Gu. I.

75. προσφθέγμασιν: προσφωνήμασι· κατὰ γὰρ τὴν πρὸς σὲ ὁμιλίαν οὐ μιαίνομαι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὁμιλίαις, προσλαλιαῖς. Gu. σέθεν: ἀπὸ σοῦ. συνάπτεται δὲ πρὸς τὸ μιαίνομαι. Gu.

76. εἰς Φοῖβον ἀναφέρουσα τὴν ἁμαρτίαν: καὶ τοῦτο πανούργως· ἀναμάρτητον γὰρ τὸ θεῖον. ἐμφαίνεται οὖν ὡς καταψευδομένων αὐτῶν τοῦ Ἀπόλλωνος. A.B.M.I. εἰς Φοῖβον κρύπτει τὴν μοιχείαν αὐτῆς καὶ εἰς τὸν θεὸν ἀναφέρει τοῦτο. Fl. 59.

77. καίτοι: σημείωσαι ὅτι τὸ καίτοι μετὰ μετοχῆς συντάσσεται, εἰ μὴ κατὰ στιγμὴν ᾖ. Gu.

78. ἣν ἐπεὶ πρὸς Ἴλιον ἔπλευσα: ἣν οὐκ εἶδον ἀφ' οὗ εἰς τὴν Ἴλιον ἔπλευσα· διὰ μέσου γὰρ τὸ "ὅπως ἔπλευσα," εἶτα, ὥσπερ αἰτίαν λέγουσα τοῦ πλοῦ, "θεομανεῖ πότμῳ" φησὶν, ἀντὶ τοῦ ὑπὸ εἱμαρμένης μανεῖσα, ἢ μοίρᾳ θεοῦ μανεῖσα. Ἄλλως. ἣν οὐκ εἶδον ἀφ' οὗ πρὸς Ἴλιον ἔπλευσα· εἰ δὲ θέλεις γνῶναι πῶς ἔπλευσα, γίνωσκε ὅτι θεομανεῖ πότμῳ. κρύπτει δὲ τὴν μοιχείαν, καὶ ὑπὸ βίας δαίμονός τινος ἦχθαι εἰς Τροίαν φησίν. A.B.M.I.

79. ὅπως δ' ἔπλευσα: διὰ μέσου ταῦτα, ἤγουν ὁ τρόπος τοῦ ἐμοῦ ἀπόπλου ὑπὸ δυστυχίας ἦν θεομανής. Gr. I.

1. σύ τε] σύ γε I.
6. ὁ Ὀρέστης] ὁ om. I.
8. τὸ ὅδε] τὸ om. I.
15. θεῖον — καταψευδομένων] θεῖον ἐμφαίνει ὁ ποιητὴς ὡς καταψευδομένων B.I. Mutavi ex M. qui ἐμφαίνε (sic) et καὶ ψευδομένων. In A. est ἐμφαίνει οὖν ὡς καταψευδομένων αὐτῶν τοῦ ἡλίου.
21. ὅπως] ὅπως δ' A.
22. τοῦ πλοῦ om. A. qui post λέγουσα pergit θεομανεῖ πότμῳ τὴν εἱμαρμένην φησί. κρύπτει δὲ τὴν μοιχείαν καὶ ὑπὸ δαίμονός τινος ἦχθαι εἰς τὴν τροίαν φησίν :—
24. πῶς] ὅπως I.
25. βίας δαίμονός τινος] δαίμονός τινος καὶ βίας M.
26. φησίν om. M.

θεομανεῖ πότμῳ φησὶν ἀντὶ τοῦ ὑπὸ εἱμαρμένης ἐλαθεῖσα. κρύπτει δὲ τὴν μοιχείαν, ἄδηλον τίνος ἀπολειφθεῖσα θρηνεῖ, τοῦ μὴ εἰδέναι τὴν Κλυταιμνήστραν, ἢ τοῦ γνῶναι τὴν αἰτίαν τῆς μοιχείας ἢ τοῦ φόνου. Fl. 33. *ἀπὸ μήνιδος θείας δυστυχίᾳ.* Gr.

80. *ἀπολειφθεῖσα δ' αἰάζω τύχας*: *ἄδηλον τίνος ἀπολειφθεῖσα θρηνεῖ, τοῦ μὴ εἰδέναι τὴν Κλυταιμνήστραν, ἢ τοῦ γνῶναι τῆς πορνείας τὴν αἰτίαν.* A.B.M. *ἢ τὸ καταλαβεῖν ζῶσαν τὴν Κλυταιμνήστραν ἀπολειφθεῖσα τοῦ γνῶναι τὸν τρόπον τῆς ἐμῆς φυγῆς.* A.

τύχας: *τὰς δυστυχίας.* Gr. *ἡ τύχη μέση λέξις ἐστὶ καὶ ἐπὶ δυστυχίας λαμβανομένη καὶ ἐπὶ εὐτυχίας, ὡς καὶ ἡ ὀσμὴ καὶ ἐπὶ εὐωδίας λαμβάνεται καὶ ἐπὶ δυσωδίας.* Fl. 59.

81.—87. *Ἑλένη*: *ὦ Ἑλένη, τί λέγοιμι ἄν σοι, ἄγε, ἥτις σὺ παροῦσα ὁρᾷς τὸν γόνον, ἤτοι τοὺς παῖδας τοῦ Ἀγαμέμνονος, ἐν συμφοραῖς; ἐγὼ μὲν ἄϋπνος πάρεδρος θάσσω, ἀντὶ τοῦ παρακάθημαι, ἀθλίῳ νεκρῷ· νεκρὸς γὰρ οὗτος χάριν μικρᾶς ἀναπνοῆς, τουτέστιν ἐγγύς ἐστι νεκροῦ, διότι σμικρὰν ἔχει πνοήν· τὰς τούτου δὲ δυστυχίας οὐκ ὀνειδίζω· σὺ δὲ εἶ μακαρία, μακάριός τε ὁ σὸς πόσις Μενέλαος, ἥκετε εἰς ἡμᾶς ἀθλίως δυστυχήσαντας.* I.

81. *Ἑλένη, τί σοι λέγοιμ' ἄν*: *πρὸς πάσας τὰς ὕβρεις ἀντέθηκε τὸ Ἑλένη, ὅθεν καὶ χιάζεται ὁ στίχος. σεσημείωται γὰρ τὸ ὄνομα τῆς Ἑλένης. αἰνίττεται δὲ ὅτι πονήρως κερτομεῖ περὶ τούτων πυνθανομένη περὶ ὧν παροῦσα ὁρᾷ.* A.B.M.I. *Ἄλλως. τὸ Ἑλένη, τί σοι λέγοιμ' ἄν, βαρυνομένου ἦθος δηλοῖ κατὰ τοὺς παλαιούς. ἡ γὰρ τοῦ κυρίου ὀνόματος χρῆσις ποτὲ μὲν βαρύτητός ἐστιν, ὡς ἐνταῦθα, ποτὲ δὲ ἀφελείας, ὡς παρ' Ὁμήρῳ ἐν τῇ ζ' ῥαψωδίᾳ, ὡς ἀπὸ τῆς Ἀνδρομάχης, "Ἕκτορ, ἀτάρ σύ μοι ἐσσὶ πατὴρ καὶ πότνια μήτηρ."* I.

τί σοι λέγοιμ' ἄν: *τίς χρεία διηγήσασθαί σοι ἅτινα ὁρᾷς; τί δὲ ὁρᾷς; ἐν συμφοραῖς τὸν Ἀγαμέμνονος γόνον. δῆλον δὲ ὅτι οὐ τὸν Ὀρέστην μόνον λέγει, ἀλλὰ καὶ ἑαυτὴν Ἀγαμέμνονος γόνον· περὶ*

6. *εἰδέναι*] *ἰδεῖν* A.
19. *ἀντέθηκε*] *ἀντίκειται* I. *ἀνατέθεικε* A.
20. *χιάζεται*] In *σχίζεται* corruptum in Fl. 33.
21. *πονήρως*] Hoc accentu B.I., non *πονηρῶς*, ut editores posteriores. *πονήρου* M.
ib. *περὶ τούτων* om. I.
22. *ὁρᾷ*] *ὁρᾷς* M.
25. *Ὁμήρῳ*] Il. 6, 429.
28. *τίς*] *τί* I.

τῶν δύο γὰρ καὶ ἡ Ἑλένη ἐπύθετο λέγουσα "πῶς, ὦ τάλαινα, σύ τε κασίγνητός τε σός·" εἰκότως οὖν καὶ αὐτὴ ἐπάγει τὴν ἑαυτῆς ἄϋπνον δυσδαιμονίαν καὶ τὴν Ὀρέστου νόσον. B.I.

82. ἐν συμφοραῖσι τὸν Ἀγαμέμνονος γόνον: τὴν ἀπολογίαν δι' ἑνὸς ἐδήλωσεν ὀνόματος· καὶ Ὀρέστης γὰρ κρινόμενος εἰς τὴν τοῦ πατρὸς κατέφυγε φιλοτιμίαν A.B.M.I.

ἅ γε: ἥτις ἢ ἅτινα. Gu. παροῦσ': ἐπιδημοῦσα ἐνταῦθα. Fl. 59. ὁρᾷς: ἀντὶ τοῦ ὁράσεις. ἀντιχρονία. Fl. 21.

83. ἐγὼ μὲν ἄϋπνος: ἐγὼ μὲν μὴ καθεύδουσα παρεδρεύω ἕνεκα τοῦ μικρὸν ἐμπνεῖν τοῦτον, εἶτα δυσχεραίνουσά φησι τῷ ἀθλίῳ νεκρῷ, ἵν' ἢ νεκρῷ ὄντι ἀθλίῳ καὶ βεβαίωσις τούτου, νεκρὸς γὰρ οὗτος. B.M. Ἄλλως. ἐγὼ μὲν ἄϋπνος θάσσω παρεδρεύουσα τῷ ἀθλίῳ νεκρῷ οὕνεκα σμικρᾶς πνοῆς, ὅ ἐστιν ὅπως μὴ ἀποψύξας λάθῃ με, φυλάττω. A.B.C.M. Fl. 33.

νεκρὸς γὰρ οὗτος οὕνεκα σμικρᾶς πνοῆς: ἕνεκα τοῦ πνεύματος νεκρός ἐστι. νεκρὸν γάρ τι ἔχει πνεῦμα καὶ μόλις ἀναπνεῖ. ἢ οὕτως, αὐτὸ μέν, φησί, τὸ πνεῦμα αὐτοῦ νεκρόν ἐστι. A.B.M.

οὕνεκα: τὸ οὕνεκα λαμβάνεται καὶ ἀντὶ τοῦ χάριν καὶ ἀντὶ τοῦ διότι. ἔνθα οὖν ἔνι ἀναγκαῖον πεσεῖν τὸ ἕνεκα, γράφεται καὶ τὸ οὕ-

2. αὐτὴ] αὔτη B.

4. ἐν—γόνον] In M. lemma ἐν συμφοραῖσι, in B.I. nullum.

ib. ἀπολογίαν] ἀπολογίαν δὲ B. et Fl. 33. ἀπώλειαν δὲ I. "Significare videtur uno nomine Agamemnonis Electram factum excusare, cui amor patris causam dederit." MATTH.

5. εἰς] ἐπὶ B.I.

6. φιλοτιμίαν] φιλότητι I. In A. scholion totum sic conformatum τὴν ἀπολογίαν δι' ἑνὸς ἐδήλωσεν ὀνόματος. καὶ ὀρέστην γὰρ κρινόμενον εἰς τὴν τοῦ πατρὸς ἀπολογίαν κατέφυγεν. ὁ δὲ νοῦς, τί ἔχων εἰπεῖν ἃ ὁρᾷς. τί δὲ ὁρᾷς ἐν συμφοραῖσι τὸν ἀγαμέμνονος γόνον, δηλονότι ἐμὲ καὶ ὀρέστην. περὶ τῶν β̄ ἐπύθετο λέγουσα πῶς ὦ τάλαινα σύ τε κασίγνητε. εἰκότως οὖν καὶ αὐτὴ ἐπιφέρει τὴν ἑαυτῆς ἄϋπνον κηδεμονίαν καὶ τὴν νόσον ὀρέστου.

9. παρεδρεύω] μὴ παρεδρεύω Fl. 33.

11. ἵν' ἢ νεκρῷ—οὗτος om. M.

12. παρεδρεύουσα] καὶ παρεδρεύουσα Fl. 33.

12. 13. Ἄλλως et ὅ ἐστιν om. A.C.

ib. φυλάττω] φυλάσσω B. φυλάττων C.

16. νεκρός ἐστι om. A.

ib. ἢ οὕτως om. M., sed lemma repetit νεκρὸς γὰρ οὗτος. In A. est ὁ δὲ λόγος, ἐγὼ μὲν μὴ καθεύδουσα παρεδρεύω ἕνεκα τοῦ μικρὸν ἐμπνεῖν τοῦτον. εἶτα δυσχεραίνουσα φησὶ τῷ ἀθλίῳ νεκρῷ:—In C. σμικρᾶς πνοῆς. αὐτὸ γάρ φησι τὸ πνεῦμα αὐτοῦ νεκρόν ἐστιν. νεκρὸς γὰρ οὗτος ἕνεκα σμικρᾶς πνοῆς. μικρὸν γάρ τι ἔχει πνεῦμα καὶ μόλις ἀναπνεῖ.

17. μέν om. B.

19. οὕνεκα Matth. ἕνεκα Fl. 59.

νεκα, οὐ μὴν ἀνάπαλιν, ἔνθα γράφεται τὸ οὕνεκα, ἵνα γραφῇ καὶ τὸ ἕνεκα. πῶς γὰρ μέλλει γράφειν εἰς τὸν Ὁμηρικὸν στίχον ἀντὶ τοῦ οὕνεκα τὸ ἕνεκα, τὸν λέγοντα "οὕνεκα τὸν Χρύσην ἠτίμησεν;" οὐ γὰρ λαμβάνεται καὶ τὸ ἕνεκα διπλῶς ἀντὶ τοῦ διότι καὶ ἀντὶ τοῦ οὕνεκα. Fl. 59. διότι μικρὰν εἶχε πνοὴν, ἐγγύς ἐστι νεκροῦ. Gu.

85. τὰ τούτου δ' οὐκ ὀνειδίζω κακά: σιωπῶ τὰ κατὰ τοῦτον, ἵνα μὴ δόξω αὐτῷ ὀνειδίζειν τὴν μητροκτονίαν, καὶ διὰ μὲν τῆς σιωπῆς τὸ πλῆθος τῶν κακῶν αὐτοῦ ἐσήμανεν, ἐμφαίνει δὲ ὅτι σὺ μὲν ὠνείδισας αὐτῷ εἰποῦσα ὅτι μητρὸς ὅδε φονεὺς ἔφυ, ἐγὼ δὲ οὔ. A.B.C. M. Fl. 33. 59.

86. σὺ δ' εἶ μακαρία: πλεονάζει τὸ ὑπαρκτικὸν ῥῆμα, ἵν' ᾖ, σὺ δὲ εἶ μακαρία καὶ ὁ ἀνὴρ ὁ σὸς μακάριος. εἰς τὸ πόσις τελεία στιγμὴ, τὸ δὲ ἑξῆς ἀπολύτως. B.M.

σὺ δ' εἶ μακαρία: τινὲς στίζοντες εἰς τὸ πόσις τὸ ἑξῆς κομματικὸν ἐκφέρουσιν, ἀπατηθέντες ἐκ τοῦ ὑπαρκτικοῦ ῥήματος τοῦ σὺ δ' εἶ μακαρία, κἀνταῦθα ἕτερον προσλαμβάνοντες. φασὶ γὰρ οὕτω· σὺ δ' εἶ, ὦ Ἑλένη, μακαρία, καὶ ὁ σὸς πόσις μακάριός ἐστιν, εἶτα λέγουσι τὸ "ἥκετον ἐφ' ἡμᾶς ἀθλίως πεπραχότας" κομματικόν. τὸ δὲ οὐκ ἔστι τοιοῦτον, ἀλλ' εἰποῦσα ἡ Ἠλέκτρα, σὺ δὲ, ὦ Ἑλένη, μακαρία εἶ, ὤφειλεν εἰπεῖν, καὶ ὁ σὸς πόσις μακάριός ἐστι· νῦν δὲ οὐχ οὕτως, ἀλλὰ καινοπρεπῶς ἐξήνεγκε, πρὸς μὲν τὴν Ἑλένην ὑπαρκτικῷ ῥήματι χρησάμενος ἑνικῷ τῷ εἶ, πρὸς δὲ τὸν Μενέλαον ἀντὶ τοῦ ἐστι τὸ ἥκετον εἰποῦσα, συμπεριλαμβάνουσα ἀμφοτέρους, Ἑλένην τε καὶ Μενέλαον. Gu.

87. ἥκετον: ἤλθετε πρὸς ἡμᾶς. τῇ προσθήκῃ δὲ τοῦ ἐφ' ἡμᾶς

6. κατὰ τοῦτον] κακὰ τούτου A.C. Fl. 33. 59.

7. δόξω] δόξῃ A.

ib. αὐτῷ] αὐτὸν C.

ib. διὰ μὲν τῆς σ. (τὴν σιωπὴν C.) τὸ π.] διὰ τῆς σ. μὲν τὸ π. B. διὰ τῆς σιωπῆς τὸ μὲν πλῆθος A. Fl. 33. 59.

8. αὐτοῦ om. A.C.

9. αὐτῷ] αὐτὸν C. Fl. 33. 59. αὐτὴν B.

ib. εἰποῦσα (εἰπὼν A.) ὅτι] ὅτι om. B.C. Fl. 33. 59.

ib. ὅδε] δὲ B.C.M. Vid. v. 74.

ib. ἔφυ om. B.C.M.

11. πλεονάζει] δὲ add. B., omisso lemmate.

13. ἀπολύτως] Pergit B. τὸ δὲ ἥκετον ἐφ' ἡμᾶς ἀπολύτως ἤλθετε etc. (schol. v. 87.)

14. 18. κομματικ" (i.e. κομματικὸν) Gu. κομματικῶς Matth.

25. ἥκετον—ἤλθετε] τὸ δὲ ἥκετον ἐφ' ἡμᾶς ἀπολύτως ἤλθετε B. ἀπολύτως ex scholio v. 86. illatum. Idem error in Fl. 33. in quo totum scholion sic est depravatum, ἥκετον: ἀπολύτως ἤλθετε πρὸς ἡμᾶς. τὸ ἐφ' ἡμᾶς ταχύτερον αὐτὸν ἐποίησεν. ἁρπα-

τραχύτερον αὐτὸ ἐποίησεν· ἁρπασάμενοι γὰρ ἤλθετε ἡμᾶς, φησίν. ἔοικε δὲ τῷ ἑπτὰ ἐπὶ Θήβας. A.B.M. Fl. 33.

88. πόσον χρόνον: ἐπὶ πόσον δὲ χρόνον πεπτωκὼς κεῖται ὅδε ἐν τοῖς δεμνίοις; I. πόσον χρόνον δέ: πάντως δέδοικε μὴ ὀλίγον χρόνον δυστυχοῦσι, διὸ οὐδὲ τὸν χρόνον εἶπεν ἡ Ἠλέκτρα. A.B.M.

89. ἐξ οὗπερ αἷμα: ἀφ' οὗ καιροῦ διεπράξατο τὸν τῆς μητρὸς φόνον. I. οὐ πρὸς τὴν πεῦσιν ἀπεκρίνατο· ἡ μὲν γὰρ ἤρετο ἀπὸ ποίου χρόνου νοσεῖ, ἡ δὲ εἶπεν ἀφ' οὗ τὴν μητέρα ἀνεῖλε. τοῦτο δὲ πάλιν ὁμοίως ἄδηλόν ἐστι τῇ Ἑλένῃ. A.B.M.I.

αἷμα γενέθλιον: γενέθλια πληθυντικῶς ἡ ἐν γεννήσει τινὸς τελουμένη ἑορτή, ὥσπερ γαμήλια ἡ ἐν γάμῳ, καὶ ἐγκαίνια ἡ ἐν ἐγκαινισμῷ. κατὰ ταῦτα λέγεται καὶ Κρόνια ἡ ἑορτὴ τοῦ Κρόνου, καὶ Διάσια ἡ τοῦ Διός, καὶ Τιτάνια ἡ τῶν Τιτάνων, καὶ ἕτερα. ἐνταῦθα δὲ γενέθλιον αἷμα λέγει ἀντὶ τοῦ μητρῷον, ἀπὸ τῆς γεννήσεως μετάγων τὸν λόγον ἐπὶ τὴν αἰτίαν τῆς γεννήσεως, ἤγουν τὴν μητέρα. Gu. I.

90. ὦ μέλεος: καὶ οὗτος, ὅτι μητέρα ἀνεῖλε, μέλεος, κἀκείνη, ὅτι ὑπὸ παιδὸς ἀνῃρέθη, μελέα τυγχάνει. A.B.C.M.I. τὸ δὲ ὡς ἀντὶ τοῦ πῶς, ἢ ὅπως. I.

91. ἔχει τάδ': διάκειται. Gr. ἃ λέγεις. Gu. ἀπείρηκ': ἐξήτόνησα. Gr. ἀπείρηκα, ἀπηγόρευσα, ἀπεῖπον, ἤγουν οὐ δύναμαι βαστάζειν ταῦτα. Gu. κακοῖς: ἐν ταῖς δυστυχίαις. Gr. οὕτως ἔχει ὁ Ὀρέστης ὡς μηδὲν ἰσχύειν ὑπὸ τῶν κακῶν. Fl. 21.

σόμενοι γὰρ ἤλθετε εἰς ἡμᾶς, φησίν. ἔοικε δὲ τὸ ἐπ' αὐταῖς θήβαις.

ib. τῇ προσθήκῃ δὲ τοῦ A.B. ἡ προσθήκη τοῦ M.

1. τραχύτερον αὐτὸ B. ταχύτερον αὐτὸν A.M. Tum A. ἁρπασόμενοι γὰρ ἡμᾶς ἤλθετε, reliquis omissis. In M. ἁρπασόμενοι γάρ φησιν (verbis ἤλθετε ἡμᾶς supra versum scriptis) ἔοικε δὲ τὸ etc.

2. ἔοικε] εἴρηκε B.: sed ἔοικε in marg. ab eadem manu.

ib. τῷ B. τὸ M.

ib. Θήβας] θήβαις M.

4. πάντως om. B.

5. οὐδὲ] εὔτε B.M.

6. ἀφ' οὗ—μητρὸς φόνον om. A.

7. τὴν πεῦσιν] πτεῦσιν om. M.

ib. ἤρετο] εἴρετο M.

ib. ἀπὸ ποίου χρόνου] κατὰ ποῖον χρόνον A.

8. ἀφ'] ἐξ B.I.

9. ἐστι om. M.

10. πληθυντικῶς] πᾶσι I.

15. ἤγουν] ἤτοι I.

17. καὶ οὗτος (αὐτὸς A.)—μέλεος (μενέλεος M.)] ἄθλιος οὗτος ὅτι τὴν μητέρα ἀνεῖλε I. In C. ὦ μέλεος. ἔστιν δὲ αὐτὸς ὅτι τὴν μητέρα ἀνεῖλεν μέλεος κἀκείνη ὅτι ὑπὸ παιδὸς ἀνῃρέθη μελαία τῇ ἑλένῃ τυγχάνει :—

ib. κἀκείνη] καὶ αὕτη A.

18. τυγχάνει om. M. et qui τε ἡ ἑλένη addit A.

92. πρὸς θεῶν: ἕνεκα τῶν θεῶν, καταπεισθεὶς ἂν ἐμοὶ κατά τι, ὦ παρθένε; I. πείθοι' ἄν: ὡς τὸ "ἦ ῥά τι πείθοιο, ὅττι κεν εἴπω; Gu.

93. ὡς ἄσχολός γε: λίαν εἰμὶ ἄσχολος, ἤγουν σχολῆς ἐστερημένη, τουτέστι λίαν ἀσχολοῦμαι, ἤτοι περισπῶμαι ἐν τῇ προσεδρείᾳ τοῦ ἀδελφοῦ. Gr. I. προεδρία ἡ προτίμησις καὶ ἡ πρωτοκαθεδρία· προσεδρεία δὲ ἡ ἐπίμονος καὶ διηνεκὴς ἀσχολία δίφθογγον. Gu. I. ὡς ἄσχολός γε συγγόνου προσεδρίᾳ: οὔ σοι πείσομαι ὡς ἀσχολουμένη περὶ τὴν προσεδρίαν τοῦ ἀδελφοῦ, ἀντὶ τοῦ, εἰ μὲν τὸ κελευόμενον παρὰ σοῦ χωρίζει με τοῦ ἀδελφοῦ, οὐ πείσομαι ὡς ἀσχολουμένη· εἰ δὲ οὐ χωρίζει, πείσομαι. A.C.M. Ἄλλως. τοῦτό σοι, φησὶ, πεισθείην ὃ μὴ ἀπασχολήσει με τῆς προσεδρίας τοῦ ἀδελφοῦ. ἢ παντελῶς ἀπαρνεῖται τὴν ὑπούργησιν, τουτέστιν οὐ πείθομαί σοι, ὅτι ἄσχολός εἰμι τῇ προσεδρίᾳ τοῦ ἀδελφοῦ, ἵν' ᾖ τὸ ὡς ἀντὶ τοῦ ὅτι. ἔνιοι δὲ λείπειν φασὶ τὸ μή, ἵν' ᾖ εἰρωνεία, πείθομαί σοι, ὅτι μὴ ἄσχολός εἰμι τῇ τοῦ ἀδελφοῦ προσεδρίᾳ· ἄσχολος γάρ ἐστιν. ἔνιοι, πῶς οὖν, φησὶ, φησὶ, πεισθῶ ἀσχολουμένη τῇ νοσοκομίᾳ τοῦ ἀδελφοῦ, ἢ ὡς σχολὴν ἄγουσα; ἵν' ᾖ ἐν ἐρωτήσει. B.M.I. ἀντὶ τοῦ μέγα ἐστὶ τὸ πρᾶγμα· ἢ βραχὺ τὸ ῶς ἀντὶ τοῦ ὅτε, ἵν' ᾖ ἀντὶ τοῦ ὅτε μὴ ἄσχολος. λείπει γὰρ τὸ μή. M.

2. ὡς τὸ] Hom. Il. 14, 190. ubi legitur ἦ ῥά νύ μοί τι πίθοιο.

4. λίαν—ἀσχολία] λίαν ἄσχολος εἰμὶ σχολῆς ἐστερημένη, ἀσχολοῦμαι, ἤτοι περισπῶμαι τῇ προσεδρίᾳ τοῦ ἀδελφοῦ. προεδρία ἡ προτίμησις καὶ ἡ πρώτη καθέδρα, προσεδρία δὲ ἡ ἐπίμονος καὶ διηνεκὴς ἀσχολία I.

7. δίφθογγον, quod om. I., Gu. δφ' scriptum. Ab eadem manu scholion adscriptum est, τοῦ ὀρέστου· αὐτοῦ που γὰρ ἦν καθημένη ἐγγὺς καὶ προσβλέ (sic in fine lineae, omissis literis πουσα) τὸν ὀρέστην.

8. οὔ σοι A.C. οὕτως σοι M.

ib. ὡς ἀσχολουμένη] ὡς ἀσχολοῦσα A. ὅτι ἀσχολοῦμαι C.

9. προσεδρίαν] προσεδρείαν A.

ib. ἀντὶ τοῦ om. A.C.

10. ὡς ἀσχολουμένη om. A.C.

ib. εἰ δὲ—πείσομαι om. A.

11. πείσομαι] ποιήσω C.

ib. Ἄλλως om. B., lemmate praefixo ὡς ἄσχολός γε.

ib. τοῦτό σοι—παντελῶς] τοῦτό σοι, φησὶ, πεισθείην ὃ μὴ ἀπασχολήσει με τῆς προσεδρίας (προσεδρείας B. rec.) τοῦ ἀδελφοῦ, τουτέστιν εἰ μὲν τὸ κελευόμενον παρὰ σοῦ χωρίζει με τοῦ ἀδελφοῦ, οὐ πείσομαι, εἰ δὲ (οὐδὲ B.) οὐ χωρίζει πείσομαι. ἢ ὅτι παντελῶς B.I.

12. ἀπασχολήσει με] ἀσχολήσῃ M. sine με.

14. προσεδρίᾳ] προσεδρείᾳ B.

15. πείθομαι] ἵν' ᾖ πείθομαι I.

16. τῇ τοῦ ἀ. προσεδρίᾳ (προσεδρείᾳ B.I.)] τῇ προσεδρίᾳ τοῦ ἀδελφοῦ M.

ib. γάρ—φησὶ] γὰρ ἦν. πῶς σοι, φησὶ B.I.

18. ἢ ὡς] ἵν' ᾖ ὡς I.

ib. ἐν ἐρωτήσει] ἐρωτηματικὸν B.I.

ὡς ἄσχολος: οὐ πεισθήσομαι, παρακαθημένη τἀδελφῷ, κἀνταῦθα οὐκ ἔχουσα ἄδειαν. ἐμμέριμνός εἰμι μὴ ἄδειαν ἔχουσα. Gu. τὸ προσεδρία Ἰωνικὸν διὰ τὸ μέτρον· τὸ γὰρ δρι δίφθογγον γράφεται. Gu. ἄσχολος: σχολὴ λέγεται ἡ ἄδεια καὶ ἡ ἀργία· ἀσχολία δὲ τάχα ἡ οὐκ ἔχουσα σχολὴν καὶ ἄδειαν, ἀλλὰ ἔχουσα ἔργον τι. Fl. 59.

94. βούλει: θέλεις. Gu. πρὸς τὸν τάφον τῆς ἀδελφῆς ἐμοῦ ἀπελθεῖν; Gr. I. ἁπλούστερον αὐτῇ διαλέγεται, ὅτι μέλλει δεῖσθαι αὐτῆς. ἐνταῦθα δὲ παραφυλάττεται καὶ μητρὸς εἰπεῖν σῆς, ἵνα μὴ δόξῃ ὀνειδίζειν αὐτῇ. δεῖ γὰρ εἶναι κολακευτικὸν τὸν δεόμενόν τινος. A.B.M.I.

95. μητρός: κελεύεις τῆς ἐμῆς μητρὸς τίνος χάριν; νῦν μητέρα αὐτὴν ἐκάλεσε, δεικνῦσα ὅτι οὐδὲ τὴν πρώτην λοιδορίαν προσήκατο. ἢ ὅτι διὰ τοῦ ὀνόματος τῆς ἐχθρᾶς μητρὸς παραιτεῖται τὴν αἴτησιν. ἀλλ' ἡ μὲν κολακεύουσα συγγενικῷ ὀνόματι ἐχρήσατο, ἡ δὲ παραιτουμένη τὴν κολακείαν εἶπε μητρὸς τῆς ἐμῆς. B.M.I.

96. κόμης ἀπαρχάς: φέρουσα ἀπαρχὰς τῆς κόμης καὶ χοὰς καὶ θυσίας ἐμάς. ἀπαρχὴ ἐλέγετο οὐ μόνον τὸ πρῶτον τῇ τάξει, ἀλλὰ καὶ τὸ πρῶτον τῇ τιμῇ. ὅθεν καὶ ἀπαρχὰς καρπῶν προσῆγον οἱ παλαιοὶ καὶ ὠνόμαζον τὰ κρείττονα ἐκλεγόμενοι. καταχρηστικῶς δὲ καὶ τὰς θυσίας ἐτέλουν ἐπὶ τοῖς τεθνεῶσιν οἱ παλαιοί, καὶ ἀπαρχὰς ἐκάλουν. I. χοάς: χοαὶ αἱ χεόμεναι τοῖς νεκροῖς σπονδαί. M. Fl. 21. τάξις ἦν, ὅτε τις γυνὴ ἐλθοῦσα εὗρε συγγενῆ τινα ἴδιον τεθνηκότα, ἀποκόψαι τὰ ἄκρα τῆς κόμης καὶ πέμψαι ὡς θυσίας εἰς τὸ σῆμα τοῦ νεκροῦ. ταύτας οὖν ὁ Εὐριπίδης ἀπαρχὰς ὀνομάζει. Fl. 21.

97. σοὶ δ' οὐχὶ θεμιτόν: σοὶ δὲ οὐχὶ θεμιτὸν, ἀντὶ τοῦ οὐ δυνατὸν, ἔρχεσθαι πρὸς τὸν φιλούμενον τάφον. I. οὐκ ἐν καιρῷ παρρησιάζεται

8. αὐτῇ διαλέγεται] μὲν αὐτῇ λέγεται A.
ib. μέλλει δεῖσθαι] μᾶλλον δεῖται B.I.
ib. ἐνταῦθα δὲ] ἐν τούτῳ δὲ B. ἐν ταύτῃ δὲ καὶ A.
9. παραφυλάττεται] παραφυλάττεσθαι A.
ib. σῆς om. A.M.
ib. αὐτῇ] αὐτὴν M.
10. τὸν] τὸ I. Post δεόμενον ex A. addidi τινος. M. addit οὐ διὰ τοῦτο οὖν συγγωνίασαι (?) :—
11. κελεύεις τῆς ἐ. μ.] τῆς ἐ. μ. κελεύεις I.
ib. τίνος χάριν om. B.M.
12. δεικνῦσα] δεικνύουσα M.
ib. πρώτην] πρώην B.
ib. ἢ ὅτι] ἢ τάχα B. καὶ τάχα I.
13. τοῦ ὀνόματος] τὸ ὄνομα M.
ib. μητρὸς] τῆς μητρὸς M.
14. συγγενικῷ] συγγενικῶς B.
15. τῆς ἐμῆς om. M.
17. ἐμάς Barnes. ἡμᾶς I.

ἡ Ἠλέκτρα, καίτοι πρὸ ὀλίγου φάσκουσα ἐλπίδα ἔχειν εἰς τὸν Μενέλαον. καὶ ἐὰν μὲν ἐν ἐρωτήσει ᾖ ὁ λόγος, μετριώτερός ἐστιν· ἐὰν δὲ ἑτέρως, ἄντικρυς ἐναγῆ καὶ μὴ ἀξίαν οὖσαν προσπελάζειν τῷ τάφῳ ἀποδεικνύει τὴν Ἑλένην διὰ τῶν πεπραγμένων αὐτῇ τοῖς φίλοις. A. B.M.I. ἢ ἄλλως πως πικρῶς θέλει αὐτὴν ὁμολογῆσαι δι' ὃ φυλάσσεται προσελθεῖν τῷ τάφῳ. M.

98. δεῖξαι γάρ: οὐ θεμιτὸν δηλονότι· αἰσχύνομαι γὰρ δεῖξαι τὸ σῶμα, ἀντὶ τοῦ ἐμαυτὴν, τοῖς Ἀργείοις. I. τὸ γάρ ἀντὶ τοῦ ἀλλά. Fl. 59. περισσὸν τὸ γάρ. Fl. 33. αἰσχύνομαι: πανούργως τὸν φόβον αἰσχύνην (Fl. αἰδῶ) ἐκάλεσεν. Gu. Fl. 59.

99. ὀψέ γε: ὀψὲ τοῦ χρόνου, ἀντὶ τοῦ μόλις, τανῦν φρονεῖς εὖ, τότε ἀφεῖσα τοὺς δόμους αἰσχρῶς. I. τότε λιποῦσ': μὴ φρονοῦσα τότε καλῶς, ὅτε ὑπῆρχες τοὺς οἴκους λιποῦσα, ὅτε ἠκολούθησας τῷ Πάριδι. Gu. οὐδαμῶς ἀνώμαλον τὸ τῆς Ἠλέκτρας ἦθος. A. M. Fl. 21. 59. τοῦτο, φησὶν, ἀπῆλθες, ταῦτα οὐκ ἂν ἐγίνοντο· σὺ τούτων ἀρχηγός. δακρύουσα δὲ τοῦτό φησιν. M.

100. ὀρθῶς ἔλεξας: ἀληθῶς εἶπας, οὐ μέντοι προσφιλῶς ἐμοί. A.M.I.

101. αἰδὼς δέ: τίς δὲ δὴ αἰδὼς ἔχει σε εἰς τοὺς Μυκηναίους; ἀντὶ τοῦ, τίνα δὲ αἰδῶ ἔχεις εἰς τοὺς Μυκηναίους; τουτέστι, τίς ἐστιν ἡ αἰδὼς, ἣν αἰδῇ τοὺς Μυκηναίους; Gr. Fl. 59. 76. I. ἐντροπή. Fl. 59. ἐς Μυκηναίους: Ἀργείους· ἐν γὰρ τῷ Ἄργει αἱ Μυκῆναι· μέσον τῶν Μυκηναίων φανῆναι, εἰς Μυκηναίους ἐλθεῖν. Gu.

102. δέδοικα: τοὺς πατέρας τῶν νεκρῶν τῶν πεσόντων ὑπὸ τῇ Τροίᾳ. I. μόλις ἐλεγχομένη τὸ ἀληθὲς εἶπε. M. Fl. 59.

103. δεινὸν γὰρ Ἄργει: δεινὸν γὰρ, ἀντὶ τοῦ χαλεπῶς, ἀναβοᾷ

1. καίτοι] καὶ ταῦτα A.
ib. ἔχειν om. M.
ib. εἰς τὸν om. A.
2. καὶ ἐὰν—ᾖ A. εἰ μὲν οὖν ἐν ἐρωτήσει B.M.I.
4. ἀποδεικνύει τὴν Ἑλένην] τὴν ἑλένην ἀποδεικνύει B. τὴν ἑλένην ἀποδείκνυσι I. In A. est ἄντικρυ. ἐναγῆ γὰρ καὶ μεμιασμένην οὖσαν καὶ μὴ ἀξίαν εἶναι προσπελάζειν τῷ τάφῳ διὰ τὰ πεπραμένα (sic) αὐτῇ τοῖς φίλοις:—
ib. τῶν πεπραγμένων] τὰ πεπραγμένα I.
ib. αὐτῇ] αὐτοῖς I.
15. τοῦτο] Sensus postulat εἰ μὴ τότε.
17. ἀληθῶς—προσφιλῶς] ἀληθῆ—προσφιλῆ A.
ib. οὐ μέντοι] οὐ λέγεις δὲ I.
19. τίς—ἔχει σε εἰς τ. M. om. Gr.
20. τουτέστι—Μυκηναίους om. I.
25. εἶπε] λέγει Fl. 59.

καὶ ἀνακηρύττῃ τῷ Ἄργει, ἀντὶ τοῦ τοῖς Ἀργείοις, διὰ στόμα, ἤτοι διὰ τῶν στομάτων ἁπάντων. I.

ἀναβοᾷ διὰ στόμα: διὰ τοῦ στόματος, ὡς τὸ "διά τ' ἔντεα καὶ μέλαν αἷμα." A. τὸ δὲ ἀναβοᾷ δευτέρου προσώπου ἐστὶ παθητικῆς διαθέσεως, ἀντὶ τοῦ καταβοᾷ σύ. ὁ δὲ νοῦς, δεινῶς γὰρ διὰ στόματος τοῦ Ἄργους ἀναβοᾷ σύ. A.B.C.M.I.

δεινὸν γάρ: εἰς φόβον ἄγει τὴν Ἑλένην ἡ Ἠλέκτρα πλείονα. Fl. 59. ἀναβοᾷ: φημίζῃ καὶ κατὰ γλῶσσαν στρέφῃ. Gu.

104. σύ νυν χάριν: σὺ δὴ λύσασα τὸν φόβον δὸς ἐμοὶ χάριν. I. τὸν φόβον λύσασα: διὰ τὸ τὸν φόβον λῦσαι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

105. οὐκ ἂν δυναίμην: βλέψαι εἰς τὸν τάφον τῆς μητρός. I. ἐσχηματισμένον. Gu.

106. αἰσχρόν γε: ὅμως ἀπρεπὲς καὶ ἄσχημον τὰς δουλίδας φέρειν τάδε. I. προσπόλους: κυρίως δὲ πρόσπολοι λέγονται αἱ δοῦλαι. M. πρόσπολος ὁ δοῦλος, πρόπολος δὲ χωρὶς τοῦ σ ὁ νεωκόρος· ἀμφίπολος δὲ ἡ κατὰ κύκλον περιστροφή. προπαροξύνονται δὲ ταῦτα πάντα, ὡς μετὰ προθέσεως συντιθέμενα· τὸ δὲ δικασπόλος διὰ τὸ μὴ μετὰ προθέσεως συντεθεῖσθαι παροξύνεται. Fl. 21.

107. τί δ' οὐχὶ θυγατρός: διὰ τί οὐ πέμπεις τὸ δέμας τῆς Ἑρμιόνης, περιφραστικῶς ἀντὶ τοῦ τὴν Ἑρμιόνην. I.

108. εἰς ὄχλον ἕρπειν: οὐ καλὸν, ἔστι δηλονότι, ταῖς παρθένοις βαδίζειν εἰς τὸ πλῆθος. I. εἴποι τις, τί οὖν; ταῖς τελείαις τοῦτο

3. διὰ τ' ἔντεα—] Hom. Il. 10, 298. quo exemplo saepius utuntur scholiastae.

4. τὸ δὲ A. δὲ om. ceteri.

ib. δευτέρου (β M.) προσώπου ἐστὶ] προσώπου ἐστὶ δευτέρου B.I.

5. καταβοᾷ σύ] σύ om. M.I. καταβοᾶσαι (quae est recentior secundae personac forma, nisi pro καταβοᾷ σύ scriptum est) Fl. 21. 59. in quibus simile scholion.

ib. στόματος] τοῦ στόματος B.I.

6. τοῦ Ἄργους] τῶν ἀργείων I.

ib. σύ om. B.I. Post σύ in M. sequitur ἄλλως. διὰ τοῦ στόματος ὡς τὸ διά τ' ἔντεα καὶ διὰ μέλαν αἷμα. τοῦτο δὲ ἀπολογίας ἔχεται ὡς ὅτι συμπάσχουσά σοι εἴρηκας. πλεονάζει δὲ τὸ τέ. In A. τὸ δὲ ἀναβοᾷ προσώπου δευτέρου ἐστὶ τῶν παθητικῶν, ἀναβοᾷ σὺ, ἀντὶ τοῦ καταβοᾷ. ὁ δὲ νοῦς διὰ τοῦ στόματος τοῦ ἄργους ἀναβοᾷ σύ :—In C. ἀναβοᾷ β[ον] πρόσωπον παθητικόν. καὶ τὸ διὰ στόματος ὡς τὸ διὰ τ' ἔντεα μέλαν (sic, omisso καὶ) αἷμα. ἀναβοᾷ σὺ ἀντὶ τοῦ καταβοά· νοῦς διὰ στόματος τοῦ ἔργους (sic pro ἄργους) ἀναβοᾷ σύ :—

16. πρόσπολος — νεωκόρος] Haec sunt etiam in Bar. et Gr. sed in hoc supra v. δοῦλος Gu. scripsit: ἀλλὰ καὶ ἡ δούλη. τοιοῦτόν ἐστι καὶ τὸ ἀμφίπολος. MATTH.

23. εἴποι τις—] Hoc scholion, praefixo ἄλλως, in M. legitur post scholion proximum.

ib. τοῦτο] τὸ M, om. A.

καλόν; ἔστιν οὖν εἰπεῖν ὅτι ἐν Σπάρτῃ εἰώθασι γυμνάζεσθαι αἱ γυναῖκες καὶ παρθένοι· ὥστε δέδοται μὲν παρθένοις εἰς ὄχλον ἕρπειν, οὐ μὴν καθόλου, ἀλλ' ἐπὶ ὡρισμένοις πράγμασιν, οἷον κανηφορούσαις, ἢ γυμναζομέναις, οὐ μὴν ἄλλο τι πραγματευομέναις. A.B.M.I. παρθένοις: ταῖς νεάνισιν, οὐ γὰρ ταῖς ἀγάμοις. ἄγαμος γὰρ καὶ ἡ Ἠλέκτρα. παρθένος τέ ἐστιν ἥ τε ἀμιγὴς καὶ ἡ ἄρτι ἡβῶσα. ἢ πάλιν κακονόως οὐ παρθένον βούλεται δεῖξαι τὴν Ἠλέκτραν, ὅτι οὐκ ἐπείσθη αὐτῇ. A.B.M.I. ἕρπειν κυρίως ἐπὶ ὄφεως. Fl. 21.

109. καὶ μήν: ἀνταποδοίη τὰς ἀνατροφὰς τῇ τεθνηκυίᾳ. I. τροφάς: ἀντὶ τοῦ χάριν ἕνεκα τῆς ἀνατροφῆς ἧς ἀνέθρεψεν αὐτήν. Gr. ὑπ' ἐκείνης γὰρ ἀνετράφη. Gu. Bar. ἀντὶ τοῦ τροφεῖα. A. M. ἀνθ' ὧν ἀνετράφη ὑπ' αὐτῆς ἀμοιβὴν διδοῦσα. A.M. Fl. 59. καὶ μὴν οὐ μέλλει ἀπελθεῖν ἀλλαχόσε, καὶ ἔνι μεμπτὸν εἰς τὰς παρθένους, εἰ μὴ ἵνα δώσει τὰ τροφεῖα τῇ ἀναθρεψάσῃ αὐτήν. Fl. 59.

110.—125. Ὀρθῶς ἔλεξας, πείθομαί τε, ὦ κόρη, σοί, καὶ πέμψω τὴν θυγατέρα· εὖ γὰρ καὶ καλῶς λέγεις. ὦ τέκνον Ἑρμιόνη, ἔξελθε ἔμπροσθεν τῶν δόμων, καὶ λάβε ἐν ταῖς χερσὶ τάσδε τὰς χοὰς καὶ τὰς ἐμὰς κόμας· ἀπελθοῦσα δὲ εἰς τὸν τάφον τῆς Κλυταιμνήστρας ἄφες τὰ μελίκρατα τοῦ γάλακτος, ἤτοι τὰ ἀπὸ μέλιτος καὶ γάλακτος κεκραμένα, τὴν ἄχνην τε καὶ τὸν οἰνωπὸν, ἤτοι τὸν λεπτότατον, τόνδε οἶνον, καὶ στᾶσα ἐπὶ τοῦ ἄκρου χώματος, ἤτοι ἐπὶ τοῦ ἄκρου τοῦ τάφου, λέξον τάδε· ἡ ἀδελφὴ ἡ Ἑλένη δεξιοῦταί σε ταῖσδε ταῖς χοαῖς, φόβῳ, ὑπὸ τοῦ φόβου, τοῦ προσελθεῖν εἰς τὸ σὸν μνῆμα, φοβουμένη τὸν ὄχλον τῶν Ἀργείων. παρακαλεῖ δὲ αὐτὴν ἔχειν γνώμην εὐμενῆ καὶ πραεῖαν ἐμοί τε καὶ σοὶ καὶ τῷ πόσει τῷ ἐμῷ, τοῖν τε ἀθλίοιν τοῖνδε, ἤγουν τῷ Ὀρέστῃ καὶ τῇ Ἠλέκτρᾳ, οὓς ἀπώλεσεν ὁ θεὸς, ἤτοι ὁ Ἀπόλλων. ἃ δὲ καιρὸς, ἁρμόδιος δηλονότι, ἐνεργεῖν εἰς τὴν ἐμὴν ἀδελφὴν, δωρήματα τῶν νεκρῶν, ἅπαντα ὑπισχνοῦ. ἄπιθι, ὦ τέκνον μου, σπεῦδε, καὶ δοῦσα χοὰς τῷ τάφῳ λίαν τάχιστα μέμνησο τῆς εἰς τοὐπίσω ὁδοῦ. I.

2. δέδοται] δίδοται A.

3. κανηφορούσαις] κανισκοφορούσαις A.

5. παρθένοις] ἄλλως I., quod in marg. habet B., om. A.M.

ib. γὰρ καὶ] καὶ om. M. γὰρ ἡ παρθενοισι A., omisso καί.

7. κακονόως] κακοήθως A.

ib. βούλεται δ.] δ. βούλεται I.

11. ἀντὶ τοῦ om. A.

ib. τροφεῖα] τρόφια M.

115. γάλακτος: λείπει ἡ μετά, ἵν᾽ ᾖ μετὰ γάλακτος. A.C.M. οἰνωπόν τ᾽ ἄχνην: τὸν λεπτότατον οἶνον ἢ ἄχνην λέγει, οἱονεὶ κορυφήν. ὅταν γὰρ ἐπιχέηται οἶνος τῷ ἐκ μέλιτος καὶ γάλακτος κράματι, ἐπιπολαίως κεῖται. Gu. I.

οἰνωπόν τ᾽ ἄχνην: ἐμφαντικῶς τὴν δαψιλῆ τοῦ οἴνου ῥύσιν διὰ τῆς ἄχνης ἐσήμανε. τοῦτο δὲ ἐπὶ τῶν κυμάτων εἴρηται, "ἀποπτύει δ᾽ ἁλὸς ἄχνην." οἱ δὲ κυρίως τὴν οἰνόχροα τρίχα φασί. λάχνη γὰρ ἡ θρὶξ, ἀλλ᾽ ἄχνη τὸ λεπτὸν μέρος, ὃ κατέχειν τις οὐ δύναται, οἱονεὶ ἀέχη τὶς οὖσα. A.B.C.M.I.

οἰνωπόν: τὴν οἰνάνθην. Gr. τὴν λευκὴν τρίχωσιν. τὸ καθαρὸν τοῦ οἴνου καὶ λαμπρόν. Gu. εἰς τρία διαιρεῖται ὁ οἶνος, εἰς τὸ ἄνθος, εἰς αὐτὸν τὸν οἶνον καὶ εἰς τὸν τρυγίαν. καὶ ἄνθος μὲν τὸ ἐπάνω τοῦ πίθου, ἤγουν τὸ πρῶτον, οἶνος δὲ τὸ μέσον τρυγίας δὲ ἡ ὕλη ἤγουν τὸ κάτω. ὡσαύτως καὶ τὸ αἷμα εἰς τρία καὶ τὸ γάλα. καὶ τὸ μὲν καθαρώτερον τοῦ αἵματος ἀποτελεῖται εἰς τὸ ἧπαρ εἰς τὸ δεξιὸν μέρος, τὸ δὲ χνοωδέστατον εἰς τὴν χοληδόκον κύστιν, εἰς τὸν σπλῆνα δὲ ὁ τρυγίας. ὡσαύτως καὶ τὸ γάλα· τὸ μὲν καθαρώτερον καὶ λιπωδέστατον τὸ ἐπάνω, ὅπερ γίνεται βούτυρος, τὸ δὲ μέσον ὁ ὄρρος, τὸ δὲ κάτωθεν ὡς τρυγίας, ὅπερ ποιεῖ τὸν τυρόν. Fl. 59.

116. ἐπ᾽ ἄκρου χώματος: ἀντὶ τοῦ ἐπ᾽ ἄκρον χῶμα. M. ἀντὶ τοῦ εἰπεῖν τὸ ἄκρον τοῦ χώματος τὸ ἄκρον χῶμα λέγουσιν οἱ Ἀττικοὶ, ὡς ἐνταῦθα καὶ παρὰ Σοφοκλεῖ "καὶ γλῶτταν ἄκραν ῥιπτεῖ θερίσας," ἤγουν τὸ ἄκρον τῆς γλώττης. Gu.

117. ταῖσδε δωρεῖται χοαῖς: δωροῦμαι, τὸ παρέχω, ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν ἔχει τὴν σύνταξιν, ὡς τὸ δωροῦμαί σοι χρήματα. δωροῦμαι δὲ τὸ δεξιοῦμαι καὶ φιλοφρονῶ ἀπὸ αἰτιατικῆς εἰς δοτικὴν,

2. Vulgo τὸν λεπτότατον οἶνον λέγει, ἢ ἄχνην λέγει. Quod dedi, est in Gu. qui etiam post λεπτότατον addit τόνδε. Sed ἢ delendum videtur. MATTH.

3. οἶνος] ὁ οἶνος I.

5. ἐμφαντικῶς] Ἄλλως praefixum in I., omisso lemmate.

ib. τὴν δ. τοῦ οἴνου A C. τὴν τοῦ οἴνου δ. ceteri.

ib. ῥύσιν διὰ] ῥύσιν. διὰ γὰρ A.C. M. addito in C. τοῦτο post ἄχνης.

6. τοῦτο δὲ ἐπὶ τῶν κυμάτων εἴρηται] ὅμηρος γὰρ ἐπὶ κυμάτων A.

ib. ἀποπτύει—] Hom. Il. 4, 426.

7. ἄχνην] ἄχνη A.

ib. κυρίως] ἀκύρως A.

ib. φασί] φησί C.

8. ἀλλ᾽ ἄχνη] ἄχνη δὲ I.

ib. λεπτὸν μέρος] λεπτόμερον A.

16. χοληδόκον] χολιδόκον Fl. 59.

22. Σοφοκλεῖ] Aj. 238.

ὡς τὸ δωροῦμαι τὸν φίλον χάρισι λογικαῖς. I. τὸ δωρεῖσθαι εἰ μὲν σημαίνει τὸ χαρίζεσθαι καὶ διδόναι ἁπλῶς, συντάσσεται πρὸς μὲν τὸ πρόσωπον δοτικῇ, πρὸς δὲ τὸ πρᾶγμα αἰτιατικῇ, οἷον δωροῦμαί σοι τόδε· ὅτε δὲ τὸ φιλοφρονεῖσθαι καὶ δεξιοῦσθαι, ὡς ἐνταῦθα, ἐναλλὰξ πρὸς μὲν τὸ πρόσωπον αἰτιατικῇ, πρὸς δὲ τὸ πρᾶγμα δοτικῇ, οἷον δωροῦμαί σε τῷδε. Gu. τιμᾷ σε. Fl. 59.

118. ταρβοῦσά τε: περιττὸς ὁ τε. βούλεται δὲ λέγειν φόβῳ ταρβοῦσα. M.

119. εὐμενῆ: γρ. πρευμενῆ, ὅ ἐστι πραϋμένη καὶ προσφιλῆ. M. ἄνωγε: κέλευε. Gr. παρακάλει, λέγε αὐτήν. ἀνώγω κυρίως τὸ προστάσσω. Gu.

121. τοῖν τ' ἀθλίοιν τοῖνδε: καὶ αὐτῶν μέμνηται, ἵνα μὴ δόξῃ παντελῶς λιθοκάρδιος εἶναι, ὅμως μετὰ ἀρᾶς· τὸ γὰρ "οὓς ἀπώλεσεν θεός" δοκεῖ μὲν συναχθομένη λέγειν, πανούργως δὲ ἐμφαίνει ὅτι καὶ θεοῖς ἀπηχθημένοι εἰσίν· οὐ γὰρ ἀπολλύει εἶπεν, ἀλλὰ ἀπώλεσεν, ὡς ἐγνωσμένης ἤδη τῆς παρὰ θεῶν δυσμενείας. A.B.M.I.

122. ἃ δ' εἰς ἀδελφήν: ἃ δὲ νενόμισται τοῖς νεκροῖς ποιεῖν, ταῦτα κἀμὲ ὑπισχνοῦ εἰς τὴν ἀδελφὴν ποιεῖν. A.B.C.M.I. Ἄλλως. ἅπαντα δὲ δωρήματα τὰ τῶν νεκρῶν δωρήματα, ἃ εὐκαίρως εἰς ἀδελφὴν ἐμὴν ἐκπονεῖν ὑπισχνοῦ. B.M.I. Ἄλλως. ἃ δὲ δωρήματα τῶν κάτω, τουτέστι προσήκοντα τοῖς κάτω, καιρός ἐστι, δηλονότι ἁρμόδιος, ἐνεργεῖν ἐμὲ εἰς τὴν ἐμὴν ἀδελφὴν, ἅπαντα ὑπισχνοῦ. Gr. I. ἃ δὲ δωρήματα τῶν νερτέρων καιρὸς ὑπάρχει ἐκπονεῖν εἰς τὴν ἐμὴν ἀδελφήν, ἅπαντα ὑπισχνοῦ. διὰ δὲ τοῦ ἐκπονεῖν ἐδήλωσεν ὅτι μεγαλοπρεπῆ τινα, πέπλους, ἔμελλε κατασκευάσαι. ἦθος γὰρ εἶχον τοῦτο ἐπὶ τοῖς τάφοις πέπλους ἐκτίθεσθαι, ὡς καὶ ἡ τοῦ Ὀδυσσέως

12. δόξῃ] λέξῃ B.

13. μετὰ ἀρᾶς—θεῶν δυσμενείας] μιαροὺς καλεῖ. οὓς γάρ φησι ἀπώλεσεν θεὸς δοκεῖ μὲν συναχθομένη, πανούργως δὲ ἐμφαίνει ὅτι καὶ θεοῖς ἀπηχθημένοι εἰσίν. οὐ γὰρ ἀπολύει (sic), ἀλλὰ ἀπώλεσεν :— A.

15. ἀπηχθημένοι] ἀπηχθυμένοι (sic) B. ἀπεχθόμενοι I.

17. ἃ δὲ—ἐκπονεῖν ὑπισχνοῦ] ἃ δὲ εὔκαιρον εἰς ἀδελφὴν ἐκπονεῖ νεκρῶν δωρήματα ἅττ' ὑπισχνοῦμαι. ἄλλως. ἃ δὲ νενόμισται τοῖς νεκροῖς ποιεῖν ἀναθήματα στέμματα. ἅπαντα δὲ τὰ τῶν νεκρῶν δωρήματα ἃ εὔκαιρον εἰς ἀδελφὴν τὴν ἐμὴν ἐκπονεῖν ὑπισχνοῦ A.

18. Ἄλλως om. M.

19. ἅπαντα—νεκρῶν] ἅπαντα δὲ τὰ τῶν νεκρῶν B. ἅπανθ' ὑπισχνοῦ τὰ νεκρῶν I.

ib, εὐκαίρως] εὔκαιρα M.

20. ἐμὴν ἐκπονεῖν] ἐκπονεῖν ἐμὴν B.I.

Πηνελόπη τὸν ἱστὸν, ὃν ὕφαινε θέλουσα τοὺς μνηστῆρας ἐκφυγεῖν, ἐπὶ τὸν τοῦ Ὀδυσσέως ἔμελλε θεῖναι τάφον. Fl. 59.

123. νερτέρων: τῶν κάτω, ἤγουν τῶν νεκρῶν. Gr. ἃ δωροῦνται οἱ ζῶντες τοῖς νεκροῖς. Gu.

126.—135. ὦ φύσις καὶ κάλλος, λίαν εἶ μέγα κακὸν ἐν τοῖς ἀνθρώποις καὶ σωτηριῶδες τοῖς καλῶς κεκτημένοις καὶ ἔχουσιν. ἐθεάσασθε, πῶς κατὰ τὰς ἄκρας ἀπέκοψε τὰς τρίχας, σώζουσα καὶ φυλάττουσα τὸ κάλλος· ἔστι δὲ ἡ πάλαι γυνὴ, ἤτοι κακὴ, τουτέστιν οὐ μετεβλήθη. εἴθε σε μισήσειαν οἱ θεοὶ, ὅτι ἀπώλεσας ἐμὲ καὶ τόνδε, ἤγουν τὸν Ὀρέστην, καὶ πᾶσαν τὴν Ἑλλάδα. φεῦ, τάλαινά εἰμι ἐγώ. αὗται παραγίνονται αἱ προσφιλεῖς θρηνήτριαι τοῖς ἐμοῖς θρηνήμασιν· ἴσως μετακινήσουσι τοῦ ὕπνου τόνδε ἠρεμοῦντα, τὸ ἐμὸν δὲ ὄμμα ἐκτακῆναι ποιήσουσι διὰ δακρύων, ὅταν ὁρῶ τὸν ἀδελφὸν μαινόμενον. I.

ὦ φύσις, ἐν ἀνθρώποισιν: ἰδοῦσα ἡ Ἠλέκτρα τὴν Ἑλένην τεμοῦσαν μὲν ἄκρας τὰς τρίχας, σώζουσαν δὲ τὸ πρόσθεν κάλλος, ἀποτείνεται πρὸς τὴν φύσιν, καὶ λέγει ταύτην εἶναι σωτήριόν τε τοῖς κεκτημένοις καλῶς αὐτὴν καὶ βλαπτικὸν τοῖς μὴ οὕτως. καὶ ἡ Ἑλένη φυσικῶς οὖσα κακὴ, εἰ καὶ ἔδοξε πoσῶς τὴν ἀδελφὴν θρηνεῖν, καὶ διὰ τοῦτο ἀποκεκοφέναι τὰς τρίχας, ἀλλὰ πανούργως τοῦτο πεποίηκεν, ἐξ ὧν ἄκρας αὐτὰς ἔτεμε τοῦτο πιστωσαμένη. εἰ γὰρ κατὰ ἀλήθειαν ἐθρήνει, πάντα τὸν πλόκαμον ἔδει τεμεῖν. καὶ ταῦτα μὲν οὕτως. οἱ δὲ λέγοντες φύσιν τὸ κάλλος οὔ μοι δοκοῦσι λέγειν εὐλόγως. τὸ δὲ "ἔστιν ἡ πάλαι γυνή" ἢ κατὰ μορφὴν νοητέον, ἤγουν ἡ αὐτή ἐστι καὶ νῦν ἥτις καὶ πρὸ τοῦ τὰς τρίχας ἀποκόψαι, καὶ οὐδ' ὁτιοῦν ἠλάττωται τὸ κάλλος αὐτῆς, ἢ κατὰ προαίρεσιν, ὅτι ἡ αὐτή ἐστι καὶ νῦν ἥτις καὶ πρώην, καὶ οὐδὲν ὑπὸ τῶν κακῶν σεσωφρόνισται. Gu. I. παρυπογράφεται τήν τε ἀναχώρησιν τῆς Ἑλένης καὶ τὴν Ἑρμιόνην ἀπερχομένην ἐν τῷ τάφῳ καὶ λέγει, ὦ φύσις. ἡ φύσις διχῶς λαμβάνεται, καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ φαύλου· ἔχει τις φύσιν καλὴν ὅστις ἐστὶν ἀγαθὸς, ἥμερος, πρᾷος, δίκαιος. ἔχει ἕτερος φύσιν κακὴν, ὁ κλέπτης, ὁ μοιχὸς, ὁ πόρνος, ὁ ἄδικος.

2. τάφον Matth. αὐτόν Fl.
21. πεποίηκεν] πεποιηκέναι λέγει I.
25. ἤγουν ἡ αὐτή ἐστι] ἢ αὐτή ἐστι I.
27. ἡ αὐτή] ἡ om. I.
ib. καὶ οὐδὲν ὑπὸ τῶν κακῶν] ἤτοι οὐ I.

τοῦτο ἡ Ἠλέκτρα λέγει ἐνταῦθα. ὦ φύσις, ὡς καὶ λίαν μέγα κακὸν ὑπάρχεις ἐν τοῖς ἀνθρώποις, τοῖς γε κακῶς τὴν φύσιν χρωμένοις ἀνθρώποις μέγα κακὸν ὑπάρχεις, σωτήριόν τε πρᾶγμα ὑπάρχεις τοῖς κεκτημένοις καλῶς αὐτήν. Fl. 59.

ὦ φύσις, ἐν ἀνθρώποισιν: οἱ μέν φασι συνωνυμεῖν τῇ μορφῇ καὶ τῇ δομῇ, οἱ δὲ τὴν εὐπρέπειαν τοῦ σώματος καὶ τὸ κάλλος, οἱ δὲ τὸν τρόπον καὶ τὴν φύσιν ἑκάστου ὡς μέγα κακὸν ὁ φαῦλος τρόπος καὶ ἐπιβλαβής ἐστιν τοῖς κεκτημένοις καὶ ὁ ἀγαθὸς πάλιν ἐπωφελής ἐστιν τοῖς καλῶς κεκτημένοις. πολλοὶ γὰρ διὰ τὸ κάλλος εὐεργέτησαν τὰς πατρίδας. A.B.C.M.

127. *σωτήριόν τε τοῖς καλῶς κεκτημένοις: πολλοὶ γὰρ τὸ κάλλος ἐπὶ σωτηρίᾳ ἑαυτῶν καὶ τῆς πατρίδος ἐκτήσαντο, ὧν ἐστιν εἷς ὁ Γανυμήδης παρὰ θεοῖς εἶναι ἀξιωθεὶς καὶ ἵππῳ ἀθανάτῳ κοσμήσας τὴν θρεψαμένην. καὶ ἡ Ἀμυμώνη δὲ διὰ τὸ ἴδιον κάλλος τὸ ἄνυδρον Ἄργος πολύυδρον ἐποίησε διὰ τῆς ἐπιμιξίας τοῦ Ποσειδῶνος.* A.B.M. Fl. 21.

128. *εἴδετε παρ' ἄκρας: τὸ εἴδετε ἀντὶ τοῦ ἴδοι τις ἄν, ὡς τὸ "φαίης κε ζάκοτόν τιν' ἔμμεναι" καὶ τὸ "ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις." ἔνιοι δέ φασι ταῖς δμωσὶ ταῦτα λέγειν, οἱ δὲ πρὸς τὸ θέατρον, ὃ καὶ*

5. *οἱ μέν*—] In A.C. *τὸν τρόπον λέγει καὶ τὴν ἑκάστου γνώμην ἢ φύσιν καὶ εὐμορφίαν.* (Hic lemma *ὦ φύσις* repetitum in C.) *οἱ μὲν φασὶ συνωνυμεῖν τῇ μορφῇ καὶ τῇ δομῇ* (*δοκιμῇ* C.), *οἱ δὲ τῇ εὐπρεπείᾳ* (*τὴν εὐπρέπειαν* C.) *τοῦ σώματος καὶ τὸ κάλλος, οἱ δὲ τὸν τρόπον καὶ τὴν φύσιν ἑκάστου ὡς μέγ' εἶ κακόν. καὶ τοῖς μὲν κακῶς χρωμένοις ταύτῃ* (*ταύτῃ* om. A.) *ἐπιβλαβής ἐστι, τοῖς δὲ καλῶς κεχρημένοις* (*κεχρημένοις* om. C.) *ἐπωφελής*:—

6. *δομῇ* A.M. *δοκιμῇ* C., *ὁρμῇ* B., utrumque ex conjectura correctoris, cui ignotus erat vocabuli *δομή* usus, de quo dictum iu Thesauro.

8. *ἐστιν* post *κακόν* collocat B.

9. *πολλοὶ γὰρ—τὰς πατρίδας* om. B.

11. In B. lemma brevius *σωτήριόν τε*, praefixo *ἄλλως*.

12. *σωτηρίᾳ* A. *σωτηρίαν* ceteri.

ib. *ἐκτήσαντο*] *ἐχρήσαντο* Fl. 21.

ib. *ἔστιν εἷς*] *εἷς ἔστι καὶ* B.

13. *θεοῖς*] *θεῷ* Fl. 21.

ib. *εἶναι* et (l. 14.) *ἡ* addidi ex A.

ib. *ἵππῳ ἀθανάτῳ*] *ἵπποις ἀθανάτοις* A.B.

15. *ἐπιμιξίας*] *ἐπιμίξεως* Fl. 21.

17. *τὸ εἴδετε* om. A.I. In A. huic scholio *ἄλλως* praefixum, quia proximo scholio cst postpositum.

ib. *ὡς τὸ*] Hom. Il. 3. 220.

18. *κε* om. I. *καὶ* C.

ib. *τιν' ἔμμεναι* (*ἔμεναι* B.I.) om. A.C.M.

ib. *καὶ τὸ*] *τὸ* om. M. *καὶ τὸ—ἴδοις* om. C. In A. est *καὶ βρίθοντα ἴδοις*. Est Hom. Il. 4. 223.

19. *δμωσὶ* (*δμωῇσι* A. *δμωαῖσι* C.) —*ἐφελκιστικὸς*] *δμωῇσι—ἐφελκυστικὸν* M.

ib. *οἱ δὲ πρὸς τὸ θέατρον, ὃ καὶ*] *οἱ δὲ φησὶ τὸ θέατρον ὅτι καὶ* A.

ἄμεινον. ἐφελκυστικὸς γάρ ἐστιν ἀεὶ μᾶλλον τῶν θεατῶν ὁ ποιητὴς, οὐ φροντίζων τῶν ἀκριβολογούντων. A.B.C.M.I. *ὡς ἀπέθρισεν: ὡς ἐν τῇ σμικρότητι τῆς ἀφαιρέσεως μηδὲν ἀπολείπειν τοῦ ὑγιοῦς, μηδὲ τῷ κάλλει λυμήνασθαι.* A.B.M.I. *εἴδετε: ἐθεάσασθε πῶς κατὰ τὰς ἄκρας ἀπέκοψε τὰς τρίχας, φυλάσσουσα τὸ κάλλος. οὐ κατ' ἐρώτησιν δὲ, ἀλλ' ἀποφαινομένη ταῦτα λέγει.* Gr. *τὸ παρά τοῦ "παρ' ἄκρας" καὶ τὸ ἀπό τοῦ ἀπέθριξε ταυτόν ἐστι· τὸ γὰρ ἄκρας αἰτιατική ἐστιν, ἢ γενικὴν νοητέον, ἵν' ᾖ ἀπὸ τοῦ ἄκρου αὐτὰς ἔτεμε.* Gu.

129. *ἡ πάλαι γυνή: ἤτοι πονηρὰ, ἢ τὰ αὐτὰ φρονοῦσα ἃ καὶ πρότερον. τοῦ γὰρ εἶναι εὔμορφος ἐπιμελεῖται. ἐλέγχει δὲ αὐτὴν ὅτι οὐδὲ τοῖς ἁμαρτήμασι σεσωφρόνισται, ἀλλ' ἐν τοῖς ἤθεσι μεμένηκεν.* A.B.C.M.I. *ἢ κατὰ τὴν αὐτὴν μορφὴν, ἢ κατὰ τὸν αὐτὸν τρόπον.* I. *οὐκ ἠλλάχθη.* Gr.

130. *θεοί σε μισήσειαν: λάθρα τοῦτο εἶπεν.* Gu.

131. *πᾶσάν θ' Ἑλλάδα: τὰ κατὰ μέρος εἰποῦσα ἐπήνεγκε τὸ καθόλου, ὡς καὶ Ὅμηρος "ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες ἄλλοι τε Τρῶες."* A.B.M.I.

131.—135. *Ἰδοῦσα ἡ Ἠλέκτρα τὸν χορὸν τῶν Ἀργείων γυναικῶν ἐλθόντα ἐπισκέψασθαι τὸν Ὀρέστην, καὶ φοβηθεῖσα μή πως ἐγεροῦσιν αὐτὸν ἀπὸ τοῦ ὕπνου, διακόψασα τὸν λόγον, ὃν περὶ τῆς Ἑλένης ἔλεγε, μετὰ λύπης λέγει "ὦ τάλαιν' ἐγώ." αἱ φίλαι ξυνῳδοὶ, ἤγουν αἱ συνθρηνοῦσαι μετ' ἐμοῦ, αὖ καὶ πάλιν πάρεισι καὶ προσέρχονται, ὡς φαίνεται, ὅτι καὶ πρῶτον ἐκεῖ ὑπῆρχον. ἴσως ἠρεμοῦντα τὸν Ὀρέστην μεταστήσουσι καὶ διεγεροῦσιν ἀπὸ τοῦ ὕπνου ἀπό τε τῆς ὁμιλίας καὶ τοῦ κτύπου τῶν ποδῶν αὐτῶν· ἐπεὶ γὰρ πλῆθος ἦν, θόρυβον ἔμελλε ποιῆσαι εἰσερχόμενον· καὶ εἰ ἐγεροῦσιν αὐτὸν, ἐκτήξουσι τὸ ἐμὸν ὄμμα ἐν τοῖς δακρύοις. ἐπεὶ γὰρ ἔβλεπεν*

1. *ἀεὶ μᾶλλον*] *μᾶλλον ἀεὶ* A. *καὶ μᾶλλον* C.

ib. *ὁ ποιητής* post *γάρ ἐστιν* C.

3. *μηδὲν ἀπολείπειν*] *μηδὲ ἀπολίποιτο* A.

ib. *μηδὲ τῷ κ. λ.* om. A.M.

5. *οὐ κατ' — λέγει*] Haec sunt etiam in Fl. 6. 9. 17. 11. 56. 59. 76. MATTH.

10. *ἢ*] *ἤγουν* I.

11. *τοῦ*] *τοῦτο* I.

13. *ἢ κατὰ*] *ἤγουν ἢ κατὰ* I.

16. *τὰ κατὰ* A. *τὸ κατὰ* B.M.I.

17. *ὡς καὶ* (*ὡς ὁ* M.) *Ὅμηρος*] Il. 1, 255.

ib. *γηθήσαι*] *γηθήσῃ* B.

25. *διεγεροῦσιν* scripsi pro *διεγείρουσιν*.

αὐτὸν δαιμονιζόμενον καὶ πάσχοντα, κλαίειν ἔμελλεν ὡς ἀδελφή. Fl. 59.

132.—139. αἵδ' αὖ πάρεισι : κατὰ τὸ σιωπώμενον ἔρχονται αἱ γυναῖκες ἰδεῖν τὸν Ὀρέστην πῶς ἔχει, καὶ ἐθεάσατο αὐτάς. B.M.I. καὶ ἰδοῦσα αὐτάς φησιν, ὦ φίλταται γυναῖκες, δι' ἡσύχου ποδὸς καὶ πορείας ἔρχεσθε, καὶ μὴ κτυπεῖτε, μηδ' ἔστω κτύπος. ἡ σὴ μὲν γὰρ φιλία πραεῖα καὶ εὐμενής, ἀλλ' ἐν τῷ ἐξεγεῖραι τοῦτον γενήσεται συμφορά. I.

135. δακρύοις ἀδελφόν: προσεκτικῶς μετὰ ἤθους προενεκτέον τὸν λόγον. A.

138. πρευμενής : ἀντὶ τοῦ πραεῖα, προσφιλής, πραϋμένη. M.

140. σῖγα σῖγα : ἠρέμα, ἀψοφητὶ καὶ μετὰ ἡσυχίας. πρόσφορος δὲ τῷ πάθει καὶ ἡ τοῦ ῥυθμοῦ ἀγωγὴ δοχμιάζουσα. A.B.C.M.I. λεπτὸν δὲ ἴχνος ἀρβύλης ἀντὶ τοῦ κούφως καὶ ἐλαφρῶς τιθεῖτε τὸν πόδα μετὰ τῆς ἀρβύλης. εἰ δὲ γράφεται λευκὸν ἴχνος, ἀπὸ μέρους τὸ ὅλον, ὡς τὸ "ἀργυρόπεζα Θέτις." ἴχνος δὲ λέγει τὸν πόδα, καὶ ἀρβύλη ἐστὶν εἶδος ὑποδήματος γυναικείου κοίλου καὶ βαθέος. B.I. Ἄλλως. εἰ μὲν λευκόν, συνάπτεται τῷ σῖγα σῖγα, καὶ λέγεται κατὰ ἀντίπτωσιν οὕτως· μετὰ σιγῆς, μετὰ σιγῆς τιθεῖτε τὴν ἀρβύλην τοῦ λευκοῦ ἴχνους, ἤγουν τοῦ λευκοῦ ποδός. εἰ δὲ λεπτόν, στίζεται μετὰ τὸ σῖγα σῖγα, καὶ ἔχει τὸ πᾶν οὕτως· μετὰ σιγῆς, μετὰ σιγῆς, ἔρχεσθε δηλονότι, εἶτα λεπτὸν τιθεῖτε, ἀντὶ τοῦ ἥσυχον, τὸ ἴχνος, ἀντὶ τοῦ τὴν βάσιν τῆς ἀρβύλης. ἐστὶ δὲ ἀρβύλη εἶδος γυναικείου ὑποδήματος. Gr. I. Ἄλλως. μετὰ σιγῆς τιθεῖτε τὸ λευκὸν ἴχνος τῆς ἀρβύλης, ἀντιστρόφως, ἀντὶ τοῦ τὴν ἀρβύλην τοῦ λευκοῦ ἴχνους, ἤτοι τοῦ λευκοῦ ποδός. εἰ δὲ λευκὸν γράφεται, σύναπτε οὕτως, μετὰ σιγῆς, ἔρχεσθε δηλονότι, τιθεῖτε τὸ ἴχνος τῆς ἀρβύλης ἐλαφρόν, μὴ κτυπεῖτε, μηδ' ἔστω κτύπος. I. ἀρβύλης

4. καὶ ἐθεάσατο αὐτάς] καὶ θεασαμένη ταῦτα φησί B., om. I.

11. πραϋμένη] Immo πραϋμενής. Accusativus πραϋμένη est in scholio M. ad v. 119. ubi pariter πραϋμενῆ scribendum videtur.

12. ἀψοφητὶ om. I.

ib. πρόσφορος δὲ τῷ] πρόσφορος τῷ M. προσφόρως τῷ A.C.

13. δοχμιάζουσα] δογματίζουσα C.

16. ἀρβύλη ἐστὶν—βαθέος] Haec etiam in M.

18. συνάπτεται τῷ σῖγα σῖγα] σύναπτε τῷ σίγα σίγα I.

19. Alterum μετὰ σιγῆς om. I.

24. γυναικείου om. Gr.

εἶδος ὑποδήματος γυναικείου ἀπὸ τοῦ ἁρμόζειν καὶ βύειν τοὺς πόδας. Gu.

141. τιθεῖτε: ποιητικῶς, ἀντὶ τοῦ τιθῶμεν. εἰσελήλυθε δὲ ὁ χορὸς κατὰ τὴν ὑπόθεσιν ἔσω. A.I.

142.—145. ἀποπρὸ βᾶτε: ἀντὶ τοῦ πόρρω μοι καὶ χωρὶς τῆς κοίτης γίνεσθε. τὸ δὲ ὁλόκληρόν φασί τινες ἀπόπροθι. διαθέσεως δὲ ἐμφαντικὸν τὸ μοι, ὡς τὸ "Πάτροκλέ μοι δειλῇ πλεῖστον." A.C.M. Ἄλλως. ἀπορπό μοι: τὸ ὁλόκληρον τούτου τινές φασιν ἀπόπροθι. καὶ τὸ παρ' Ὁμήρῳ οὕτως ἐκδέχονται "τυτθὸν ἀποπρὸ νεῶν." A.B.M.I.

ἰδού, πείθομαι: τοῦτο εἰκὸς ὀξύτερον εἰρηκέναι τὸν χορόν· διὸ καὶ ἡ Ἠλέκτρα περιδεὴς γενομένη εἶπεν ἆ ἆ. φυσικῶς δὲ τὸ ἆ ἆ εἶπε πρῶτον, ἐπειδὴ καὶ αὕτη πρώτη ὑπὸ τῆς φύσεως φωνὴ εὕρηται. ἀμέλει γοῦν, ἐπειδὰν πλῆθός τι θεάσηταί τις παραδόξων, εὐθὺς οὐδὲν ἕτερον ἀναβοᾷ ἢ τὸ ἆ ἆ, τῆς φύσεως ἀγούσης ἐπὶ τοῦτο. εἶτά φησι πρὸς τὸν χορόν, τοιαύτην πέμπε μοι φωνὴν οἷός ἐστιν ἦχος σύριγγος καλάμων λεπτῶν ἐν τοῖς ἕλεσιν ἀποτελούμενος· οὐ γὰρ τὸ ὄργανον τῆς σύριγγός φησι. τοῦτο γὰρ πολύφωνον ὂν καὶ τὸν Ἐνδυμίωνα ἐγεῖραι δύναιτ' ἄν. A.B.C.M.I.

3. ὁ χορὸς κατὰ τὴν ὑ. ἔσω A. ἦχος κατὰ ὑ. ἔνθον I.
5. ἀντὶ τοῦ om. A.C., πόρρω μοι om. M.
6. γίνεσθε] γίνεσθαι C.M.
ib. φασί om. A.
ib. ἀπόπροθι] ἀπόπροθοι A.C.
7. ὡς τὸ] Hom. Il. 19, 287.
ib. δειλὸν A. δειλοῖ M. δηλοῖ C. δειλῇ est in B.I., de quibus v. annot. ad v. 145.
8. Ἄλλως. ἀπόπρο μοι addidi ex A.
ib. τούτου τινές] τινὲς τούτου B.
9. ἀπόπροθι] τὸ ἀπόπροθι M.
ib. καὶ τὸ παρ' ὁμήρῳ A. καὶ τὸ παρὰ τῷ ὁμήρῳ B.I. καὶ τὸ παρ' ὁμηρικὸν M. Est Il. 7, 334. Proximum οὕτως om. A. et habet ἐξεδέχοντο.
ib. ἀποπρὸ (ἀπόπρο B.) νεῶν] ἀποπρὸ νομῆς I.
11. ἰδοὺ πείθομαι: τοῦτο] τὸ δὲ ἰδοὺ πείθομαι I.
ib. τὸν χορόν] τοῦ χοροῦ I. τὸν χρόνον C.
12. ἡ ἠλέκτρα A. ἡ om. ceteri.
ib. γενομένη] γινομένη M.
ib. εἶπεν] φησὶν I.
ib. φυσικῶς—εἶπε om. C.
ib. τὸ ἆ ἆ εἶπε πρῶτον] τὸ ἆ ἆ πρῶτον εἶπεν A. τοῦτο πρῶτον εἶπεν B.I.
13. ἐπειδὴ (ἐπεὶ C.) καὶ] καὶ om. I.
ib. αὕτη] αὐτὴ C.
ib. πρῶτον (πρώτη recte C.) hic A.C. post τῆς φύσεως B.M.I.
ib. εὕρηται] εἴρηται C.
14. γοῦν—οὐδὲν] γοῦν (οὖν A.) ἐπειδὴ πλῆθος τεθέαται παραδόξως εὐθὺς A.C.
ib. πλῆθος om. B.I.
ib. παραδόξων] παράδοξον B.I.
ib. εὐθὺς om. B.I.
15. ἐπὶ] πρὸς I.
16. πέμπε μοι A. μοι om. B.M.I. In C. est χορὸν, οὕτω φώνει μοι οἷος—.
17. ἕλεσιν] τέλεσιν M.
18. τῆς σύριγγος] σύριγγα B.I.
ib. φησι om. C.
ib. ὂν (ὂν om. A.B.M.) καὶ τὸν—δυνάμενον (δύναιτ' ἂν A.C.) om. I. Conf. p. 70, 14.

ἀποπρὸ βᾶτε: μακρὰν τῆς κοίτης πορεύθητε ἐκεῖσε. ἀποπρὸ, ἤτοι ἄγαν μακράν. I. ἀποπρό: ἰδοῦσα ταύτας ἡ Ἠλέκτρα ἐρχομένας πρὸς τὴν στρωμνὴν τοῦ Ὀρέστου λέγει πρὸς αὐτάς· ἄπο καὶ μακρὰν πρόβατε καὶ ἐξέλθετε ἐκεῖσε καὶ ἀπεκεῖ, ἤγουν ἀπὸ τῆς στρωμνῆς μακρὰν καθίσατε. Fl. 59. ἄπωθεν τῆς κοίτης ἐπιτείνατε εἰς τὸ ἔμπροσθεν τὴν πορείαν, ἄπωθεν κατ' ἐπίτασιν τῆς εἰς τὸ ἔμπροσθεν πορείας. Fl. 6. 9. 17. 21. 56. 59. 76. Gr. πόρρω μοι καὶ χωρὶς τῆς κοίτης. B. μοι: χάριν ἐμοῦ. I.

144. ἰδού: ἢ θέασαι, ἢ νῦν. Gu.

145. ἃ ἅ: ἐπίρρημα ἐφεκτικόν. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 76. φώνει μοι, ὦ φίλα, καθὰ πνοὴ ἀπὸ λευκοῦ δόνακος. I.

σύριγγος ὅπως πνοά: ἀπήχησις. M. ἀθορύβως φώνει μοι, ὡς πνοὴ συρίγξεως δόνακος. οὐ γάρ φησι σύριγγος τοῦ αὐλοῦ· οὗτος γὰρ καὶ Ἐνδυμίωνα ἀνεγεῖραι δύναται. A.B.M.I.

146. δόνακος: δόναξ κάλαμος λεπτὸς ἐν τοῖς ἕλεσι φυόμενος. τινὲς δέ φασι τὸ ἰδιωτικῶς λεγόμενον ῥαγάζιον, οὐ καλῶς λέγοντες· οὐ γὰρ ἀπὸ τούτου σῦριγξ γίνεται. Gu. I.

147. ἴδ' ἀτρεμαίαν: ἰδοὺ, φέρω βοὴν ἀτρεμαίαν καὶ ἀθόρυβον καὶ λίαν ὑπόροφον καὶ λεπτὴν, ἤγουν ἥσυχον. I. ἐπίρρημα ἀντὶ τοῦ ἰδού. ἀθόρυβον, οὐ ταραχὴν ἐμποιοῦσαν, λεπτήν. Gr.

ἴδ' ἀτρεμαίαν: μικρὸν σὺ, φησὶ, κελεύεις με φωνεῖν, ὡς ψιθυρίζει τῇ τοῦ ἀνέμου κινήσει κάλαμος· ἐγὼ δὲ ἔλαττον αὐτοῦ φέρω βοὴν, ὡς ὑπ' ὀρόφου γινομένην. ὁ δὲ ὄροφος κάλαμός ἐστιν ἀσθενής τε καὶ λεπτὸς καὶ παπυρώδης, οὗ μέμνηται καὶ Ὅμηρος, "λαχνήεντ' ὄροφον λειμωνόθεν ἀμήσαντες." ἐκ τούτου δέ εἰσι καὶ αἱ γλωσσίδες

1. ἀποπρὸ βᾶτε] ἀποπρόβατε I.

12. ἀθορύβως] ἀθορύβως φησὶ B.I. Ἄλλως huic scholio praefixum in B.

13. πνοὴ] φωνὴ A.

14. ἀνεγεῖραι δύναται M. ἤγειρεν A. ἀνεγείρει B. ἐγείρει I. Post haec in B.I. sequuntur illa διαθέσεως ἐμφαντικόν etc. quae v. ad v. 142.

16. δέ om. Gu.

ib. ῥαγάζιον] Ex boc uno loco memoravit Ducangins, qui interpretatur *ramus abscissus*.

21. ἀτρεμαίαν—κ.] ἀτρεμαίαν ὡς σὺ κ. C.

ib. με] μοι A.B.C.I.

22. κινήσει] πνοῇ M.

ib. τῇ τοῦ ἀνέμου κινήσει] ὑπὸ ἀνέμου A.C.

ib. ἔλαττον—φέρω] καὶ ἔλαττον—φέρω σοι (μοι I.) B.I. καὶ ἐλάττονα τούτου φέρω σοι βοὴν (βοὰν C.) A.C.

23. γινομένην] γενομένην A.

ib. ἐστιν om. M.

ib. καὶ λεπτὸς om. B.M.I.

24. παπυρώδης] πυρώδης M.

ib. Ὅμηρος] Il. 24, 451.

25. ἐκ τούτου δέ εἰσι] εἰς (sic) τούτων δὲ εἰσὶν M. ἐκ τούτων δὲ γίνονται B.I.

τῶν αὐλῶν. ὡς ἀσθενὴς δὲ καὶ ἀσθενῆ ποιεῖται τὴν ἀπήχησιν τῷ μὴ ἀνθίστασθαι τῇ βίᾳ τοῦ πνεύματος. A.B.C.M.I.

ὡς ὑπόροφον φέρω βοάν: τινές φασι βοὴν ὑπόροφον τὴν μὴ δυναμένην ἐκτὸς τοῦ οἴκου ἐξακούεσθαι, ἄλλοι δὲ ὄροφον λέγουσι λεπτόν τινα κάλαμον παπυρώδη, πιστούμενοι τοῦτο ἐκ τοῦ ἄνωθεν τῆς Ἠλέκτρας λόγου. εἰπούσης γὰρ ἐκείνης πρὸς τὸν χορὸν, ὦ φίλη, φώνει ὥσπερ πνοὴ καὶ ἀπήχησις σύριγγος λεπτοῦ δόνακος, ἀπολογούμενος ὁ χορός φησι, θέασαι ὅτι φέρω βοὴν ἥσυχον, ὑπόροφον, τουτέστι τὴν γινομένην ὑπὸ ὀρόφου. μέμνηται δὲ καὶ Ὅμηρος τοῦ ὀρόφου λέγων "λαχνήεντ' ὄροφον λειμωνόθεν ἀμήσαντες." ἐκ τούτου δὲ τοῦ ὀρόφου ποιοῦσιν οἱ παῖδες αὐλοὺς λεπτὸν ἠχοῦντας καὶ μὴ δυνάμενον ἐξακούεσθαι διὰ τὴν ἀσθένειαν. Gu. I. ὑπόροφον: ὄροφος λεπτὸς κάλαμος εἰς ὀροφὰς ἐπιτήδειος. ὑπώροφον οὖν τὴν μὴ διικνουμένην ἔξω τοῦ ὀρόφου, ὅ ἐστι βραχεῖαν. B.M.I.

148.—151. ναὶ οὕτως: ναὶ οὕτω, φώνει δηλονότι, κάταγε κάταγε, ἤγουν ταπείνου τὴν σὴν φωνὴν, πρόσελθε ἡσύχως, ἡσύχως ἐλθέ. ἀπόκριναι δὲ δι' ἣν αἰτίαν ἤλθετε καὶ χρείαν. χρόνια γὰρ, ἀντὶ τοῦ χρονίως, ἤτοι βραδέως, πεσὼν ὅδε ὁ Ὀρέστης εὐνάζεται καὶ ἀναπαύεται. I.

149. κάταγε κάταγε: τῇ ἐπαναλήψει μεμίμηται τὴν ἠρεμαίαν

1. ἀσθενὴς] ἀσθενεῖς A.M.
ib. καὶ ἀσθενῆ] καὶ om. B.M.I.
ib. τὴν ἀπήχησιν τῷ] ἀπήχησιν τὸ C. sine τήν.
2. βίᾳ A. βοῇ ceteri.
3. τινές—] In Gu. praeter longius hoc scholion etiam brevius legitur ab eadem manu scriptum, μὴ δυναμένην ἐκτὸς τοῦ οἴκου ἀκούεσθαι ἢ καὶ τὴν ὑπὸ ὀρόφου καὶ λεπτοῦ καλάμου γινομένην, ᾧ χρῶνται εἰς ὀροφὰς ἄνθρωποι. Prima longioris scholii verba τινὲς—πιστούμενοι in I. sic sunt conformata τινὲς φασὶν—οἴκου ἀκούεσθαι, ἄλλοι δὲ τὴν ὑπὸ ὀρόφου καλάμου γινομένην. ὄροφον γὰρ λέγουσιν λεπτόν τινα κάλαμον παπυρώδη, ᾧ χρῶνται εἰς ὀροφὰς οἱ ἄνοι. πιστούμενοι—.
7. ἀπολογούμενος] ἀποκρινόμενος I.
9. μέμνηται δὲ et τοῦ ὀρόφου λέγων om. I.
10. ἀμήσαντες] ἀμήσαντα Gu.
ib. δὲ om. I.
13. ὑπώροφον (ὑπόροφον I.) οὖν om. M.
20. κάταγε—] In A. κάταγε κάταγε: πρόσελθε πρόσελθε. ἀφ' οὗ καταγωγαί. τῇ δὲ τῶν λέξεων ἐπαναλήψει μέμνηται τὴν ἠρεμαίαν προϊέμενον φωνήν. ἅτε γὰρ οὐκ ἐξακουομένην δεύτερον τοιαύταις κέχρηται λέξεσι. τὸ ἑξῆς, πρόσιθι ἀτρέμας. ἄλλως. ἐναντίον ἐστὶ τῇ ἀνατάσει. σημαίνει δὲ τὸ πρόσελθε. ἀφ' οὗ καὶ καταγωγοὶ οἱ λιμένες. χρόνια γὰρ πεσὼν ὅδ' εὐνάζεται. χρόνια δὲ ἀντὶ τοῦ διὰ πολλοῦ χρόνου. τοῦτο δὲ—νοῦς χρονίας ὅτι διὰ χρόνου ἐκοιμήθη:—In C. τὸ κάταγε ἐναντίον ἐστὶ τῇ ἀναστάσει καὶ τὸ πρόσελθε, ἀφ' οὗ καὶ καταγωγαὶ οἱ λιμένες:—χρόνια γὰρ ἀντὶ τοῦ πολλοῦ χρόνου. τοῦτο δὲ—νοῦς χρονίως ὅ ἐστι—ἐκοιμήθη:—
ib. τῇ om. M. in quo lemma est ἀτρέμας ἴθι.

προϊέμενον φωνήν· ἅτε γὰρ οὐκ ἐξακουομένης, δεύτερον ταῖς αὐταῖς κέχρηται λέξεσι. B.M.I.

κάταγε κάταγε : τὸ κάταγε ἐναντίον ἐστὶ τῇ ἀνατάσει τῆς βοῆς. σημαίνει δὲ τὸ κάταγε τὸ πρόσελθε, ἀφ' οὗ καὶ καταγωγαὶ οἱ λιμένες. χρόνια δὲ ἀντὶ τοῦ ἀπὸ πολλοῦ χρόνου. τοῦτο δὲ ἀναφορὰν ἔχει πρὸς τὸ "πρόσιθι ἀτρέμας." ὁ δὲ νοῦς, χρονίως, ὅ ἐστι διὰ χρόνου, ἐκοιμήθη. A.B.C.M.I.

κάταγε: ἀπὸ μεταφορᾶς τῶν καταγομένων νεῶν εἰς τοὺς λιμένας. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. κάτελθε καὶ σεαυτὴν φέρε. Gu.

150. λόγον ἀπόδος: ἀντὶ τοῦ ἀπόκριναι. Gr. ἀπολογίαν. Gu.

151. χρόνια: χρονίως, βραδέως. Gr. μόλις. καὶ διὰ τοῦτο οὐ βούλομαι ὑμᾶς ὄχλον αὐτῷ παρασχούσας ἐξαναστῆσαι. Gu.

152. πῶς ἔχει: πῶς διάκειται ὁ Ὀρέστης; μετάδος ἡμῖν λόγου, ὦ φίλη. I.

154. τίνα τύχαν εἴπω: τὴν περὶ αὐτοῦ τύχην, πότερον ἐπὶ τὸ χεῖρον ἢ ἐπὶ τὸ ἄμεινον νένευκεν. B.C.M. τίνα δυστυχίαν αὐτοῦ εἴπω, τίνα δὲ συμφοράν; ἔτι μὲν ἀναπνεῖ, βραχὺ δὲ καὶ ὀλίγον ἀναστένει. I.

156. τί φῄς, ὦ τάλας: ὁ Ὀρέστης δηλονότι. I. ὦ τάλας: οἰκειούμενος τὰς συμφορὰς ὁ χορὸς καὶ συναχθόμενος γεγωνότερον ἀνέκραγε τὸ ὦ τάλας. διό φησιν "ὀλεῖς, εἰ βλέφαρα κινήσεις." A. B.C.M.I. δεῖ δὲ νοεῖν στεναγμόν τινα γεγενῆσθαι μετὰ τὸ ὦ τάλας ὑπὸ τοῦ χοροῦ, ἵνα εὔλογον ᾖ τὸ παρὰ τῆς Ἠλέκτρας εἰρημένον "σὺ γάρ νιν, ὦ τάλαινα, θωΰξασ' ἔβαλες ἐξ ὕπνου." B.M.I. τί φῄς, πρὸς τὴν Ἠλέκτραν, ὦ τάλας, πρὸς τὸν Ὀρέστην. I.

157. ὀλεῖς: εἰ τοῦ ὕπνου ἀλλοτριώσεις ἢ μεταστήσεις. B.M. ἀπολεῖς ἐμὲ, εἰ κινήσεις τὰ βλέφαρα ἐκείνου, φέροντος ἡδονὴν ὕπνου γλυκυτάτην. I. ὀλεῖς: ἀπολεῖς ἐμέ. Gr. ἢ αὐτόν. Gu. εἰ βλέ-

P. 71. l. 20. μεμίμηται] μέμνηται A.M.

2. κ. λέξεσι κ.] λέξεσι κ. I. λέξεσι om. M.

3. ἀνατάσει] ἀναστάσει C.M.

ib. τῆς—κάταγε om. C. qui καὶ τὸ π.

4. πρόσελθε duplicat M.

ib. καταγωγαὶ] καταγωγοὶ B.M.I. quod correxi ex A.C. λιμένας καταγωγοὺς dixit schol. Hom. Il. 2, 494.

5. et 22. δὲ om. M.

5. ἀντὶ τοῦ om. I. In C. χρονίας γὰρ ἀ. τ.

6. χρονίως] χρόνιος I.

16. τίνα τύχαν εἴπω om. B.

ib. περὶ] παρ' B.

17. τίνα δ. (καὶ δ. I.) αὐτοῦ εἴπω, ἀπορηματικῶς Gr.

21. διὸ—κινήσεις om. C.

23. παρὰ om. M.

φαρα κινήσεις: ἤγουν ἐὰν διϋπνίσῃς αὐτὸν, ἐὰν ἐξεγείρῃς τοῦ ὕπνου. Fl. 33. 59.

158. ὕπνου χαρὰν τὸ βαθύτατον τοῦ ὕπνου, ὃ ἐν τοῖς ἑξῆς ὕπνου θέλγητρόν φησι. A.B.M. ἀντὶ τοῦ φερόμενον ἐν χαρᾷ Fl. 21. ἀντὶ τοῦ φέροντος τὴν ἡδονὴν τὴν γλυκυτάτου τοῦ ὕπνου. Gr. καρπουμένῳ. Gu.

159. μέλεος: τάλας διὰ τὰς ἐκ θεῶν πράξεις. ἠρέμα δέ πως ἀρνεῖται τὴν πρᾶξιν Ὀρέστου εἰς τὸν θεὸν ἀναφέρουσα τὴν ἁμαρτίαν. A.B.M. μετὰ στεναγμοῦ δὲ ταῦτα λέγει, ὥς φησιν Ἠλέκτρα, σὺ γάρ νιν, ὦ τάλαινα, θωΰξασ' ἔβαλες ἐξ ὕπνου. A. πρῶτον γὰρ εἶχεν ἡ Γῆ τὸν τρίποδα, εἶτα δεύτερον ἡ Θέμις, εἶτα Ἀπόλλων παρὰ Θέμιδος λαβών. B.M. ὦ ἄθλιος, ἕνεκα τῶν πράξεων τῶν θεοστυγεστάτων. ὦ τάλας, φεῦ ἕνεκα τῶν μόχθων. I.

162.—165. ἃ ἅ: ἄδικος ὢν ὁ Λοξίας ἄδικα ἄρα τότε εἶπεν, ὅτε ἐπὶ τῷ τρίποδι τῆς Θέμιδος ἐδίκασεν, ἤγουν ἔκρινε, τὸν ἀπόφονον φόνον τῆς ἐμῆς μητρὸς, ἤγουν τὸν μισητὸν καὶ μὴ ἄξιον ὄντα γενέσθαι. Gr. I.

ἄδικος: ἀντὶ τοῦ οὐ δικαίως ἔδοξεν εἰρηκέναι. B. τοῦτ' ἐστὶ τὸ ἀλλαχοῦ εἰρημένον "πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα." ἐπειδὴ γὰρ ἔδοξεν ἀτυχῶς τῷ Ὀρέστῃ πεπτωκέναι τῆς μητρὸς ὁ φόνος, ἄδικος ὁ Λοξίας νενόμισται· ἢ τὸ ἄδικα ἐδίκασεν ἐμφαίνει ὅτι δικαίως μὲν ἐμαντεύσατο τὸν φόνον τῆς μητρὸς, ἀδικεῖ δὲ τῷ

7. τάλας] αὐτὰς B.M. αὐτὸς A.
ib. ἐκ θεῶν] εἰς θεὸν M.
8. εἰς τὸν θεὸν ἀναφέρουσα (ἀναφέρων M.)] ὃς θεοῖς ἀναφέρει B.
10. πρῶτον γὰρ (δὲ B.)—λαβών] Haec B. habet post εἰρηκέναι, quo scholion proximum finitur.
14. ἄδικα—τὸν μισητὸν] ἄδικα τότε εἶπεν ὅτε ἐπὶ τῷ τρίποδι τῆς θέμιδος ἔκρινε τὸν φόνον τὸν μισητὸν I.
19. ἀλλαχοῦ] Eurip. Hipp. 701.
20. ἐπειδὴ] ἐπεὶ M.
21. ἄδικος ὁ Λοξίας—ἔλακεν ὁ Λοξίας] Haec etiam in C., sic scripta, ἔκδικος (literis ἔκ ab rubricatore positis pro ἄ) ὁ λοξίας νενόμισται ὅτι τὰ ἄδικα ἠδίκησεν (hoc ex conjectura correctoris pro ἐδίκησεν positum, quod non viderat ex ἐδίκασεν esse corruptum). ἐμφαίνει γὰρ ὅτι δικαίως μὲν ἐμαντεύσατο τὸν φόνον τῆς μητρὸς, ἀδικεῖ δὲ τῷ δράσαντι ἐπικουρῶν. τὸ ἑξῆς οὗτος (corrige οὕτως) ὁ ἄδικος λοξίας ἄδικα τότε ἐδίκασεν ὅτι (corrige ὅτε) ἐπὶ τρίποδος θέμιδος τὸν φόνον τῆς μητρὸς ἐμαντεύσατο:—In A. haec tantum leguntur, ἄδικος ἄδικα: ἄδικος ὁ λοξίας ἔδοξεν ἄδικα δικάσας ἢ δικαίως ἐψηφίσατο τὸν φόνον. ἀδίκως δὲ οὐ βοηθεῖ:—τὸ δὲ ἑξῆς ἄδικος λοξίας. ἄδικα γὰρ τότε ἐδίκασεν ὅτε ἐπὶ τρίποδος θέμιδος τὸν ἀπόφονον φόνον ἔλακεν τῆς μητρός. ἀπόφονον: τινὲς τὸν ἄτοπον φόνον, τινὲς δὲ τὴν ἀπὸ εἰς τὸ ἔλακεν, ἀντὶ τοῦ ἀπεφθέγξατο:—
22. μὲν om. B.I.

δράσαντι μὴ ἐπικουρῶν. τὸ δὲ ἑξῆς οὕτως· ὁ ἄδικος Λοξίας ἄδικα τότε ἐδίκασεν, ὅτε ἐπὶ τρίποδος Θέμιδος τὸν ἀπόφονον ἔλακεν ἐμῆς μητρός (καὶ Ἀριστοφάνης "ἔλακεν ἐκ τῶν στεμμάτων" τραγικῇ λέξει χρησάμενος) ὅτε τὸν ἀπόφονον τῆς ἐμῆς μητρὸς ἐπὶ τρίποδι Θέμιδος ἔλακεν ὁ Λοξίας. A B.C.M.I. τὸ ἀπόφονον Ἀπόλλωνι, οὐκ Ὀρέστῃ ἐγκαλοῦσά φησιν. ἔνιοι δὲ ἀπόφονον ἐδέξαντο τὸν ἄτοπον φόνον, τὴν δὲ ἀπό πρὸς τὸ ἔλακεν, ἀπέλακεν, ἀντὶ τοῦ ἀπεφθέγξατο. A.B.M.I.

ἄδικος: οἱ λαμβάνοντες εἰς τὸ ἄδικος ἔξωθεν τὸ ὑπάρχει καὶ στίζοντες ἐνταῦθα οὐ καλῶς ποιοῦσι. τὸ δ' οὕτως ἔχει· δέον γὰρ οὕτως εἰπεῖν, ἀδίκως ἔλακε τότε ὁ Λοξίας ἄδικα, ὁ δὲ ἄδικος εἶπε πρὸς τὸ Λοξίας. ἀπατῶνται δὲ ἐκ τοῦ ἄδικα, οὐκ εἰδότες ὅτι τὸ ἄδικος καὶ τὸ ἄδικα ταυτοδυναμοῦσιν, ὥστε εἰ καὶ ἓν τούτων ἀπῆν, ἄρτιος ἂν ἦν ὁ λόγος. Gu. I. ἄδικος ὢν ὁ Λοξίας ἄδικα ἄρα τότε εἶπεν, ὅτε ἐπὶ τρίποδι τῆς Θέμιδος ἐδίκασεν, ἤγουν ἔκρινε, τὸν ἀπόφονον φόνον τῆς ἐμῆς μητρὸς, ἤγουν τὸν μισητὸν καὶ μὴ ἄξιον γενέσθαι. τὸ δὲ ἔλακεν οὐ παρακείμενός ἐστιν, ὡς οἴονταί τινες, ἀλλ' ἀόριστος β', διὸ καὶ βραχὺ ἔχει τὸ α. λέλακα γάρ ἐστιν ὁ παρακείμενος, ὡς καὶ Ἡσίοδος τὸ λέληκας. I.

163. ἀπόφονον: κακόφονον, ὡς αἴτιον ἡμῖν συμφορῶν, τὸν μισητὸν καὶ μὴ ἄξιον ὄντα γενέσθαι. Gu. ἄτοπον. Gu. ὡς λέγομεν γάμος ἄγαμος, ὅταν τις οὐκ ἀγάγηται γυναῖκα ξένην, ἀλλὰ συγγένειαν ἔχουσαν μετ' αὐτοῦ, οὕτω καὶ φόνος ἀπόφονος, ἤγουν μισητός· οὐ γὰρ ἦν ὁ φόνος εἰς ἕτερον ἀλλότριον, ἀλλὰ εἰς τὴν αὐτοῦ μητέρα. καὶ ἄλλο δέ· ὅτι ὁ φόνος τῆς μητρὸς αὐτοῦ ἐπὶ κακῷ ἐγένετο αὐτῷ· παράφρων γὰρ ἐγένετο ὁ Ὀρέστης καὶ εἰς ψῆφον ἦσαν θανάτου, καὶ κατὰ τοῦτο ἀπόφονος, ἤγουν μισητὸς κακὸς φόνος. Fl. 59.

163. ἐπὶ τρίποδι Θέμιδος: οὕτω νοητέον, ἢ ἐν τῷ τρίποδι τῆς

2. ἐδίκασεν] ἐδίκησεν I.
ib. ἀπόφονον] φόνον I.
3. καὶ (om. M.) Ἀριστοφάνης] Pluti v. 39.
5. ἔλακεν ὁ λοξίας M. ἐδίκασεν ὁ λοξίας B. ὁ λοξίας ἀπέλακεν ἀντὶ τοῦ ἀπεφθέγξατο I., quae aptius infra leguntur.
ib. τὸ] τὸ δὲ B.
10. οὐ καλῶς ποιοῦσι] ἀμαθεῖς I.
11. οὕτως om. et ὁ δὲ I.
14. ἂν om. I.
16. μὴ addidit King. ut est in scholio proximo.
19. Ἡσίοδος] Op. 207.
28. οὕτω] In Gu. praecedunt verba τῷ τρίποδι καὶ θέμιδος.

Θέμιδος, ἤγουν τῆς δικαιοσύνης, ἐν ᾧ καθημένη ἡ Πυθία καὶ ὑπὸ τοῦ Ἀπόλλωνος κατεχομένη τὰ δίκαια πᾶσιν ἐθέσπιζεν, ἤ, ὥς φασί τινες, ὅτι ὁ τρίπους πρότερον ἦν τῆς Γῆς, εἶτα τῆς Θέμιδος, (ἡ δὲ Θέμις θεὰ παρ' Ἕλλησιν ἔφορος δικαιοσύνης,) εἶτα τοῦ Ἀπόλλωνος ἐγένετο, παρὰ Θέμιδος λαβόντος. Gu.

165. Λοξίας: λοξίας ὁ Ἀπόλλων καλεῖται, ὅτι λοξὰ καὶ διπλῶς νοούμενα ἐμαντεύετο. καὶ γὰρ τῷ Κροίσῳ, ὅτε στρατεύσειν κατὰ Κύρου ἔμελλεν, ἐρωτήσαντι εἰ τοῦ ἐχθροῦ περιέσται εἶπε "Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει." τοῦτο δὲ ἦν παντάπασιν ἄγνωστον, εἴτε τὴν οἰκείαν, εἴτε τὴν τοῦ Κύρου. ὅθεν ἀπατηθεὶς ὁ Κροῖσος, καὶ μεγάλην ἀρχὴν τὴν τοῦ ἀντιδίκου ὑπολαβών, ἐλθὼν καταλέλυκε τὴν οἰκείαν τοσοῦτον ὡς καὶ ὑπὸ τοῦ ἐχθροῦ ἑαλωκὼς εἰς πῦρ ἐμβεβλῆσθαι, ὃν εἰ μὴ ὁ Ζεὺς οἰκτείρας ἀφῆκεν ὕδωρ ἐπὶ τὴν φλόγα, τάχ' ἂν ἀπωλώλει, ἔργον πυρὸς γενόμενος. ἦν δὲ ὁ Κροῖσος Λυδῶν βασιλεύς. Gu. I.

Λοξίας: Ἱστορία. τὸ μὲν παλαιὸν βοσκός τις ἔβοσκε πρόβατα εἰς ὄρος καὶ ἀναμεταξὺ τοῦ ὄρους ἐκείνου ἦν χάος, ὃ εὑρέθη πρῶτον ὑπὸ ἑνὸς τῶν προβάτων. ἰδὼν δὲ τοῦτο ὁ βοσκὸς ὅτι παραφυλάττει λαβὼν τὸ πρόβατον καὶ παρακύψας καὶ αὐτὸς ἐκεῖσε ἤρξατο λαλεῖν στίχων πλοκὰς καὶ ἕτερα ἐξαίσια. ἰδόντες δὲ τοῦτον τινὲς τῶν ἀνθρώπων στίχων πλοκὰς λέγοντα ἠρώτων αὐτὸν πῶς ἄρα τοιαῦτα λαλεῖ. ὁ δὲ εἶπεν ὅτι εἰς τὸ ὄρος ἐν ᾧ ἔβοσκον τὰ πρόβατα ἐκεῖσε μεμάθηκα ἀπὸ χάους τινός. ἀκούσαντες δὲ οἱ ἐγχώριοι ἔκτισαν ἐκεῖσε ναὸν τῷ Ἀπόλλωνι, ἐν ᾧ καὶ τρίποδον χαλκὸν ἔστησαν διὰ τὸ χρᾶσθαι αὐτῷ τῇ μαντείᾳ, στήσαντες ἄνωθεν τοῦ χαλκοῦ γυναῖκα παρθένον, ἵνα ἀνακρούει αὐτόν, καὶ ἐξ αὐτοῦ τοὺς χρησμοὺς δέχονται. Λοξίαν δὲ λέγουσι τὸν Ἀπόλλωνα διὰ τὸ ποιεῖσθαι ἐξεστραμμένους τοὺς χρησμούς. C.

166. ὁρᾷς: κινεῖ τὸ δέμας ἐν τοῖς πέπλοις. I.

1. ἤγουν] τουτέστι I.

8. Κροῖσος Ἅλυν διαβὰς] κροῖσος βασιλεὺς ἅλιν ποταμὸν διαβὰς Gu.

9. τοῦτο δὲ ἦν] τοῦτο εἶπε Gu.

10. τοῦ om. I.

11. ἀντιδίκου] ἀδίκου Gu.

12. τοσοῦτον et καὶ om. I.

ib. ἑαλωκὼς—ἐμβεβλῆσθαι] ἑαλωκέναι καὶ εἰς πῦρ ἐμβληθῆναι I.

13. et 14. ὁ om. I.

18. ὑπὸ] ἀπὸ C.

ib. παραφυλάττει] Codex sic fere παραφα cum τει supra scripto, cum accentu super φά et litera φ cum lineola compendii signo.

21. ἄρα] ἆρα C.

24. τρίποδον χαλκὸν] Corrige τρίποδα χαλκοῦν.

167. *σὺ γάρ νιν, ὦ τάλαινα, θωΰξασ᾽*: σὺ γὰρ ἀγρίως βοήσασα ἐξέβαλες τοῦ ὕπνου αὐτόν. τὸ γὰρ ὦ τάλας γεγωνότερον εἶπεν ὁ χορός. B.I. *θωΰξασ᾽*: θηριώδει βοῇ χρησαμένη. καὶ ἴσως εἴρηται παρὰ τοὺς θῶας. τινὲς δέ φασιν ὅτι φωνῇ θρηνώδει ἐχρήσατο ὁ χορὸς γραφῆναι μὴ δυναμένη, ἰυγμῷ ἢ καὶ ἰυγμοῦ τραχυτέρᾳ, ὅπερ εἰώθασι ποιεῖν αἱ γυναῖκες ἐπὶ τοῖς ὑπερβάλλουσι κακοῖς· ἃ γὰρ μὴ δύναται γράφεσθαι, ταῦτα δι᾽ ἑτέρων προσώπων δηλοῦται· οἷόν τι καὶ παρὰ τῷ κωμικῷ οἰκέτου στενάξαντος ἕτερός φησιν "ἀκούεις, ὡς στένει;" B.M.I.

θωΰξασ᾽: ἀγρίως (μεγάλως Gu.) βοήσασα. Gr. *ἔβαλες*: ἤγουν ἐξύπνισας αὐτὸν, εἰποῦσα τὸ "ὦ τάλας." Fl. 59. ἐλάσασα. M. φωνήσασα. C. ἀπὸ τοῦ "σὺ γάρ νιν" ἕως τοῦ "θωΰξασα" ἡ Ἠλέκτρα. B.M. τὸ γὰρ "ὦ τάλας" γεγωνότερον εἶπεν ὁ χορὸς θηριώδει φωνῇ καὶ ἀσήμῳ χρησάμενος. A. *ἔβαλες ἐξ ὕπνου*: ἡ ἐξ πρόθεσις πρὸς τὸ ἔβαλες. ἐξέβαλες δὲ ἀντὶ τοῦ ἐξήγειρας. M.

169. *εὕδειν μὲν οὖν ἔδοξα*: ἀντὶ τοῦ δοκῶ. καθησυχάσουσα δὲ τὴν Ἠλέκτραν φησὶν ὅτι καθεύδειν αὐτὸν νομίζω· διὸ ἐπιφέρει τὸ ὑπνώσσει ὁριστικόν. λέγει νῦν ὡς ἀμφίβολον εἰποῦσαν οὐκ ἔπεισε· μὴ ταράσσου, φησὶν ὁ χορὸς, κοιμᾶται γάρ. τὰ γὰρ δύο σσ ἐνεστῶτος ποιοῦσι τὸ ῥῆμα. B.M.I. ἐνόμισα αὐτὸν ἐν βάθει κοιμᾶσθαι· Ἄλλως. τὸ ἔδοξα ἀντὶ τοῦ δοκῶ, ἐξ οὗ ἐπάγει τὸ ὑπνώσσει ὁριστικὸν, ἐπεὶ πρώην ἀμφίβολον εἶπε καὶ οὐκ ἔπεισε. A.

170. *οὐκ ἀφ᾽ ἡμῶν*: οὐκ ἀφ᾽ ἡμῶν, ἀποστήσῃ δηλονότι, οὐκ ἀπὸ τῶν οἴκων πάλιν ἀναστρέψεις τὸν σὸν πόδα, μεθεμένα καὶ ἀφεῖσα τοῦ κτύπου; I. μακράν. Fl. 59.

171. *πάλιν*: εις τοὐπίσω. Gu. *ἀνά*: σύναπτε τὸ ἀνά πρὸς τὸ ἑλίξεις. Gu. *πάλιν—ἑλίξεις*: ἀναστρέψεις τὸν σὸν πόδα. ἐκ παραλλήλου τὸ πάλιν καὶ τὸ ἀνά. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1. σὺ γὰρ om. B.
ib. βοήσασα] φωνήσασα I.
2. τάλας] τάλαινα I.
3. θωΰξασ᾽] θωΰξασα δὲ B. Hanc scholii partem usque ad τοὺς θῶας (θόας B.) om. I. In sequentibus usque ad προσώπων δηλοῦται pleraque in M. obliterata.
5. ἢ καὶ om. I.
8. φησὶν post ἀκούεις M.
12. ἡ Ἠλέκτρα] τὸ κῶλον B.
14. χρησάμενος] χρησαμένη A.
16. καθησυχάσουσα] καθησιχάζουσα B.
18. λέγει—ἔπεισε delevit King. Nec ego quid illa sibi velint assequor. MATTH. Sed conf. l. 21.
19. κοιμᾶται] ὑπνώσσει I.
20. ποιοῦσι τὸ ῥῆμα] ῥῆμα ποιοῦσι τὸ ὑπνώσσω B.I.

172. μεθεμένα: ἀποστᾶσα. Gr. ἀπολειφθεῖσα. Gu. ἀφεῖσα, ἀποστᾶσα τοῦ κτύπου οὗ ποιεῖς. Fl. 59.

173. λέγεις εὖ: ἀληθῶς καὶ καλῶς λέγεις. ταῦτα δέ φησι σκοπήσασα ἀπὸ τοῦ κοιμωμένου. B.M.I. ἀντὶ τοῦ ἀληθῶς λέγεις. ὡς καὶ αὐτὴ θεωρήσασα αὐτὸν κοιμώμενόν φησιν. A.C.

174. πότνια πότνια: ὦ νὺξ σεβασμία, ἡ τοὺς ὕπνους παρεχομένη τοῖς πολυπόνοις ἀνθρώποις. (δίδωσι δὲ τοὺς ὕπνους ἡ νὺξ ἐξαιρέτως διὰ τὸ ὑγρὰ εἶναι τῇ ἀποστάσει τοῦ ἡλίου τοῦ ξηραίνοντος τὸν ἀέρα.) ἐλθὲ ἀπὸ τοῦ ἐρέβους, μόλε ταχεῖα ἐπὶ τὸν δόμον τὸν Ἀγαμεμνόνειον· ὑπὸ γὰρ ὀδυνῶν καὶ συμφορᾶς φθειρόμεθα. I.

νὺξ ὑπνοδότειρα: ἐπικαλεῖται τὴν νύκτα πρὸς τὸ κοιμίσαι τὸν Ὀρέστην. ὁ γὰρ κατὰ φύσιν ὕπνος ἐξ ὑγρότητος γίνεται. ὑγρὰ δὲ οὖσα ἡ νὺξ, ἀφισταμένου τοῦ ἡλίου τοῦ ξηραίνοντος καὶ θερμαίνοντος τὸν ἀέρα, ἐπάγει τὸν ἐξ ὑγρότητος γινόμενον ὕπνον. ὁ τοίνυν Ὀρέστης ἐξηραμμένος ὑπὸ νόσου τε καὶ ἀσιτίας, ὑγρανθεὶς τῷ νυκτερινῷ καταστήματι, μᾶλλον κοιμηθήσεται, ἄλλως τε καὶ τῶν αἰσθήσεων ἠρεμουσῶν ἐν σκότει ἕπεται ὕπνος ἡσυχίᾳ αἰσθήσεων καὶ κινήσεων. ἔδει δὲ ἐκ χάους εἰπεῖν, ὡς Ἡσίοδος "ἐκ χάεος ἔρεβός τε μέλαινά τε νὺξ ἐγένοντο." A.B.C.M.I. Ἄλλως. τοῦτο τὸ μέλος ἐπὶ ταῖς λεγομέναις νήταις ᾄδεται, καὶ ἔστιν ὀξύτατον· ἀπίθανον οὖν τὴν Ἠλέκτραν ὀξείᾳ φωνῇ κεχρῆσθαι, καὶ ταῦτα ἐπιπλήσσουσαν τῷ χορῷ. ἀλλὰ κέχρηται μὲν τῷ ὀξεῖ ἀναγκαίως, οἰκεῖον γὰρ τῶν θρηνούντων, λεπτότερον δὲ ὡς ἔνι μάλιστα. B.I.

175. ὑπνοδότειρα: ἡ τοὺς ὕπνους δωρουμένη τοῖς πολυπόνοις βρο-

4. ὡς om. C. qui αὐτὸν ante θ.

7. ἡ νὺξ et mox ὑγρά I. infra ubi haec repetuntur, hic ἡ γῆ et ὑγράν.

11. ἐπικαλεῖται—Ὀρέστην] Separatum scholion in B. quo carent M.I.

ib. πρὸς τὸ κοιμίσαι] εἰς τὸ προσκοιμῆσαι C.

12. ὁ γὰρ] γὰρ om. B.M.I.

13. οὖσα om. B.M.I.

ib. καὶ θερμαίνοντος om. C.M.

14. ἐπάγει—γινόμενον ὕπνον addidi ex A.C.

15. ἐξηραμμένος] ἐξηραμένος C.I.

16. καταστήματι] διαστήματι I.

ib. ἄλλως τε om. M.

17. σκότει A.C. σκότῳ B.M.I.

ib. ἡσυχίᾳ] ἡσυχίαν M. ἡσυχίᾳ—κινήσεων om. A.C.M. in quibus post ὕπνος novum incipit scholion, ἐρεβόθεν ἴθι: ἔδει ἐκ χάους εἰπεῖν etc.

18. ὡς (ὡς καὶ A.) Ἡσίοδος] Theog. 123.

ib. χάεος] χάους C.

19. ἐγένοντο A. ἐγένετο B.I., om. M. ἐγίνετο C.

20. νήταις] νηταῖς B.I.

22. οἰκεῖον γὰρ τῶν θρηνούντων om. I.

τοῖς. δίδωσι δὲ τοὺς ὕπνους ἡ νὺξ ἐξαιρέτως, διὰ τὸ ὑγρὰ εἶναι τῇ ἀποστάσει τοῦ ἡλίου τοῦ ξηραίνοντος τὸν ἀέρα. I.

176. ἐρεβόθεν: ἐρεβόθεν ἐλθεῖν τὴν νύκτα καλεῖ, τουτέστιν ἀπὸ τοῦ χάους· κατερχομένου γὰρ τοῦ ἡλίου εἰς τὸ ὑπὸ γῆς ἡμισφαίριον σκότος ἐπάνω τῆς γῆς γίνεται, ὥσπερ ἐκ τῶν κάτωθεν ἀνιέναι δοκοῦν, οὐχ ὡς ὂν ἐν τοῖς κάτω καὶ ἀνερχόμενον, ἀλλὰ τῇ ἀπουσίᾳ τοῦ φωτὸς τοῦτο ὑφίσταται, οὐκ ἔχον αὐτὸ καθ' ἑαυτὸ οἰκείαν ὑπόστασιν. ἐλθεῖν δὲ λέγει τὴν νύκτα, οὐχ ἵνα γένηται νὺξ,—πῶς γὰρ οἷόν τε ἡμέρας οὔσης;—ἀλλ' ἐπειδὴ ἐν νυκτὶ ὑπνώττουσιν ἄνθρωποι, διὰ τοῦτο τοῦτό φησιν· ἄλλως τε καὶ οἱ κοιμώμενοι ὥσπερ νύκτα ἔχουσι διὰ τὸ μὴ ὁρᾶν. Gu. I. κατάπτερος: ταχεῖα. M. ταχεῖα ἀντὶ τοῦ ταχέως. Gr.

181. διοιχόμεθα: ἐφθάρμεθα. Gr.

182. κτύπον ἠγάγετ': ἀντὶ τοῦ ἐποιήσατε. I. καὶ τοῦτο κατὰ ἀναφώνησιν λέγει ἡ Ἠλέκτρα. M.

183. σῖγα σῖγα: μετὰ σιγῆς, διαλέγου μοι δηλονότι, φυλασσομένη καὶ ἐκφεύγουσα τὸν εἰς ὕψος τοῦ στόματος κέλαδον· παρέξεις, ὦ φίλη, ἡδονὴν ὕπνου ἥσυχον, εἰ τοῦτο ποιήσεις. I.

σῖγα σῖγα φυλασσομένα: οὐ σιωπήσεις, φησὶν, ἀπὸ τοῦ στόματος φυλασσομένη τὸ ἀνακελαδεῖν καὶ τὴν ἀπὸ τῆς κοίτης τοῦ ὕπνου χάριν ἥσυχον αὐτῷ παρέξεις; ἢ τὸν κέλαδον ἄποθεν τοῦ λέχους ποιουμένη; οἷον, οὐ σιγήσεις καὶ μετὰ ἡσυχίας αὐτὸν ἐάσεις κοιμηθῆναι; A.B.C.M.I. φυλασσομένα: ἤγουν ἀφεῖσα μεγάλην βοὴν πλησίον τῆς αὐτοῦ κοίτης, καὶ πόρρω γενομένη, ὀνήσεις αὐτὸν ὡς ὑπνώσσοντα. I.

184. ἀνακέλαδον: τὴν εἰς ὕψος φωνήν. Gr. μέγαν ἦχον. Gu.

187. θρόει, τίς κακῶν. λέγε ποῖον τέλος ἐκδέχεται, πότερον δύναται ῥαῖσαι, ἢ οὔ; εἰπὲ ποῖον ἔσται τὸ πέρας, ποῖον τέλος αὐτὸν μένει. ἆρά γε ῥαΐσει τῆς νόσου ἢ οὔ; B.M.I.

4. τοῦ χάους] τοῦ om. I.
ib. γῆς] γῆν I.
9. ἐν νυκτὶ] ἐν om. I.
10. τοῦτο alterum om. I.
19. οὐ] ἄλλως praefixum in I. sine lemmate.
20. φυλασσομένη] φυλαττομένη I. φυλασσόμενον C.
ib. τοῦ ὕπνου] τοῦ om. B.M.I.
22. οἷον] ἤγουν C.
ib. αὐτὸν] ἑαυτὸν M.
27. ἐκδέχεται] εἰσδέχεται M.
ib. πότερον] ἆρα B.I.
28. ἔσται—ἢ οὔ] ἔσται τὸ τέλος,

188. τί δ' ἄλλο: εἶπας. Gr.

189. οὐδὲ γὰρ πόθον ἔχει βορᾶς: ἴσχει πόθον χρὴ γράφειν, οὐ πόθον ἔχει· οὕτω γὰρ ἔχει πρὸς τὸ τοῦ πρώτου συστήματος κῶλον οἰκείως. καὶ τὸ ἄρα δὲ ἐνταῦθα, εἰ καὶ συμπερασματικόν ἐστιν, ἀλλ' οὖν ἀντὶ μακροῦ λαμβάνεται παρὰ τοῖς ποιηταῖς, ὡς καὶ τὸ ἀπορηματικὸν ἐνίοτε ἀντὶ βραχέος. διὸ τοῦτο μὲν περισπᾶται ἀντιστρόφως, ἐκεῖνο δὲ ὀξύνεται. I.

πόθον: ὄρεξιν. Fl. 59. βορᾶς: τροφῆς. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

190. πρόδηλος: εἰ μὴ γὰρ ἐσθίει, τεθνήξεται. B.M. προφανής. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. φανερός. Gu. ἆρ': εἰ ταῦθ' οὕτως ἔχει. Gu. ὁ πότμος: ἡ τύχη τοῦ θανάτου δηλονότι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

191. ἐξέθυσεν. ἀντὶ τοῦ ἀπώλεσεν ἡμᾶς ὁ Ἀπόλλων, πατροφόνου μητρὸς αἷμα δούς, οἷον ἐνδοὺς ἡμῖν καὶ κελεύσας τὸν τῆς μητρὸς φόνον ἐργάσασθαι. τὸ δὲ ἑξῆς, μέλεον ἀποδοὺς αἷμα, φόνον πατροκτόνου μητρός. A.B.C.M.I. Ἄλλως. ἡ ἐξ πρὸς τὸ πατροφόνου, τουτέστι δοὺς ἡμῖν τὸ αἷμα καὶ τὸν φόνον τῆς πατροφόνου μητρός, οἷον ἐγχειρίσας ἡμῖν καὶ κελεύσας ἀπὸ τοῦ φόνου καὶ τοῦ αἵματος τῆς μητρὸς τιμωρῆσαι καὶ τῷ πατρί. δύναται δὲ καὶ ἀποδούς. A.B. M.I. ἡ ἐξ εἰς τὸ δούς, ἐκδούς. B. ἐξέθυσ': ἐφόνευσεν. Gr. ἀπώλεσεν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

192. ἀπόφονον: οὐκ ἄξιον ὄντα γενέσθαι. ἀπὸ φυγῆς ἄξιον φόνον. Gr. Fl. 6. 9. 21. 56. 59. δούς: ἀντὶ τοῦ συγχωρήσας καὶ κελεύσας τὸν τῆς μητρὸς φόνον ἐργάσασθαι, τὸν φόνον τῆς μητρὸς τὸν μέλεον, τὸν ἀπόφονον καὶ τὸν μισητόν, τὸν ἐπὶ κακῷ γεγονότα. Fl. 59.

193. πατροφόνου, τῆς τὸν ἐμὸν πατέρα φονευσάσης. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

ποῖον πέρας αὐτὸν μένει; B. I. reliquis omissis.
ib. αὐτὸν] ἑαυτὸν M.
2.—7. Scholion Triclinii.
14. ἀντὶ τοῦ om. I.
15. καὶ om. B.I.
16. ἐργάσασθαι] ἐργάσεσθαι C.
ib. αἷμα, φόνον] φόνον αἷμα A.
αἷμα φόνου C.
ib. πατροκτόνου] πατροφόνου C.I.
17. Ἄλλως om. M.
ib. Ἄλλως—τουτέστι] μέλεον ἀπόφονον: τουτέστι A.
20. καὶ τῷ A. καὶ om. ceteri.
ib. δὲ] γὰρ A.

194. δίκᾳ μέν: ὠφείλετο μὲν γὰρ αὐτὴ ἀναιρεθῆναι, οὐ μέντοι παρὰ τοῦ παιδός. B.M.I. δίκᾳ μὲν, καλῶς δ' οὔ: ἀντὶ τοῦ δίκαιον μὲν αὐτὴν ἀναιρεθῆναι, ἀνελοῦσαν τὸν ἄνδρα, οὐ μέντοι εὐκλεὲς οὐδὲ πρεπῶδες ἦν ὑπὸ τοῦ παιδὸς εὐθύνας δοῦναι αὐτὴν τοῦ φόνου. B.M.I. ἐν τούτῳ ὑπομιμνήσκεται καὶ τῆς Ἠλέκτρας. M.

Δίκα ἐνταῦθα γράφε, μὴ δίκαια. οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς. I. δίκαια: τὰ κατὰ τὸν φόνον. Gr. δικαίως δοὺς τὸν φόνον, τὸ αἷμα. Gu. καλῶς: εὐπρεπῶς. δ' οὔ: διότι ὑπὸ τοῦ υἱοῦ. Gr. οὐδὲ γὰρ ὑπὸ παιδὸς ἔδει θανεῖν αὐτήν. Gu.

ἔκανες, ἔθανες: ἐφόνευσας· ὅθεν τὸ κανοῦν λέγεται, εἰς ὃ φέρεται ἡ ἱερουργικὴ μάχαιρα. Ἄλλως. φονεύσασα ἀνῃρέθης, τουτέστιν ὁ κατὰ σοῦ πραχθεὶς φόνος ἄμυνα ἐγένετο, καὶ οὐκ ἀδικία· σὺ γὰρ πρώτη ἐφόνευσας τὸν πατέρα, καὶ ἀνῃρέθης. A.B.M.I. ἔκανες: ἐφόνευσας. Gr. τὸν πατέρα. Gu. ἔθανες: ἀντὶ τοῦ ἐθανάτωσας. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὑπὸ τῶν τέκνων ἐθανατώθης. Gu.

196. ἀπὸ δ' ὤλεσας: ὁ δὲ ἀντὶ τοῦ γάρ, ἵν' ᾖ ὁ νοῦς ἐπεξήγησις, ἔθανες· ἀπώλεσας γὰρ τὸν πατέρα ζῶσα, καὶ θανοῦσα τὰ τέκνα διὰ τοῦ αἵματος. A.B.M.I. ἀφ' αἵματος: ἀπὸ αἰτίας τοῦ φόνου τοῦ σοῦ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

199. τέκνα τε τάδε: δεικτικῶς φησιν ἑαυτὴν καὶ Ὀρέστην. I. ἔθανες—αἵματος: εἰποῦσα ἡ Ἠλέκτρα πρὸς τὴν μητέρα τὸ ἐφόνευσας τὸν οἰκεῖον ἄνδρα, ἐφονεύθης ὑπὸ τῶν τέκνων, πάλιν φησὶν, ὅμοιον μὲν τῇ προτέρᾳ ἐννοίᾳ, ἔχει δέ τι καὶ πλέον· τὸ γὰρ ἀπώλεσας

1. αὐτὴ] αὐτὴν M.

2. παρὰ] ἀπὸ M. Debebat ὑπό.

ib. ἀντὶ τοῦ una cum lemmate om. I. In A. sine lemmate ὠφείλετο μὲν καὶ αὐτῇ ἀναιρεθῆναι, οὐ μέντοι ἀπὸ τοῦ παιδός:— (Proxima etiam in C.) δίκαια μέν: δίκαιον μὲν (δίκαιον μὲν om. C.) οὖν ἀναιρεθῆναι αὐτὴν ἀνελοῦσαν τὸν ἄνδρα, οὐ μέντοι εὐκλεὲς οὐδὲ πρέπον ἦν ὑπὸ (ἄνδρα, ἀλλ' οὐκ ἔδει ὑπὸ C.) τοῦ παιδὸς αὐτὴν (αὐτὴν om. C.) εὐθύνας δοῦναι τοῦ φόνου:—

3. οὐ μέντοι—ἦν] οὐ μέντοι πρέπον ἦν I.

4. αὐτὴν om. I.

6. Δίκα—] Annotatio Triclinii.

12. πραχθεὶς] προσταγεὶς M.

13. ἀνῃρέθης] αὐτόν addit M. In A. totum scholion sic confirmatum, ἔκανες ἔθανες: ἐφόνευσας καὶ ἀνῃρέθης τουτέστιν—τὸν πατέρα. ἔκανες: ὅθεν τὸ—μάχαιρα:—

17. ἵν' ᾖ ὁ νοῦς ἐπεξήγησις (ἐξήγησις A.) om. I.

24. δέ τι] τι e Gu. addidi, ut paulo post σέθεν καὶ ante σοῦ, et τῆς ante μητροκτονίας. Idem codex in fine habet καὶ μηκέτ' εἶναι καθεκτόν. MATTH.

πατέρα καὶ πρόσθεν εἰρήκει, τὸ δὲ καὶ τὰ τέκνα ταδ' ἀπώλεσας νῦν φησι. πῶς δὲ ἀπώλεσας καὶ τὰ τέκνα; ἀπὸ τοῦ αἵματος καὶ τοῦ φόνου σέθεν καὶ σοῦ· ὁ γὰρ σὸς παῖς Ὀρέστης ἀποκτείνας σε δίκην ἔδωκε τῆς μητροκτονίας μανεὶς, ἧς καὶ αὐτὴ μετέχειν φησὶν, ἐν στοναχαῖς καὶ γόοις διάγουσα· ἀνθ' ὧν ὁρᾷ τὸν ἀδελφὸν μεμηνότα καὶ μηκέτ' ὄντα καθ' ἑαυτόν. Gu. I.

200. ἰσονέκυες: ἐπειδὴ εἶπεν ἰσονέκυες, κατασκευάζει πῶς εἰσιν ἰσονέκυες, λέγουσα πρὸς τὸν Ὀρέστην, σὺ γὰρ, Ὀρέστα, ἐν νεκροῖς τό τε πλεῖον μέρος τῆς ἐμῆς ζωῆς οἴχεται ἐν δάκρυσι συνεχέσι καὶ στεναγμοῖς. τὸ δὲ ἄγαμος, ἐπὶ δ' ἄτεκνος, οὕτως συντακτέον· τὸ ἐπί εἰς τὸ ἕλκω καταβιβαστέον, ἵν' ᾖ οὕτως, ἐπιέλκω δὲ, ἤτοι ἐφέλκω, εἰς τὸν αἰὲν χρόνον ἡ μέλεος τὸν βίοτον καὶ τὴν ζωήν μου ἄτεκνος, ἄγαμος, ἅτε, ἀντὶ τοῦ καθά, ἄγαμος. A. ἰσονέκυες: ἀντὶ τοῦ διὰ τὸν σὸν φόνον καὶ ἡμεῖς ἀπολώλαμεν. A.B.I. ἴσοι νεκροῖς ἐσμὲν, ἀντὶ τοῦ ὅμοιοι νεκροῖς, τουτέστι νεκροῖς ἐοίκαμεν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

201. οἴχεται: ἐφθάρη, ἔφθαρται. Gu.

202. βίου τὸ πλέον μέρος: ἀντὶ τοῦ καὶ τὸ πλέον μέρος τοῦ ἐμοῦ βίου, ἤγουν τῆς ἐμῆς ζωῆς, ἔφθαρται. Gr.

203. στοναχαῖσι: λάμβανε τὸ ἐν στοναχαῖσί τε καὶ γόοις ἢ πρὸς τὸ οἴχεται, ἢ πρὸς τὸ ἕλκω. Gu.

205. ἄγαμος: ἀντὶ τοῦ ἄτεκνος, ἐπὶ τούτῳ δὲ ἄγαμος. Gr. δέον ἀγάμως καὶ ἀτέκνως εἰπεῖν, ὁ δὲ πρὸς τὸ ἥτις εὐθεῖαν ἐξήνεγκεν. Gu.

ἄτεκνος: περισσὸν τὸ ἄτεκνος· ἡ γὰρ ἄγαμος καὶ ἄτεκνος. ἢ ἀναστρεπτέον τὴν σύνταξιν, ἄτεκνος, ἐπειδὴ ἄγαμος· ἐνεδέχετο γὰρ τὴν γήμασαν εἶναι ἄτεκνον. διὸ προσέθηκεν ἄγαμος. A.B.C.M.I. ἐπειδὴ ἐγὼ ἡ ἀθλία ἄγω χρόνον εἰς τὴν διηνεκῆ μου ζωὴν ἀτεκνίας. C.

7. ἰσονέκυες] ἶσον νέκυες A. hic et infra.
13. ἰσονέκυες] δὲ addit B. ἄλλως praefixum in A. sine lemmate.
14. καὶ om. B.I.
25. περισσὸν post ἄτεκνος B.I.
ib. ἡ (εἰ C.) γὰρ—ἄτεκνος om. M.
ib. ἢ ἀναστρεπτέον (ἀνατρεπτέον C.)] ἀναστρεπτέον οὖν B.I.
26. ἐνεδέχετο A. δυνατὸν B.C.I. δύναται M.
27. γήμασαν] μὴ γήμασαν B. γαμεῖσαν C. γαμήσασαν A.
ib. εἶναι om. I.
ib. διὸ—ἄγαμος addidi ex A.C.

ἅτε: ἀντὶ τοῦ καθὰ ὀφείλει νοεῖσθαι, ἵν' ᾖ βραχὺ τὸ α. οὕτω γὰρ ἔχει πρὸς τὸ τῆς στροφῆς κῶλον ὀρθῶς· τὸ γὰρ ἀντὶ τοῦ ἥτις οὐκ ἔχει καλῶς. I.

ἅτε βίοτον: ἥτις ἡ μελέα εἰς τὸν ἀεὶ χρόνον ἕλκω τὸν βίοτον, ἤγουν τὴν ζωὴν, τουτέστιν ἀκούσιον ζωὴν ἔχω· διὰ γὰρ τοῦ ἕλκω τὸ ἀκούσιον παριστᾷ, ὥσπερ φαμὲν ὅτι ἕλκουσιν οἱ βόες τὴν ἅμαξαν καὶ τὸ ἄροτρον· οὐ γὰρ ἑκουσίᾳ γνώμῃ ταῦτα σύρουσιν, ἀλλ' ὑπ' ἀνάγκης. τοῦτό φησιν ἡ Ἠλέκτρα τὸν θάνατον αἱρετώτερον ἡγουμένη τῆς ζωῆς. Gr. I.

208. ὅρα παροῦσα: ὦ παρθένε Ἠλέκτρα, παραγενομένη πλησίον σκόπει, ἵνα μὴ ἀποθανὼν ὅδε ὁ ἀδελφὸς λανθάνει σέ· οὐ γὰρ ἀρέσκει ἐμοὶ τῷ λίαν παρειμένῳ, ἤτοι κατὰ τὸ λίαν παρειμένον καὶ ἐκλελυμένον, τῷ ἀκινήτῳ, τῷ πάνυ ἐκλελυμένῳ τῶν σῶν μανιῶν. νῦν οὐ τραγῳδεῖ, ἀλλ' ἐν τῇ μανίᾳ. I.

210. οὐ γάρ μ' ἀρέσκει: Ἀττικὸν τὸ σχῆμα· Ἀριστοφάνης "σὲ δὲ ταῦτ' ἀρέσκει;" A. ὅτι οὐχί μοι ἀρέσκει ἀγνώστως παρακαθέζεσθαι ἐπὶ τῷ λίαν παρειμένῳ καὶ διαλελυμένῳ Ὀρέστῃ καὶ μὴ εἰδέναι εἴτε ζῇ εἴτε οὔ. C. παρειμένῳ: τῷ πάνυ ἐκλελυμένῳ τῷ σώματι. M.

211. ὦ φίλον ὕπνου θέλγητρον: ὦ προσφιλὴς τοῦ ὕπνου θελκτικὴ δύναμις, βοηθὸν κατὰ τῆς νόσου, λίαν προσῆλθες ἐμοὶ ἡδὺ καὶ εὐφραντικὸν, ἐν προσήκοντι καιρῷ. ὦ λήθη τῶν κακῶν σεβασμία, λίαν ὑπάρχεις σοφὴ καὶ τοῖς δυστυχοῦσι θεὸς, ἀξία εὐχῆς. ἀπὸ ποίου τόπου, πότε, ἦλθον ὧδε; πῶς δὲ καὶ κατὰ τίνα τρόπον ἀφικόμην; ἐπιλανθάνομαι γὰρ στερηθεὶς τῶν πρὶν φρενῶν, τῶν ἐν τῇ μανίᾳ δηλονότι. I.

ὕπνου θέλγητρον: τὸ βαθύτατον τοῦ ὕπνου, τὸ μάλιστα θέλγειν δυνάμενον τοὺς ἀσθενοῦντας· ὁ γὰρ ἐλαφρὸς ὕπνος φαντασίαις ἀναμέμικται. A.B.C.M.I. Ἄλλως. τὸ θέλγον, ἥδυνον, τὸ προσφιλέστατον καὶ βαθύτατον καὶ κάλλιστον τοῦ ὕπνου. A. ἐπίκουρον:

1. ἅτε—] Annotatio Triclinii.
4. ἥτις] ἅτε I.
6. ὅτι om. I.
13. τῷ πάνυ—μανίᾳ] Haec etiam in B.
15. Ἀριστοφάνης] Ran. 103.
17. παρειμένῳ] παρακειμένῳ C.
29. τὸ θέλγον] τ... τὸ θέλγον A.
24. πότε edidit King. quod confirmatur scholio Flor. ad v. 213. MATTH.
27. μάλιστα] μάλλιστα C.
28. ὕπνος add. A.C.

φυσικῶς δὲ τὸν ὕπνον οἶδεν ἐπίκουρον τῶν κακῶν. B.I. τοῖς γὰρ νοσοῦσιν οὐδὲν ἄλλο πλὴν ὕπνος ἐστὶ τῆς νόσου φάρμακον. Gu. I. ὦ προσφιλὴς τοῦ ὕπνου θελκτικὴ δύναμις, βοηθὸν κατὰ τῆς νόσου. Gr. I.

213. ὦ πότνια λήθη: οἱ γὰρ δυστυχοῦντες εὔχονται τῶν κακῶν οἷς σύνεισιν ἀπηλλάχθαι καὶ εἰς λήθην ἐλθεῖν. διὰ τοῦτο καὶ ὁ Ὀρέστης ἐν τῷ καθεστηκότι γενόμενος καὶ τῆς μανίας ἐπ᾽ ὀλίγον ἀπαλλαγεὶς τὴν τῶν κακῶν λήθην πότνιαν καλεῖ καὶ εὐκταίαν τοῖς δυστυχοῦσι θεόν. Gu. I.

πότνιαν εἶπε τὴν λήθην τῶν κακῶν, ἐπεὶ πάντας τιμῶμεν τοὺς παραμυθουμένους. A.B.C.M.I. Ἄλλως. ἔοικε τὴν Λητὼ καλεῖν οὗτος· ὑπνοῦντες γὰρ νυκτὸς πάντων ἐπιλανθανόμεθα. τὸ δὲ πότνια λέγει, ὅτι οἱ σεβόμενοι προσπίπτουσι τοῖς θεοῖς. ποτνιᾶσθαι δέ ἐστι τὸ προσπίπτειν καὶ παρακαλεῖν μετὰ δακρύων. I.

τὸ δὲ ὡς εἰ σοφή ἀντὶ τοῦ λίαν σοφῶς ἐπενοήθης ὑπὸ τῆς φύσεως. τὸ δὲ τῶν κακῶν οἰκείως προσέθηκεν, ἐπειδὴ καλόν τι χρῆμα τῶν κακῶν ἡ λήθη. A.B.C.M.I.

ὦ πότνια λήθη: λήθη, ἤγουν τῶν κακῶν, ὁ ὕπνος ὑπάρχει· ὅσας γὰρ ἂν λύπας ἔχῃ ἄνθρωπος, ὑπνώσας λανθάνεται αὐτῶν. οὕτω καὶ ὁ Ὀρέστης ὑπνώσας ἐπελάθετο τῶν κακῶν ὧν εἶχεν, ἤγουν τῆς μανίας καὶ τοῦ φόνου τῆς μητρός. ὡς ἔοικε δὲ, κατεκλίθη ἐν οἴῳ τρόπῳ ἔφθασε δαιμονιζόμενος, εἶτα ἐλθὼν ἐν φρονήσει καὶ ἐξυπνίσας λέγει· ἀπὸ ποίου τόπου καὶ πότε ἦλθον ἐνταῦθα· ἀμνημονῶ γὰρ ἀπολειφθεὶς τῶν πρὶν φρενῶν, ἤγουν στερηθεὶς τῶν μανιωδῶν καὶ ἐφθαρμένων φρενῶν, καὶ εἰς νοῦν ἐλθὼν ἀρτίως τῶν ὑγιῶν φρενῶν ἐγνώρισα ποῦ εἰμί. ἢ ἄλλως· ἀπολειφθεὶς τῶν πρότερον σώων φρενῶν καὶ μαινόμενος γεγονὼς ἀμνημονῶ ποῦ ἦλθον καὶ ποῦ εἰμί. Fl. 59. κακῶν: τῶν ἀλγεινῶν, τῶν δυστυχιῶν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1. φυσικῶς—κακῶν] In A. est ἐπίκουρον νόσου ...... | ...... εἶπεν. παραμύθιον γὰρ τῶν κακῶν οἶδε τὸν ὕπνον :—

3. βοηθὸν κατὰ τῆς] βοηθὲ τῆς I.

5. γὰρ om. I.

6. καὶ ὁ et l. 9. θεὸν om. I.

10. πότνιαν] πότνιαν δὲ B.

ib. εἶπε τὴν λ. τῶν κ.] εἶπεν αὐτὴν M. αὐτὴν εἶπεν C.

11. Λητὼ καλεῖν οὗτος] Debebat Arsenius scribere λήθην τῶν κακῶν καλεῖν οὕτως.

15. σοφῶς] σοφὴ A.

ib. ἐπενοήθης] ὑπενοήθης M.

ib. φύσεως] ἡ λήθη addit C.

16. ἐπειδὴ—κακῶν A.C. ἐπεὶ καλὴ τῶν κακῶν ἐστιν B.M.I.

17. ἡ λήθη] ἢ ἐπειδὴ καλὴ τῶν κακῶν ἡ λήθη addit A.

215. πόθεν: ἀπὸ ποίου τόπου. Gr. ποτ᾽: ἆρα ἤ. Gu. περισσόν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἦλθον: ἐμπερίβολος. Fl. 33.

216. ἀμνημονῶ: ἐπιλανθάνομαι τί πέπρακταί μοι ἐν τῇ νόσῳ τῆς μανίας. Gu. τῶν πρὶν ἀπολειφθεὶς φρενῶν: τῶν πρὶν φρενῶν ἀπολειφθεὶς ἐν τῇ μανίᾳ, οὐχὶ νῦν ἀπολειφθεὶς τῶν φρενῶν ἀμνημονῶ, ἀλλ᾽ ἐν τῇ νόσῳ· τὸ γὰρ ὄργανον, δι᾽ οὗ ἀναφέρομεν τὰ πραττόμενα, συννοσεῖ τῷ σώματι. ἀμνημονῶ τί πέπρακταί μοι ἐν τῇ νόσῳ, τῶν προτέρων φρενῶν ἀπολειφθεὶς καὶ μανείς. A.B.C.M.I. Ἄλλως. πέπονθα ἀπολειφθεὶς τῶν πρὸ τῆς μανίας φρενῶν. Ἄλλως. τῶν πρίν: ἕως τούτου ὀφείλει στίζειν, εἶτα, ἀπολειφθεὶς φρενῶν. δεῖ δὲ νοεῖν οὐχὶ νῦν ἀπολειφθεὶς τῶν φρενῶν, ἀλλὰ τότε· νῦν γὰρ φρονίμως διαλέγεται. A. στερηθείς. Gr. πόρρω γενόμενος ὑπὸ τῆς μανίας. Gu.

217. ὦ φίλταθ᾽, ὥς μ᾽ ηὔφρανας: ὦ φίλτατε, λίαν εὔφρανας ἐμὲ κοιμηθείς. βούλει ἵνα θίγω καὶ ἅψωμαί σου καὶ ἵνα ἀναβαστάσω σου τὸ σῶμα; I.

218. βούλει θίγω σου: φιλαδέλφου κόρης τὸ ἦθος καὶ λόγους ἐμιμήσατο. B.M. διότι μὲν ἤρξατο θίγειν, θίγω ἐνεστῶτα καὶ οὐ θίξω εἶπε· διότι δὲ ἔμελλε κουφιεῖν, κουφίσω ἐπὶ μέλλοντος καὶ οὐ κουφίζω εἶπε. διὰ τοῦτο καὶ τὸ βούλει ποσῶς μὲν πρὸς τὸ θίγω νοεῖται, τὸ δὲ ὅλον πρὸς τὸ ἀνακουφίσω. ἢ καὶ τὸ θίγω ὑποτακτικὸν νόει. Gu. I. ὅμοιόν ἐστι τῷ "τί σοι θέλεις δῆτ᾽ εἰκάθω," ὅ φησι Σοφοκλῆς. Gu.

219. λαβοῦ λαβοῦ: σφόδρα δεομένου ἡ φωνή, διὸ καὶ τῇ ἐπαναλήψει κέχρηται. A.B.C.M. ἔκ τ᾽ ὄμορξον: καὶ αὐχμώδη κόμην ἄφελε προσώπου. A.C. ἤτοι ἅψαι, ἀποσπόγγισον δὲ ἐκ τοῦ ἀθλίου σώματος καὶ ἐκ τῶν ἐμῶν ὀμμάτων τὸν πεπηγότα ῥύπον. I.

220. ἀφρώδη πέλανον: τὸν πεπηγότα ῥύπον ὑπὸ τοῦ ἀφροῦ. A.

4. τῶν πρὶν φρενῶν om. I., et cum proximo ἀπολειφθεὶς om. C.

5. ἐν τῇ—ἀπολειφθεὶς om. M.

ib. νῦν ἀπολειφθεὶς τῶν φρενῶν] νῦν (νοῦν B.) ἀπολειφθεὶς τῶν (τῶν om. C.) φρενῶν νῦν A.B.C.

6. ἀλλ᾽ ἐν] ἢ ἀμνημονῶ ἃ πέπρακταί μοι ἐν A.

ib. τὸ γὰρ—καὶ μανείς om. C.

ib. οὗ] ὧν I.

7. ἀμνημονῶ—ἐν τῇ νόσῳ om. A.

8. προτέρων φρενῶν] φρενῶν πρότερον A.M.

17. καὶ οὐ θίξω εἶπε] εἶπε καὶ οὐ θίξω I.

18. καὶ οὐ κουφίζω om. I.

22. Σοφοκλῆς] Oed. T. 651.

23. σφόδρα] τοῦ σφόδρα A.C.

27. ἀφρώδη πέλανον] πέλανον δὲ B. ἀφρώδη δὲ πέλανον C.

ib. ὑπὸ] ἀπὸ C. ὑπὸ τοῦ ἀφροῦ om. A. Conf. p. 85, 12.

B.C.M. κυρίως πέλανος τὸ λεπτὸν πέμμα ᾧ χρῶνται πρὸς τὰς θυσίας, παρὰ τὸ πεπλατύνθαι. οἱ δέ φασι καὶ πᾶν ἐξ ὑγροῦ πεπηγός. ἔνιοι δὲ παρὰ τὴν παιπάλην. ἐκ γὰρ ταύτης ὡς ἐπὶ τὸ πλεῖστον γίνεται. ἢ παρὰ τὸ παλῦναι, ὅ ἐστι λευκᾶναι. Ὅμηρος "ἐπάλυνεν ἀρούρας." λευκὸν γὰρ τὸ πέμμα. οἱ δὲ ἀπὸ τοῦ πελάζειν καὶ ἱκετεύειν τοὺς θεοὺς δι' αὐτῶν. A.B.M. καλῶς μὲν εἶπεν ἀφρώδη πέλανον ἐπὶ τοῦ στόματος, ἐπὶ δὲ τῶν ὀμμάτων οὐ δεῖ προσλαμβάνειν τὸ ἀφρώδη πέλανον, ἀλλ'...... μόνον πέλανον. ἐπὶ γὰρ τῶν ὀμμάτων ῥύπος γίνεται, ἀφρῶδες δ' οὔ. A.

πέλανον: κυρίως πέλανος τὸ λεπτὸν πέμμα, ᾧ χρῶνται πρὸς τὰς θυσίας. ἔνιοι δέ φασι καὶ πᾶν ἐξ ὑγροῦ πεπηγμένον παρὰ τὸ παλῦναι, ὅ ἐστι λευκᾶναι. πέλανον ἐνταῦθα τὸν πεπηγότα ῥύπον ὑπὸ τοῦ ἀφροῦ. Gr. I. πέλανος σημαίνει δύο, τὸν σίελον, ὡς ἐνταῦθα, καὶ εἶδος θύματος, ἤτοι τὸν πλακοῦντα, ὡς Αἰσχύλος ἐν τρίτῳ φησίν. Gu. πέλανος προσηγορικὸν ὄνομα, ὁ ἀφρός· κατὰ παντὸς γὰρ ἀφροῦ λέγεται ἡ λέξις ἀπὸ τοῦ πελάζειν ἄνω, ὡς κουφοτέρως· τὰ γὰρ κοῦφα τὰ ἄνω ζητοῦσιν, ὡς τὸ ἀσκός. ἀποσπόγγισον τὸν ἀφρώδη πέλανον· οἱ γὰρ δαιμονιζόμενοι καὶ ἐκ τῶν στομάτων αὐτῶν ἀφροὺς πέμπουσι, καὶ ἐκ τῶν ὀμμάτων δάκρυα, καὶ ἐκ τῶν ὀφθαλμῶν λήμας· πλεονάζει γὰρ τὸ ὑγρὸν, καὶ μὴ ἔχον ἔξοδον ἐξέρχεται ἀπὸ τοῦ στόματος καὶ ἀπὸ τῶν ὀφθαλμῶν· ἀπὸ γὰρ τῆς πλημμελείας τοῦ στομάχου πλεονάσαν τὸ ὑγρὸν, γίνονται αἱ ἀναθυμιάσεις, καὶ μὴ ἔχον ἔξοδον τὸ πνεῦμα ἀνέρχεται τὰ ἄνω μέρη ζητοῦν ἔξοδον, καὶ μὴ εὑρίσκον ἀθροιζόμενον ἐκεῖσε σκοτίζει τὸν ἐγκέφαλον, καὶ τὰ μέλη σπαράσσει ζητοῦν ἔξοδον, καὶ οὕτω σκοτισθέντος τοῦ ἐγκεφάλου γίνεται παράφρων ὁ ἄνθρωπος, ἕως οὗ ἐκφορηθῇ τὸ πνεῦμα· οὕτω γὰρ εἰσέρχεται τὸ πνεῦμα καὶ ἐν τῇ γῇ καὶ σείει αὐτὴν, μὴ ἔχον τοῦ ἐξελθεῖν. Fl. 59.

1. κυρίως] ἄλλως praefixum in A.
ib. κ. πέλανος] πέλανον κ. B.
ib. ᾧ] ὃ A.M.
2. οἱ δέ φασιν] ὁ δὲ φησὶν B.M.
3. ἔνιοι δὲ] δὲ om. B. Verba ἔνιοι παρὰ τὴν—δι' αὐτῶν sunt etiam in I., omissis λευκὸν γὰρ τὸ πέμμα.
4. παλῦναι A. παλύναι M. πλατύναι B., et λευκάναι A.B.M.
ib. καὶ (καὶ om. B.M.) Ὅμηρος] Il. 10, 7.
ib. ὅ ἐστι λευκᾶναι om. I.
5. ἀπὸ] παρὰ A.
8. Post ἀλλ (i. e. ἀλλ' vel ἀλλὰ) aliquot literae evanidae in fine lineae. Fortasse ἀλλ' ἀκούειν.
14. ἐν τρίτῳ] Sic more Byzantino Persas vocat, ubi vide v. 204. 524.
22. ἀναθυμιάσεις] ἀναθυμήσεις Fl. 59.
27. τοῦ] Fort. ποῦ.

221. *ἰδού*: ποιῶ δηλονότι ὃ λέγεις. Gr. I. ὃ συμβουλεύεις ἐμοὶ, ἢ τὸ ὑπούργημα. Gu. ἰδού, ποιῶ δηλονότι ὃ λέγεις τὸ ὑπούργημα τὸ εὐφραντὸν, καὶ οὐκ ἀπαρνοῦμαι τὸ θεραπεύειν τὰ μέλη τὰ ἀδελφικὰ ἐν χειρὶ ἀδελφικῇ. I. *οὐκ ἀναίνομαι*: ἀπαρέσκομαι, ἀπαρνοῦμαι. Bar. συναινῶ τὸ συμφωνῶ καὶ ἐπινεύω, ᾧ ἐναντίον τὸ ἀναίνομαι· παραινῶ τὸ συμβουλεύω· ἐπαινῶ τὸ εὖ λέγω. Gr. I. ἀναίνομαι: ἀπαρνοῦμαι. Gr. ἀπὸ γὰρ φρονήσεως λέγεις. Gu.

222. *ἀδέλφ' ἀδελφῇ χειρὶ θεραπεύειν μέλη*: τὴν ἀπὸ τοῦ γένους ἀνάγκην προβάλλεται πρὸς τὸ μὴ δυσωπῆσαι τῇ θεραπείᾳ τὸν ἀδελφόν. A.B.M.

223. *ὑπόβαλε πλευροῖς πλευρά*: ἀστείως ταῦτα πεποίηται τοῖς λόγοις καὶ τοῖς ἤθεσι καὶ τῇ κατὰ τὴν σκηνὴν διαθέσει. A.B.C.M. ὑπόθου τοῖς ἐμοῖς πλευροῖς τὰ σὰ πλευρὰ, καὶ τὴν κόμην τὴν αὐχμώδη καὶ κατάξηρον ἔξελε τοῦ προσώπου· ἀμυδρὰ γὰρ βλέπω τοῖς ὀφθαλμοῖς. I. *αὐχμώδη*: ἐπομβρία, ὅταν ἐπάλληλοι ὄμβροι ὦσιν, ᾧ ἐναντίον ἡ ἀνομβρία. αὐχμὸς δὲ ἡ ἀπὸ τῆς ἀνομβρίας ξηρότης· ἀφ' οὗ αὐχμηρὸς καὶ αὐχμώδης ἁπλῶς ὁ ξηρότητος μετέχων. Gr. I.

224. *ἄφελε προσώπου*: τουτέστιν ἀποδιάστησον τὴν ἔμπροσθεν οὖσαν τῶν ὀφθαλμῶν μου κόμην· ἀσθενῆ γὰρ λεύσσω ταῖς κόραις διὰ τὸ ἐπικεῖσθαί μοι τὰς τρίχας. γράφεται καὶ, λεπτὰ γὰρ λεύσσω νόσῳ, ἵν' ᾖ, ἡ νόσος με ποιεῖ λεπτὸν λεύσσειν. A.B.C.M.I.

225. *ὦ βοστρύχων*: ὦ κάρα ἄθλιον πινῶδες τῶν βοστρύχων, ἀντιστρόφως ἀντὶ τοῦ, ὦ βόστρυχοι κάρας ἀθλίας πινώδους καὶ ῥυπαρᾶς, λίαν ἠγριωμένοι ἐστὲ (πρὸς τὸ βόστρυχοι) διὰ τῆς μακρᾶς ἀλουσίας. I. *πινῶδες ἄθλιον*: ἀντὶ τοῦ αὐχμηρὸν καὶ ῥυπῶδες. πίνος γὰρ ὁ ῥύπος· "πίνῳ δέ οἱ αὐαλέος χρὼς ἐσκλήκει." B.M.I.

1. ποιῶ] ἰδοὺ ποιῶ I.
6. ἐπαινῶ] καὶ ἐπαινῶ I.
12. σκηνὴν] σὴν C.
18. τουτέστιν] ἀντὶ τοῦ A.C.
ib. ἀποδιάστησον] διάστησον M.
19. κόμην A.C. κώμην M. κόνιν B.I.
ib. λεύσσω] λεύσω M. hic et infra.
ib. ταῖς κόραις] τὰς κόρας I.
20. καὶ λεπτὰ γὰρ om. M. Idem in margine γρ. νόσῳ. In A.C. omissis illis γράφεται—νόσῳ, legitur οἷον ἡ νόσος—λεπτὸν λεύσειν. Tum in A. ἄλλως. ἀστείως—διαθέσει (quae v. ad v. 223.) ἵν' ᾖ ἡ νόσος ποιεῖ με λεπτὸν λεύσειν.
26. πίνος] πῖνος B.I. In M. scholion ad πινῶδες sic scriptum, αὐχμηρὸν, ῥυπαρόν. πίνος ὁ ῥύπος. πίνῳ δέ οἱ αὐαλέος χρὼς ἐσκλήκει :—
ib. πίνῳ] Apoll. Rh. 2, 200.

κατὰ ἀναστροφὴν εἶπεν· οὐ γάρ ἐστι τῶν βοστρύχων τὸ κάρα, ἀλλὰ τοῦ κάρα οἱ βόστρυχοι. ἢ ὅτι οὐδὲν ἄλλο ἐπιλείπεται τῇ κεφαλῇ ἢ μόνον οἱ βόστρυχοι, ἵν' ᾖ, ὦ τῶν βοστρύχων ἄθλιον κάρα. παρακαθίσασα δὲ ἔξωθεν εἰς πλευρὰν καὶ ἁψαμένη τῶν τριχῶν ταῦτά φησι πρὸς τὸν Ὀρέστην. A.B.C.M.I.

227. κλινόν μ' ἐς εὐνήν: θὲς ἐμὲ πάλιν εἰς τὴν εὐνήν· ὅταν ἀφήσῃ ἐμὲ ἡ νόσος τῆς μανίας, ἄναλκις καὶ ἀσθενής εἰμι κατὰ τὸ δέμας. I. ὅταν μ' ἀνῇ νόσος: ἢ ἡ διὰ τῆς μανίας νόσος, ἢ ἐπιθετικῶς μανιὰς νόσος. B.M.I. ὅταν μ' ἀνῇ: περὶ γὰρ τὸν καιρὸν τῆς μανίας εὐτονοῦσιν οἱ μαινόμενοι, ἐκτεινομένων τῶν νεύρων καὶ πνεύματος πληρουμένων· χαλωμένης δὲ τῆς μανίας καὶ τοῦ πνεύματος ἐπιλείποντος παρίενται. ἐν δὲ ἀνέσει διαγενόμενος Ὀρέστης λέλυται. A.B.M.I. τὸ ἀνῇ ἀντὶ τοῦ ἀφήσει. καταλύσασα τοῦτον. A.

228. ἄναρθρος: ἀδύναμος, μὴ δυνάμενος κεχρῆσθαι τὰ μέλη τῶν ἄρθρων. B.M.I. κἀσθενῶ μέλη: ἤγουν οὐ δύναμαι χρῆσθαι ταῖς χερσὶ καὶ τοῖς ποσὶ πρὸς ὑπουργίαν, καταβαλούσης τῆς νόσου. I.

229. ἰδού, φίλον τοι: τὸ κατακεῖσθαι ἐπαχθὲς μέν ἐστι καὶ πονηρίας πλέων, ἀναγκαῖον δὲ τοῖς κάμνουσιν. C. ἰδού, κλίνω σε, προσφιλές ἐστι τῷ νοσοῦντι ἡ κοίτη, λυπηρὸν ὂν τὸ κεῖσθαι, ὅμως δὲ ἀναγκαῖον. I.

230. ἀνιαρόν: καίπερ. Gu. ἀλγεινόν. Gu. ἐφ' ὅσον γὰρ

1. κατὰ ἀναστροφὴν (ἀντιστροφὴν C.)] δὲ add. B.I.

ib. ἀλλὰ τοῦ κάρα (κάρατος C.) οἱ βόστρυχοι A.C. ἀλλ' οἱ βόστρυχοι τῆς κεφαλῆς B.I. τῆς κεφαλῆς om. M.

2. ὅτι] ὅταν C.

3. ὦ om. A.C.

ib. παρακαθίσασα] παρακαθήσασα C.

4. ἔξωθεν—τὸν Ὀρέστην A. ἔξωθεν εἰς πλευρὰν εἰς πλευρὰν (sic bis) ὀρέστου καὶ ἁψαμένη τῶν βοστρύχων ταῦτα τῷ ὀρέστῃ λέγει C. ἔξωθεν καὶ εἰς πλευρὰν δεξαμένη τὸν ὀρέστην ταῦτα λέγει (φησίν I.) B.M.I.

8. ἢ ἡ] ἵν' ᾖ M. qui haec infra habet post λέλυται.

9. γὰρ om. A.

ib. τὸν καιρὸν] τῶν καιρῶν I.

11. πνεύματος πλ.] πλ. ὑπὸ πνεύματος A.

12. δὲ A. ἐν ᾗ ἐν (ἐν delet Matth.) B.M.I.

ib. διαγενόμενος] γενόμενος A.

15. ἄναρθρος] δὲ add. B.

ib. τὰ μέλη τῶν ἄρθρων] τοῖς ἄρθροις B.I.

20. πλέων] πλέ C. literis duabus tineae morsu absumtis.

νοσῶν ἐν τῇ κλίνῃ κεῖται, φόβον ἑαυτῷ καὶ τοῖς ὁρῶσι παρέχει. Gu. τὸ κτῆμα: τὸ δέμνιον δηλονότι. Fl. 21.

231. αὖθις: πάλιν στῆσόν με εἰς ὀρθὸν καὶ στρέφε τὸ δέμας. I. ἀνακύκλει: ἀνακίνει, ἀνόρθου, ἐξέγειρε· συμβαίνει γὰρ τὸν κείμενον κυκλοτερῆ τὴν ἀνάστασιν ποιεῖσθαι. B.C.M.I.

232. δυσάρεστον οἱ νοσοῦντες: οἱ γὰρ νοσοῦντες οὐκ ἀρέσκονται τοῖς παροῦσιν, ἀεὶ δὲ πρὸς τὸ μέλλον ὁρῶσι. B.M.I. δυσάρεστον πρᾶγμα οἱ νοσοῦντες ὑπὸ τῆς ἀπορίας. I. δυσκόλως ἀρεσκόμενον. Fl. 33. ἀπορίας: καὶ ἀσθενείας. Fl. 59. ἣν αὐτοῖς ἡ νόσος ἐμβάλλει. Gu. Fl. 59.

233. ἢ κἀπὶ γαίας: ἄρα θέλεις θεῖναι τοὺς πόδας ἐπάνω τῆς γῆς, θεὶς ἴχνος χρόνιον, ἤτοι βραδεῖαν βάσιν; ἡ μεταβολὴ πάντων εὐφραντὸν πρᾶγμα, ὑπάρχει δηλονότι. I.

234. μεταβολὴ πάντων γλυκύ: προσυπακουστέον τὸ κακῶν. κεκωμῴδηται δὲ ὁ στίχος. τὸ γὰρ ἐξ ὑγιείας εἰς νόσον μεταβάλλειν οὐκ ἔστιν ἡδύ. φησὶ γοῦν ὁ κωμικός

ὁ πρῶτος εἰπὼν "μεταβολὴ πάντων γλυκύ"
οὐχ ὑγίαινε, δέσποτ'· ἐκ μὲν γὰρ κόπου
γλυκεῖ' ἀνάπαυσις, ἐξ ἀλουσίας δ' ὕδωρ,
(καὶ τὰ τοιαῦτα.) ἣν δ' ἐκ πλουσίου

4. ἀνακίνει] ἔγειρε C.

5. ἀνάστασιν (ἀνάπασιν, with στα written above, B.) ποιεῖσθαι] ἀνάπαυσιν ἔχειν I.

14. προσυπακουστέον] συνυπακουστέον I.

ib. τὸ] τῶν M.

15. δὲ om. M.

ib. ὑγιείας] ὑγιίας libri.

ib. μεταβάλλειν] μεταβαλεῖν C.I.

16. φησὶ—πάντων ἐστὶ μεταβολὴ γλυκύ] φήσει γάρ (μὲν γὰρ I.) τις ὡς ἐκ μὲν κόπου γλυκύτατον ἡ ἀνάπαυσις καὶ ἕτερα τοιαῦτα (καὶ ἕ. τ. om. I.), ἐκ δὲ πλουσίου πτωχὸν γενέσθαι μεταβολὴ μέν, ἡδὺ δ' οὔ, ὥστε οὐχὶ πάντων ἡ μεταβολὴ γλυκύ B.I.

ib. γοῦν M. γὰρ ceteri.

ib. ὁ κωμικός] Anaxandridem Valcken. Diatr. p. 229. et Porsonus, Antiphanem Meinekius dici conjecit Com. vol. 4. p. 684. (ed. min. vol. 2. p. 1244.) propter similia illorum dicta.

17. πρῶτος] πρῶτ' (i. e. πρῶτον) A.

ib. γλυκύ] ἡδύ A.

18. οὐχ ὑγίαινε, δέσποτ', ἐκ] οὐχ ὑγιαίνει δέσποτα εἰς (ut saepius εἰς pro ἐκ in hoc codice) M. οὐχ ὑγιαῖ δὲ ποσῶς ἐκ A. οὐχ ὑγιαίνει δέ ποτε ἐκ C. Correxit Porsonus.

19. γλυκεῖα ἀνάπαυσις A. γλυκίαι ἀνάπαυσις C. γλυκύτατ' ἀνάπασις M.

20. καὶ τὰ τοιαῦτα (καὶ ἕτερα τοιαῦτα in verbis ex B. supra appositis) scholiastae verba sunt, qui omissis aliquot poetae versibus ad extrema transit ἣν δ' ἐκ (εἰς M. hic quoque) πλουσίου etc. Sic καὶ τὰ τοιαῦτα in scholio v. 255. 260. 261.

ib. ἣν δ' ἐκ] ἣν δὲ εἰς M. ἂν δὲ ἐκ C.

πτωχὸς γένηται, μεταβολὴ μὲν, ἡδὺ δ' οὔ.
ὥστ' οὐχὶ πάντων ἐστὶ μεταβολὴ γλυκύ.—A.B.C.M.I.

μεταβολὴ πάντων γλυκύ: τὸ μεταβάλλεσθαι εἴτε ἀπὸ χείρονος πρὸς τὸ βέλτιον, εἴτε ἀπὸ βελτίονος πρὸς τὸ χεῖρον, ἡδύτατόν ἐστιν αὐτῷ τῷ μεταβαλλομένῳ· οὐδὲ γὰρ ἂν μετεβάλλετο, εἰ μὴ ἥδετο τῇ μεταβολῇ, ὥστε οἱ λέγοντες τὸν Εὐριπίδην οὐκ ὀρθῶς εἰρηκέναι τοῦτο οὐ καλῶς λέγουσιν. Gu. I. μεταβολή: λείπει τὸ κακῶν, ὅταν μεταβληθῇ τι ἀπὸ τῶν κακῶν εἰς τὸ καλὸν γλυκύ. B. ἡ μεταβολὴ τῶν ἴσων. Gu. Fl. 6. 9. 17. 21. 55. 59. 76. πάντων: πραγμάτων. Fl. 59.

235. μάλιστα: ἤτοι ναί· ἔχει γὰρ τόδε, τὸ ἀνορθωθῆναι δηλονότι, ὑπόληψιν, ἤτοι ἐλπίδα, ὑγείας. καλὸν δὲ τὸ δοκεῖν, κἂν μακρὰν ᾖ τῆς ἀληθείας. I.

δόξαν γὰρ τόδ' ὑγιείας ἔχει: τὸ ἀναστῆναι. ὁπόταν γὰρ εὐθυμῇ ψυχὴ τῇ τῆς ἐλπίδος ὑπολήψει, συνδιασώζεται τὸ σῶμα. καὶ Σιμωνίδης "τὸ δοκεῖν καὶ τὰν ἀλάθειαν βιᾶται." A.B.M.I.

236. κρεῖσσον δέ: ἀντὶ τοῦ ἰσχυρὸν μέν. M. τὸ δοκεῖν: καλὸν δὲ τὸ διεγείρεσθαι τὴν ψυχὴν τῇ δόξῃ τῆς ὑγείας ἢ τοιούτου τινὸς, καὶ μὴ καταπίπτειν ἐν ταῖς νόσοις ἢ ἑτέροις τοιούτοις, κἂν μακρὰν ᾖ τῆς ἀληθείας ἡ δόξα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

237. ὦ κασίγνητον κάρα: περιφραστικῶς ἀντὶ τοῦ ὦ ἀδελφέ. B. ὦ ἀδελφὲ, κατὰ περίφρασιν. Gr. αὐτάδελφον. Gu. ὦ ἀδελφὲ, ἐν ὅσῳ ἀφιᾶσί σε αἱ Ἐρινύες φρονεῖν καλῶς. I. διὰ τοῦτο εἶπεν ὅτι οἱ ἐν περιστάσει ὄντες ἀεὶ τὸ ἐπάγγελμα τοῦ μέλλοντος λέγεσθαι δεδοίκασιν. A.C.M. ἡ παρά καὶ τὸ ἐμοῦ προσληπτέον. M.

239. λέξεις τι καινόν: πάντως καινότερόν τι ἐπαγγέλλεις. M.

1. πτωχὸς γένηται C. πτωχὸν γενέσθαι ceteri.

2. ὥστ' οὐχὶ πάντων ἐστὶ] οὕτως οὐχὶ πάντων ἐστὶ M. ὥστε οὐχὶ πάντων ἡ A.C. Pro γλυκὺ in C. γλυκεῖα.

3. τὸ] ἄλλως. τὸ I., omisso lemmate.

4. βελτίονος] τοῦ βελτίονος I.

7. οὐ καλῶς λέγουσιν] οὐκ ὀρθῶς οἴονται I.

14. εὐθυμῇ] ἐνθυμηθῇ M.

15. ὑπολήψει] ὑπολείψει M.

16. Σιμωνίδης] φησὶ addit A.

ib. τὰν ἀλάθειαν] τὴν ἀλήθειαν A. M. (ut in scholio v. 782. τὴν ἀλήθειαν βιάζεται scriptum est) τὰ μάλα θεῖα B.I. Inter τὰν ἀλάθειαν et τὴν ἀλήθειαν variant libri Platon. Rep. 2. p. 365 c.

17. μέν] Fort. ἐστιν.

19. καταπίπτειν] μεταπίπτων Florr.

23. διὰ τοῦτο εἶπεν ὅτι om. A.M.

λέξεις τι νέον; καὶ εἰ μὲν ἐπὶ καλῷ ἡμῶν, εὐχαριστίαν ἕξεις· εἰ δὲ εἰς βλάβην τινὰ, ἀφορῶν δηλονότι, ἀρκούντως ἔχω ἕνεκα τοῦ δυστυχεῖν. Florr. I.

241. Μενέλαος ἥκει: ὁ Μενέλαος παραγέγονεν, ὁ ἀδελφὸς τοῦ σοῦ πατρός· ἐν Ναυπλίῳ δὲ, λιμένι δηλονότι, καθωρμίσθησαν τὰ σέλματα, ἤγουν αἱ καθέδραι, περιφραστικῶς ἀντὶ τοῦ αἱ νῆες. I.

σοῦ κασίγνητος πατρός: διὰ τοῦ "σοῦ κασίγνητος πατρός" ψυχαγωγεῖ τὸν ἀδελφὸν, ὑπομιμνήσκουσα τοῦ πατρὸς, καὶ ἐλπίδας ἀγαθὰς ὑποτίθεται διὰ τοῦ θείου. περιπαθέστερον δὲ ποιεῖ τὸ δρᾶμα καὶ πόρρωθεν διαβάλλουσα τὸν Μενέλαον, καθὸ ἐλπισθεὶς βοηθήσειν οὐκ ἐβοήθησεν. A.B.C.M.I.

ὥρμισται: ἢ ἀντὶ τοῦ ἐλλιμένισται, ἢ ἀντὶ τοῦ ἐλιμένισαν· ὅπερ εἰ εἴποις, αἰτιατικὴν νοήσεις τὰ σέλματα. Gu. I. ἀπὸ μέρους τὸ πᾶν· μέρος γὰρ τῶν νηῶν τὰ σέλματα. Gu.

243. πῶς εἶπας; ἥκει φῶς; ἤτοι σωτηρία, ἐπὶ ταῖς ἐμαῖς καὶ σαῖς δυστυχίαις, ἀνὴρ συγγενὴς, καὶ χάριτας ἔχων, ἃς ὁ πατὴρ ἐχαρίσατο αὐτῷ; Gr. I. Florr. ἤγουν ἔργα εὐχαριστίας ἄξια. Gr. Florr.

245. ἥκει: δέχου τὴν πίστωσιν τήνδε τῶν ἐμῶν λόγων, ἐπαγόμενος Ἑλένην ἐκ τῶν Τρωϊκῶν τειχέων. I. τὸ πιστόν τόδε λόγων: τὸ ἑξῆς οὕτως, τοῦτο πιστὸν δέχου τῶν ἐμῶν λόγων. οἱ δὲ οὕτω, τὸ πιστὸν τῶν ἐμῶν λόγων δέχου τοῦτο, ἀντὶ τοῦ πίστευε τοῖς ἐμοῖς λόγοις, πίστιν δέχου ταύτην βεβαίαν καὶ ἀσφαλῆ μαρτυρίαν, τῷ

1. ἐπὶ καλῷ ἡμῶν] εὖ καὶ καλῶς I. Gl. ἐπὶ καλῷ ἡμῶν, εὐχαριστίαν ἕξεις, et ἀφορῶν, ἀρκούντως διάκειμαι ἕνεκα τοῦ δυστυχεῖν in Gr.

4. Gl. ἄρτι παραγέγονεν et αἱ καθέδραι, ἀντὶ τοῦ αἱ νῆες ὡρμίσθησαν est in Gr.

7. διὰ τοῦ (τὸ C.) σοῦ κ. π.] διὰ τούτου B.I.

8. ψυχαγωγεῖ] ψυχαγωγεῖται A.

ib. τοῦ πατρὸς] τῷ πατρὶ M. τοῦ πατρικοῦ ἀδελφοῦ I.

9. περιπαθέστερον A.C. προσπαθέστερον B.M.I.

ib. ποιεῖ τὸ δρᾶμα] ποιεῖται τὸ (τὸ om. C.) δρᾶμα A.

10. καὶ πόρρωθεν διαβάλλουσα] καὶ τὸ πόρρωθεν διαβάλλεσθαι B.I.

ib. καθὸ] ἢ A.

ib. βοηθήσειν A. βοηθῆσαι ceteri.

11. ἐβοήθησεν] ἐβοήθεισαν (sic) C.

12. ἢ ἀντὶ τοῦ ἐλλιμένισται] ἢ ἀντὶ τοῦ om. Gu.

19. τήνδε addidi ex gl. Gr.

21. τὸ ἑξῆς—δέχου τοῦτο addidi ex A.C. Verba οἱ δὲ—λόγων om. A.

22. τοῖς ἐμοῖς λόγοις] τοὺς ἐμοὺς λόγους M.

23. πίστιν δέχου — καὶ Μενέλαος om. C.

ib. τῷ] τὸ M.

καὶ τὴν Ἑλένην αὐτῷ συνεπιδημῆσαι· ὅπου γὰρ Ἑλένη, πάντως που καὶ Μενέλαος. A.B.C.M.I. ὡς τοῦ τὴν Ἑλένην ἀχθῆναι μολύναντος τὴν εὐπραξίαν Μενελάου. A.M.

246. Ἑλένην ἀγόμενος: ἔρχεται ἄγων τὴν Ἑλένην· δέχου τὸ πιστὸν τῶν ἐμῶν λόγων. C. ἄγεταί τις γυναῖκα, ἀντὶ τοῦ λαμβάνει· ἐπάγεται δὲ δοῦλον ἢ ἕτερόν τις, ἀντὶ τοῦ μεθ' ἑαυτοῦ ἄγει. καὶ ἐπάγεται τόδε ἐν παθητικῇ σημασίᾳ, ἀντὶ τοῦ μεθ' ἕτερον, ἢ μεθ' ἕτερα ἄγεται. Gr. I.

247. εἰ μόνος ἐσώθη: μᾶλλον ἂν ἦν ζηλωτὸς καὶ μακαριστός. εἰ δὲ ἐπάγεται τὴν σύνευνον, ἥκει ἔχων μέγα κακόν. I.

249. ἐπίσημον ἔτεκε Τυνδάρεως: μέγα γὰρ αὐτὴν κακὸν τῇ Ἑλλάδι ἔτεκεν. M. Στησίχορός φησιν ὡς θύων τοῖς θεοῖς Τυνδάρεως Ἀφροδίτης ἐπελάθετο, δι' ὃ ὀργισθεῖσα ἡ θεὸς διγάμους τε καὶ τριγάμους καὶ λειψάνδρους αὐτοῦ τὰς θυγατέρας ἐποίησεν. ἔχει δὲ ἡ χρῆσις οὕτως "οὕνεκά ποτε Τυνδάρεως ῥέζων πᾶσι θεοῖς μιᾶς λάθετ' ἠπιοδώρου Κύπριδος. κεῖνα δὲ Τυνδάρεω κούραισι χολωσαμένα διγάμους τε καὶ τριγάμους τίθησι καὶ λιπεσάνορας." καὶ Ἡσίοδος δέ

τῇσιν δὲ φιλομμειδὴς Ἀφροδίτη
ἠγάσθη προσιδοῦσα, κακὴν δέ σφ' ἔμβαλε φήμην.
Τιμάνδρη μὲν ἔπειτ' Ἔχεμον προλιποῦσ' ἐβεβήκει,

2. μολύναντος] ἐπιμολύναντος A.
6. δοῦλον—τις (τι I.)] ἕτερον—τις Gr.
12. θύων] θεοῦ M.
13. ἐπελάθετο] ἐλάθετο A.M.
ib. δι' ὃ ὀργισθεῖσα ἡ θεὸς] ἡ δὲ θεὸς ὀργισθεῖσα I. διὸ ὀργισθεῖσαν τὴν θεὸν A. quasi ποιῆσαι sequatur.
15. οὕτως om. M.
ib. ποτε om. I. Post ῥέζων recte transponit Bergkius.
ib. πᾶσι] ἅπασι A.B.I.
ib. μιᾶς B.M.I. μόνας A. μούνας Bergkius.
16. λάθετ'] λάθετο B.I. ἐπελάθετο M. λη^{θτ'} A.
ib. δὲ] δ' ἄρα Bergkius.
ib. κούραισι Bergkius. κόραις A. κούραις B.I. κούρας M.
ib. χολωσαμένα] χολωσαμένη libri.
17. λιπεσάνορας] λειπεσάνορας A. λιπεσιόρας (hoc accentu) M. λιπεσήνορας B.I.
18. δέ om. A.B.I.
19. τῇσιν] τῇσι B.M.I. ταῖσι A.
ib. φιλομμειδὴς] φιλομειδὴς libri.
20. προσιδοῦσα] προϊδοῦσα A.M.
ib. δέ σφ' ἔμβαλε B. δέ σφ' ἤμβαλε M. δέ φη ἔβαλλε A. δέ σφιν ἔβαλε I. Post φήμην in I. pergitur καὶ Ὅμηρος ὡς δὲ κλυταιμνήστρα λιποῦσ' etc. ubi καὶ Ὅμηρος haud dubie ab Arsenio est insertum lacunam codicis sui utcunque explente. In B. post φήμην :— novum incipit scholion, cujus verba prima (triginta circiter literarum, inter quas τέχετον fuisse videntur) obliterata, reliqua inde a προλιποῦσ' ἐβεβήκει a manu recentiore sunt instaurata. Omnia integra in A.M. etsi partim

ἵκετο δ' ἐς Φυλῆα, φίλον μακάρεσσι θεοῖσιν.
ὡς δὲ Κλυταιμνήστρη προλιποῦσ' Ἀγαμέμνονα δῖον
Αἰγίσθῳ παρέλεκτο καὶ εἵλετο χείρον' ἀκοίτην.
ὣς δ' Ἑλένη ἤσχυνε λέχος ξανθοῦ Μενελάου.—A.B.M.I.

ἐπίσημον: ἀντὶ τοῦ πολυθρύλητον. περισσὸν δὲ τὸ ἄρθρον. M. ὁ Τυνδάρεως ἔτεκε γένος θυγατέρων διάδηλον καὶ ἐξάκουστον εἰς τὸν ψόγον. I. ὁ Τυνδάρεως ἐγέννησε γένος θυγατέρων πολυθρύλλητον εἰς ψόγον. C. περιφανές. Gr. ἔκδηλον, ἐξάκουστον. Gu.

250. γένος θυγατέρων: τὴν Ἑλένην καὶ τοὺς ταύτης μνηστῆρας. B.

251. σύ νυν διάφερε: τουτέστιν, ἐπείπερ ἐκείνας ὡς φαύλας κακίζεις, σκόπει μὴ καὶ αὐτὴ περιπέσῃς τοῖς ἴσοις, ἀλλ' ἀποχὴν τῶν κακῶν ἔχε, καὶ μὴ μόνον τὰ ἄριστα λέγε, ἀλλὰ καὶ κατὰ νοῦν ἀεὶ ἔχουσα πρᾶττε. Gu. I.

διάφερε: διάφορος ἔσο. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. διαφορὰν λάμβανε καὶ ἀποχὴν, ἔξω γενοῦ. Gu. ἀπέχου. Fl. 18. τῶν κακῶν: γυναικῶν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

ἔξεστι γάρ: αὐτεξούσιος γὰρ ἡ ἀρετή. καὶ Ὅμηρος "ἐπεὶ μάθον ἔμμεναι ἐσθλός." A.C.M. Fl. 10. 21. ἐκδεδομένον ἐστί. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀντὶ τοῦ δυνατόν ἐστί σοι. Fl. 18.

253. οἴμοι, κασίγνητε: ὤμοι, ὦ ἀδελφὲ, ταράσσεται τὸ σὸν ὄμμα, ταχέως μετεβλήθης εἰς λύσσαν καὶ μανίαν, ἄρτι σώας ἔχων τὰς φρένας. I.

ὄμμα σὸν ταράσσεται: φυσικῶς· καθόλου γὰρ τῶν τῆς ψυχῆς παθῶν εἰκόνες οἱ ὀφθαλμοί. αἰφνίδιοι δὲ τῶν λυσσωδῶν νοσημάτων αἱ μεταβολαὶ γίνονται. A.B.C.M.I. ὁ δεῖγμα τοῦ μεταπεσεῖν σε αὖθις εἰς μανίαν. Gu.

corrupta. Nam in M. est τίσ (sic cum accentu) ἀνδρὶ μένει εἴτ' ἔχετον, in A. πεισάνδρη μὲν ἔπειτ' ἔχετον. Veram scripturam restituit Geelius apud Goettling. in Praefat. ad Hesiodum p. lx.

1. ἐς A. εἰς B.M.

ib. Φυλῆα B. φιαία M. φλῆα A.

ib. μακάρεσσι] μακάρεσι M. μακάρεσιν A. θεοῖσιν om. A. Tum libri ὡς δὲ κλυταιμνήστρα λιποῦσ'. Correxit Cobetus.

3. χείρον' ἀκοίτην B.I. χείρονα κοίτην A.M.

4. ὣς δ'] ὡς δ' A.B.M.I. ὧδ' M.

5. τὸ ἄρθρον] In verbis τὸν ψόγον.

13. ἀεὶ om. I.

18. αὐτεξούσιος γὰρ ἡ A.C. αὐτεξούσιον ἡ M. Fl. 10. 20.

ib. καὶ (ὁ add. Florr. 10. 21.) Ὅμηρος] Il. 6, 444.

24. φυσικῶς om. A.C.

25. αἰφνίδιοι δὲ] αἰφνίδιοι γὰρ I. καὶ αἰφνίδιοι A.C.

254. *ταχὺς δὲ μετέθου*: ἀντὶ τοῦ ταχέως εἰς μανίαν μετεβλήθης ἄρτι σώας ἔχων τὰς φρένας. A.B.M. ὁ νοῦς, μετεποιήθης καὶ μετεβλήθης εἰς λύσσαν. M. ἔστι καὶ τὸ ἐναντίον, μετέθετό τις λύσσαν ἀντὶ τοῦ ἀπέθετο. Gu.

255. *ὦ μῆτερ*: ὦ μῆτερ, ἱκετεύω σε, μὴ ἐπίφερέ μοι τὰς ὑφαίμου ὁρώσας ἀγρίας κόρας, ἤτοι τὰς Ἐριννύας. αὗται γὰρ, αὗται κινοῦνται καὶ ὁρμῶσι πλησίον ἐμοῦ. I. αἱματωποὺς τὰς Ἐριννῦς λέγει ὡς τοὺς μαινομένους ὕφαιμον ποιούσας βλέπειν καὶ ταραχῶδες. Gu. I.

256. *τὰς αἱματωπούς*: τὰ συμβαίνοντα τοῖς πάσχουσι ταῦτα τοῖς προεστῶσι τοῦ πάθους θεοῖς ἀνατιθέασιν οἱ ποιηταί· οἷόν τι καὶ Ὅμηρός φησι περὶ τῶν λιτῶν "χωλαί τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ" ἐκ τῶν ἀποβαινόντων παθῶν εἰδωλοποιήσας αὐτάς. οὕτω καὶ τὸν Πλοῦτον τυφλὸν λέγουσιν, ὅτι ἀκρίτως ποιεῖ πλουσίους, καὶ τὸν Καιρὸν ὀπισθοφάλακρον, ὅτι τοῦ παρῳχημένου ἀδύνατον ἀντιλαμβάνεσθαι. καὶ κωφὸν δὲ αὐτὸν ὁ Δημοσθένης φησὶν, ὅτι μετακαλούμενος οὐχ ὑπακούει. A.B.M. Gu. I. αἱματωποὺς εἶπε τὰς Ἐρινύας ὁ Εὐριπίδης ἐκ τοῦ τοὺς μαινομένους ὕφαιμον βλέπειν καὶ ταραχῶδες, ὡς Φοῖβος ὁ τοῦ φοιβᾶν τοὺς μάντεις, ὅ ἐστι μαίνεσθαι, αἴτιος, καὶ πολύμοχθος Ἄρης καὶ τὰ τοιαῦτα. A.B.M. ὦ μῆτερ τὰς αἱματοποιοὺς καὶ δρακοντώδεις κόρας ἐπ' ἐμοὶ μὴ ἐπίσειε, ἤγουν μετακίνει. M. δρακοντώδεις δὲ λέγει τὰς ἐχούσας δράκοντος, ἤτοι ὄφεως, ὀδόντας. Gu. I. ὦ μῆτερ: δοκεῖ τὸ εἴδωλον τῆς μητρὸς παριστά-

1. ἀντὶ τοῦ om. A.M.

2. ἄρτι σώας ἔχων] ἀρτίως ἔχων σῶας A.

9. συμβαίνοντα] γὰρ add. Gu. I. ubi hoc scholion cum praecedente cohaeret.

ib. ταῦτα addidi ex A. τὰ est in M.

10. θεοῖς ante τοῦ πάθους Gu. I.

11. Ὅμηρος] Il. 9. 499.

ib. ἐπὶ τῶν λιτῶν A. περὶ τῶν αὐτῶν B.M., om. Gu. I.

ib. ῥυσαί] ῥυσσαί Gu. I. Alterum σ a m. rec. superscr. in B.

12. ὀφθαλμώ] ὀφθαλμῶν Gu. παραβλῶπές τ' ὀφθαλμώ om. A.

ib. ἀποβαινόντων] συμβαινόντων A.

ib. αὐτάς. οὕτω om. A.B.M.

13. ἀκρίτως—τὸν καιρὸν om. M.

14. ὀπισθοφάλακρον] ὅτι φαλακ...' M.

ib. παρῳχημένου] οἰχομένου I.

ib. ἀδύνατον ἀντιλαμβάνεσθαι M. ἀδύνατον ἀντιλαβέσθαι B. λαβέσθαι ἀδύνατον I. λαβέσθαι ἀμήχανον Gu. Reliqua καὶ κωφὸν—οὐχ ὑπακούει sunt in A.B.M., omissa in Gu. I.

15. καὶ κωφὸν δὲ] δὲ om. A.

16. αἱματωποὺς] καὶ νῦν αἱματωποὺς A.

ib. εἶπεν post ἐριννύας B.

17. βλέπειν post ταραχῶδες B.

19. πολύμοχθος (ὁ addit A.) Ἄρης] Phoen. 785.

ib. καὶ τὰ τοιαῦτα om. A.

21. τὰς ἐχούσας] ὡς ἐχούσας I.

μενον ὁρᾶν καὶ ἐπισείειν κατ' αὐτοῦ τὰς Ἐρινύας. A. *δοκεῖ τὸ εἴδωλον Ὀρέστῃ παριστάμενον.* Fl. 33. *μὴ' πίσειε: ἀπείλει.* Gr. Fl. 21. *μὴ ἐπίφερε.* Gu. *ἐπίβαλε.* Fl. 18. *ἐπίπεμψον.* Fl. 10.

257. *αὗται γάρ: ἐκ τοῦ ἀφανοῦς ὑπέθετο τὰς Ἐρινύας αὐτὸν διωκούσας, ἵνα τὴν δόξαν τοῦ μεμηνότος ἡμῖν παραστήσῃ, ὡς εἴγε παρήγαγεν αὐτὰς εἰς μέσον, ἐσωφρόνει ἂν ὁ Ὀρέστης, τὰ αὐτὰ πᾶσιν ὁρῶν. ταῦτα δὲ νεώτερα· Ὅμηρος γὰρ οὐδὲν τοιοῦτον εἶπε περὶ Ὀρέστου.* A.B.M.I.

258. *μέν', ὦ ταλαίπωρε: μένε ἀτρέμας καὶ ἡσύχως ἔχε ἐν τοῖς δεμνίοις· οὐδὲν γὰρ ὁρᾷς ἀφ' ὧν δοκεῖς σαφῶς εἰδέναι.* I.

259. *ὁρᾷς γὰρ οὐδέν: τὰ γὰρ φαντασιώδη ἀνυπόστατα.* A.C. *Ἄλλως. ὃ γὰρ τὸ τῶν σωφρονούντων ὄμμα διαφεύγειν συμβέβηκεν, τοῦτο κατὰ τὴν πλάνην τοῖς μαινομένοις ὁρᾶσθαι συμβέβηκεν.* A.B. M. *ὅθεν καὶ οὗτος τὰς Ἐρινύας ἐνθουσιαστικῶς φαντάζεται ὁρᾶν. τὸ δὲ ἱέριαι προπαροξύνεται ὡς τὸ τιμώριαι καὶ αἴτιαι καὶ τὰ τοιαῦτα. ἱερείας δὲ αὐτὰς καλεῖ παρ' ὅσον ἐξυπηρετοῦνται αὐτοῖς. ἀποστέλλουσι γὰρ αὐτοῖς τὰς ψυχάς.* A.B.C.M.I.

σάφα: ποιητικῶς ἀντὶ τοῦ σαφῶς. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *εἰδέναι: βλέπειν εἰπεῖν ἔμελλεν· ὅτι δὲ ὃ βλέπει τις γινώσκει, οὕτως ἐξήνεγκεν.* Gu.

4. *ὑπέθετο* A. *εἶπε* I., om. B., sed addit *ἔθετο* post *διωκούσας*. In M. verba *τοῦ ἀφανοῦς ὑπέθετο*, vel *εἶπε*, nunc legi non possunt.

ib. *Ἐρινύας*] *ἐριννύας* I. et a m. rec. B.

ib. *αὐτὸν διωκούσας*] *διώκειν αὐτὸν* I.

6. *αὐτὰς*] *αὐτοὺς* A.

ib. *ἐσωφρενεῖ* (sic) M.

ib. *ὁ* om. A.B.

ib. *τὰ αὐτὰ πᾶσιν ὁρῶν* addidi ex A.M. Eadem fuerunt in B., in quo nunc postremae tantum literae *ρῶν* legi possunt.

7. *ταῦτα δὲ νεώτερα*] *τὰ δὲ νεώτερα* A.M. *ταῦτα δὲ οἱ* (*οἱ* om. B) *νεώτεροι* I. Pergit A. *καὶ ὅμηρος οὐδὲν εἶπε περὶ ὀρέστου τοιοῦτον*:—

12. *Ἄλλως* om. B.M.

ib. *διαφεύγειν*] *διαφυγεῖν* A.

14. *τὰς—ὁρᾶν*] Haec M. non hoc loco habet, sed adscripta versui 256. ibidemque A. *αἱματωπὸν* (sic) *δὲ τὰς ἐρινύας* (*ἐρινὺς* M.) etc. Primam partem scholii *ὅθεν—τοιαῦτα* om. C.I., *τὸ δὲ ἱέριαι—τοιαῦτα* om. A., *ἱερείας—καλεῖ* om. I. Verba *ἱερείας—ψυχάς* habet etiam Fl. 10. qui *δὲ* om. et *ὑπηρετοῦσιν αὐτῷ* habet. In C. *ἐξυπηρετοῦνται αὐταῖς τὰς ψυχάς*, mediis omissis.

15. *προπαροξύνεται*] *προπαροξύ* B. In M. haec sic scripta *ἱέρειαι δειναὶ θεαί: τὸ ἱέρειαι παροξυνοῦσιν ὡς τιμωρίαι καὶ αἴτιαι. ἱερείας δὲ* etc. unde *τιμώριαι καὶ* sumsi, quod deest in B. Conf. p. 95, 9.

260. ὦ Φοῖβ', ἀποκτενοῦσι: ὦ Ἄπολλον, φονεύσουσί με αἱ ἄγριαι καὶ ἀναιδεῖς γοργώπιδες, αἱ καταπληκτικαὶ τοῖς ὀφθαλμοῖς, αἱ ἱέρειαι καὶ φονεύτριαι τῶν νεκρῶν, αἱ φοβεραὶ θεαί. I.

αἱ κυνώπιδες: αἱ ἄγριαι. Gr. ἀναιδεῖς. Gu.

261. γοργῶπες: γοργώπιδες. Gr. καταπληκτικαὶ τοῖς ὀφθαλμοῖς, καταπληκτικὰ ἔχουσαι ὄμματα. Gu. ἐνέρων: νεκρῶν τῶν ἀδίκως θνησκόντων. Gu.

τὸ ἱέρειαι ἱερίαι χρὴ γράφειν Ἰωνικῶς, ἵν' ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς. τὰ γὰρ διὰ τοῦ ειa προπαροξύτονα Ἰωνικῶς οἱ ποιηταὶ παροξύτονα ποιοῦντες διὰ τοῦ ια γράφουσι, τὸ αὐθάδεια αὐθαδία λέγοντες, καὶ τὸ εὐσέβεια εὐσεβία, καὶ τὰ τοιαῦτα, ὃ καὶ ἐξετάζων εὑρήσεις. I. φονεύτριαι. Gr. ὑπουργοί, ὡς θανατοῦσαι. Gu.

262. μεθήσω: ἀφήσω. Gr. ἐμπλέξασα: ἐμβαλοῦσα. Fl. 33.

263. σχήσω: ἐφέξω, κωλύσω. Gr. Fl. 6. 17. 9. 21. 56. 59. 76. κρατήσω. Fl. 33.

264. μέθες, μί' οὖσα: ἔασον, ἄφες, μία οὖσα τῶν ἐμῶν ἐριννύων καὶ μανιῶν, μέσον με κατέχεις, ἵνα βάλῃς εἰς τὸν Τάρταρον. I. καὶ σὺ μία οὖσα τῶν κατ' ἐμοῦ Ἐρινύων ἀπόστηθι. τινὲς δὲ ἐρινύων τῶν μανιῶν, ἵν' ἦ ἄνες με τῆς μανίας ἀναχωρήσασά μου. A.B.C.M.I.

265. μέσον μ' ὀχμάζεις: συνέχεις, ἢ ἐπαίρεις. ἴδιον δὲ τῶν μαινομένων τὸ τοὺς κηδομένους ἀποσείεσθαι καὶ δοκεῖν βλάπτεσθαι μᾶλλον παρ' αὐτῶν. A.B.M.I. κουφίζεις. Gr. κρατεῖς, συνέχεις, ἐπαίρεις. Gu.

Ὀχμάζω γίνεται ἀπὸ τοῦ ἔχω, ἕξω, ἔχμα, οὐ μόνον ἡ ἐξοχή, ἀλλὰ καὶ ἡ συνοχή. ἀπὸ δὲ τοῦ ἔχμα γίνεται ἐχμάζειν, τὸ κωλύειν

8. τὸ ἱέρειαι —] Scholion Triclinii.

10. παροξύτονα π.] προπαροξύτονα I. contra mentem Triclinii, qui rectius praecipit quam schol. supra p. 94, 17. De quo dixi in Thesauro vol. 4. p. 531.

18. καὶ σὺ addidi ex A.C.

ib. τῶν κατ' ἐμοῦ] τῶν ἐμῶν C.

ib. Ἐρινύων] ἐριννύων C.I. et a m. rec. B: de quo in posterum non monebo.

ib. ἀπόστηθι] ἀπόστα M.

ib. τινὲς δὲ ἐ. τῶν A.C. ἐ. δὲ τῶν ceteri, omisso τινὲς δέ.

21. μέσον—συνέχεις, ἢ] ὀχμάζεις δὲ ἀντὶ τοῦ συνέχεις καὶ B.I.

ib. ἴδιον—μᾶλλον] ἰδία δὲ τοὺς κηδομένους τῶν μαινομένων ἀποσείεσθαι καὶ δοκεῖν μᾶλλον βλάπτεσθαι A.

23. παρ' αὐτῶν om. A.C.M.

καὶ ἐπέχειν, καὶ ἐχμάσαι, τὸ κατασχεῖν καὶ ἑλεῖν, ὃ παρὰ τῷ Εὐριπίδῃ ἐνταῦθα διὰ τοῦ ο κεῖται, μέσον μ' ὀχμάζεις. I.

266. ἐπικουρίαν: βοήθειαν. Gu.

267. τὸ θεῖον: τοὺς θεούς. Gr. τὰς Ἐριννύας. Gu. δυσμενές: ἐχθρόν. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

268. δὸς τόξα: δός μοι τὰ τόξα τὰ ἐκ κεράτων σκευαζόμενα, τὰ δῶρα τοῦ Ἀπόλλωνος, δι' ὧν εἶπεν ὁ Ἀπόλλων τιμωρήσασθαι ἐμὲ τὰς Ἐριννύας, εἰ εἰς φόβον ἄγοιεν ἐμὲ ἐν λυσσήμασι καὶ μανίαις, ἐκ παραλλήλου. I.

δὸς τόξα μοι κερουλκά: τὰ διὰ κεράτων ἑλκόμενα ἢ τὰ κῆρα καὶ θανατηφόρον μοῖραν φέροντα. B. τὰ διὰ τῶν κεράτων ἕλκοντα τὴν νευρὰν, ἢ τὸ βέλος, ὡς τὸ κεραελκὴς ταῦρος, ἢ παρὰ τὸ ἐκ κεράτων εἶναι καὶ ἕλκεσθαι. τοῦτο δὲ εἶπεν ὡς τῶν Ἐρινύων ἐψαυκυιῶν αὐτοῦ. A.B.C.M. Στησιχόρῳ ἑπόμενος τόξα φησὶν αὐτὸν εἰληφέναι παρὰ Ἀπόλλωνος. ἔδει οὖν τὸν ὑποκριτὴν τόξα λαβόντα τοξεύειν. (B.M. I.) οἱ δὲ νῦν ὑποκρινόμενοι τὸν ἥρωα αἰτοῦσι μὲν τὰ τόξα, μὴ δεχόμενοι δὲ σχηματίζονται τοξεύειν. εἰ δὲ ὁ μαινόμενος ἐπ' ἐνίων ὑγιαίνει μὴ θαυμάσωμεν. ἡ γὰρ νόσος ποικίλη τῶν μεμηνότων, ὡς κἂν ταῖς Τρῳάσιν ἡ Κασάνδρα "τοσόνδε δ' ἐκτὸς στήσομαι βακχευμάτων. B.M.

δῶρα Λοξίου λέγει ἢ ὑπὸ τῆς μανίας δοκῶν χαρισθῆναι αὐτῷ ταῦτα παρὰ Ἀπόλλωνος, ἢ διότι τοξικός ἐστιν ὁ θεὸς, καὶ τὰ παρ' ἀνθρώποις τόξα ὡσπερεὶ δῶρα ἐκείνου. Gu. I. κερουλκά: τὰ ἐκ κεράτων κατεσκευασμένα καὶ ἑλκυόμενα. Gr. Fl. 6. 9. 17. 21. 33.

12. ἢ τὸ] ἤτοι τὸ A. ἤγουν τὸ C.

ib. ὡς τὸ κεραελκὴς ταῦρος A. ὡς κεραλκὴς ταῦρος M. ὡς κεραελκεῖς ταύρους B. ὡς τὸ κερουλκὸς ταῦρος C. κεραελκέες βόες sunt ap. Callim. H. in Dian. 179. quod κερααλκέες scribebat Bentlejus, cujus adjectivi exempla plura sunt.

13. εἶναι καί] καὶ om. C.

ib. τοῦτο δὲ—ἐψαυκυιῶν (ἐψαυκίων C.) αὐτοῦ om. M. neque hic habet B., sed separato scholio ad v. 269. ὡς τῶν—αὐτοῦ.

14. Στησιχόρῳ δὲ B. στησίχορος ceteri, sine δέ.

16. δεχόμενοι] ἐχόμενοι M.

17. ὁ] καὶ B.

ib. ἐπ' Cobetus. ὑπ' B.M.

19. Τρῳάσιν] 369.

ib. Κασάνδρα] κασσάνδρα B.

22. τὰ παρ'—ἐκείνου] τὰ παρ' αὐτοῦ τόξα ὡσπερεὶ τόξα ἐκείνου I. Quod dedi, est in Gu. in quo, quod primo scriptum fuerat, ὡσπερεὶ τόξα, ab eadem manu correctum est in margine δῶρα. MATTH.

56. 59. 76. τὰ διὰ τῶν κεράτων ἕλκοντα τὴν νευρὰν (ἢ τὸ βέλος addit Fl.) ἢ τὰ ἐκ κεράτων συντεθειμένα. Gu. Fl. 21.

269. Ἀπόλλων: Ἀπόλλων ἀπὸ τοῦ ἀεὶ βάλλειν. C. ἐξαμύνασθαι: ἀποσοβήσασθαι. Fl. 33. τιμωρήσασθαι. Gr. μαχέσασθαι. Gu.

270. μανιάσι: πάντες τὸ μανιάσι πρὸς τὸ λυσσήμασι συνάπτοντες οὕτω φασὶ, μανικοῖς λυσσήμασιν, ἀγνοοῦντες ὅτι τὸ μὲν μανιάσι θηλυκόν ἐστι, τὸ δὲ λυσσήμασιν οὐδέτερον. σὺ δὲ τούτους ἐάσας ἀσυνδέτως λέγε κεχωρισμένα οὕτως· εἴ με ἐκφοβοῖεν μανιάσι καὶ μανίαις, ἐν λυσσήμασι καὶ ἐν μανίαις, ἵν' ὦσιν ἀμφότερα τὸ αὐτό. Gu. I.

μανιάσι λυσσήμασι: ταῖς μανιώδεσι λύσσαις. σχῆμα δέ ἐστι περίφρασις τὸ μανιάσι λυσσήμασιν, ὡς τὸ φοίνικι λίνῳ, ἀρσενικὸν μετὰ οὐδετέρου. ἀπὸ δὲ τοῦ ἡ μανιὰς τὸ μανιάσι· μανιώδεσι λυσσήμασιν, ἢ μανίαις καὶ λυσσήμασιν. B.M.I.

271. βεβλήσεταί τις: τοξευθήσεταί τις ἀπὸ τῶν θεῶν διὰ χειρὸς ἀνθρωπίνης; I.

272. εἰ μὴ 'ξαμείψει: ναὶ, τοξευθήσεται, εἰ μὴ ἀποστήσεταί τις τῶν Ἐριννύων τοῦ ἐμοῦ προσώπου, μακρὰν τῶν ἐμῶν ὀμμάτων. οὐκ ἀκούετε, ὦ Ἐριννύες δηλονότι, οὐχ ὁρᾶτε πτερωτὰς γλυφίδας, λέγω δὲ τὰ βέλη, ἐξερχομένας ἐκ τῶν μακρὰν βαλλόντων τόξων; I.

274. πτερωτὰς γλυφίδας: τοὺς ἐπτερωμένους ὀϊστούς. Gu.

275. ἆ ἆ: ἐπίρρημα ἐφεκτικόν. I. τί δῆτα μέλλετ'; ἐξακρίζετ' αἰθέρα: στιγμὴ εἰς τὸ μέλλετε· τὸ δὲ ἑξῆς, εἰς τὰ ἄκρα τοῦ

7. μανικοῖς] μανιάσι I.
ib. μὲν om. I.
9. ἀ. λέγε κεχωρισμένα] κεχωρισμένας λέγε ἀσυνδέτως I.
ib. εἴ με] εἰ μὴ Gu.
10. καὶ μανίαις] καὶ om. I.
12. μανιάσι] δὲ add. B., ἄλλως praefixum in I. Verba μανιάσι λυσσήμασι ταῖς μ. λ. τὸ δὲ σχῆμα περίφρασις sunt in A.
13. τὸ μανιάσι Matth. pro ταῖς μανιάσι.
14. οὐδετέρου] τοῦ οὐδετέρου I.
ib. μανιώδεσι λ. ἢ μ. καὶ λ. om. M.

18. εἰ μὴ—προσώπου] Haec verba etiam in A.B.C.M., addito φησὶ in C. post, in A. ante τῶν ἐριννύων.
23. μέλλετ', ἐξακρίζετ' αἰθέρα] μέλλετε B. μέλλετε καὶ βραδύνετε I.
24. στιγμὴ εἰς τὸ M. στιγμὴν ἔχει τὸ B I. In C. hoc scholion sic conformatum, ἆ ἆ. τί δῆτα μέλλεται ὦ ἐριννύες. τί βραδύνετε τὰ ἄκρα καταλαμβάνετε τοῦ ἀέρος καὶ παίετε τὸν αἰθέρα:—ἐξακρίζετ' αἰθέρα. εἰς τὰ ἄκρα τοῦ αἰθέρος πέτεσθε καὶ μέμφεσθε τὰ λόγια τοῦ ἀπόλλωνος καὶ μὴ ἐμέ. πτερωτὰς δὲ τὰς ἐριννύας ἐπέθετο:—In A.

αἰθέρος πέτεσθε, καὶ μέμφεσθε τὰ λόγια τοῦ Ἀπόλλωνος καὶ μὴ ἐμέ. πτερωτὰς δὲ καὶ οὗτος τὰς Ἐρινύας ὑποτίθεται. A.B.C.M.I. ἀκρίζω δὲ τὸ ἄκρον κόπτω. I. μέλλετ᾽: ἀντὶ τοῦ βραδύνετε. M. ἐξακρίζετ᾽: ἀντὶ τοῦ τὰ ἄκρα τοῦ αἰθέρος καταλαμβάνετε. M. εἰς τὸν ἄκρον αἰθέρα τρέχετε. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. ἤγουν τῶν ἄκρων τοῦ ἀέρος ἐπιλαμβάνεσθε. Gu.

276. αἰτιᾶσθε: αἴτια ἡγεῖσθε. Gu. θέσφατα: κελεύσματα· καὶ γὰρ ἄνωθεν εἶπεν, ὅταν ἀπῄτει τὴν Ἠλέκτραν τὰ τόξα, ὡς Ἀπόλλων αὐτῷ ἐπέταξε μάχεσθαι Ἐριννύσι τοῖς τόξοις. I.

277. ἔα: ἐκπληκτικὸν ἢ θαυμαστικὸν ἐπίρρημα τὸ ἔα. A.C.M. ἔα, τί χρῆμ᾽ ἀλύω: διὰ ποίαν αἰτίαν ἀδημονῶ; B.M. τί τὸ πρᾶγμα καὶ τίς ἡ νόσος αὕτη καθ᾽ ἣν ἀδημονῶ καὶ ἠπόρημαι; παρὰ τὴν ἄλην· "ἡ δ᾽ ἀλύουσ᾽ ἀπεβήσετο." A.B.C.M.I. ἐπὶ ἐκπλήξεως τὸ ἔα. διὰ τί χρῆμα ἐν ἀμηχανίᾳ εἰμὶ, πνεῦμα ἀναπέμπων ἐκ τῶν πνευμόνων; τὸ ἀλύειν δὲ ποτὲ μὲν οἱ ποιηταὶ ἀντὶ τοῦ δάκνεσθαι καὶ ἀπορεῖσθαι λαμβάνουσιν, ὡς ἐνταῦθα, καὶ παρὰ τῷ ποιητῇ "ἡ δ᾽ ἀλύουσ᾽ ἀπεβήσετο," ποτὲ δὲ ἀντὶ τοῦ γαυριᾶν καὶ χαίρειν, ὡς τὸ "ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην." I.

278. ποῖ ποῖ: τὸ ποῖ τοπικόν. ποῦ, ποῦ ἐπηδήσαμεν καὶ ἐκινήθημεν ἀπὸ τῆς κοίτης; ἐκ κυμάτων γὰρ, ἤτοι ἐκ τῆς τοῦ κλύδωνος μανίας καὶ ταραχῆς, βλέπω πάλιν γαληνὰ καὶ ἥσυχα. I.

ἡλάμεσθα: ἐπηδήσαμεν. Gr. ἐκινήθημεν. ἐπλανήθημεν, ἠλαυνόμεθα. Gu.

279. γαλήν᾽ ὁρῶ: κεκωμῴδηται ὁ στίχος διὰ Ἡγέλοχον τὸν ὑποκριτήν. οὐ γὰρ φθάσαντα διελεῖν τὴν συναλοιφὴν ἐπιλείψαντος

nihil praeter haec, εἰς τὰ ἄκρα—τὰ λόγια τοῦ ἡλίου (hoc usitato compendio scriptum) καὶ μὴ ἐμὲ μέμφεσθε. πτερωτὰς δὲ τὰς ἐρινύας ὑπέθετο:—

1. καὶ μὴ—ὑποτίθεται om. I.

2. οὗτος] οὕτως M.

ib. ὑποτίθεται] ὑπέθετο M.

10. ἐπίρρημα (τὸ ἐ. C.) τὸ ἔα] τὸ ἔα om. A.C.

11. τί τὸ—ἀπεβήσετο] Haec in I., praefixo ἄλλως, infra post ἀλήτην.

12. καθ᾽ ἣν] καθὰ A.M.

ib. ἀδημονῶ καὶ ἠπόρημαι] ἠπόρημαι καὶ ἀδημονῶ B.I.

ib. τὴν ἄλην] τὴν ἄλλην A.M. τῶν ἄλλων C.

13. ἀπεβήσετο] ἀπεβήσατο B. Est Il. 5, 352. Verba ἡ δ᾽—ἀπεβήσετο om. A.C.

17. ὡς τὸ] Hom. Od. 18, 333.

25. συναλοιφὴν] συναλιφὴν B. Comparanda cum his verba scholiastae Aristoph. Ran. 305. Ἡγέλοχος τραγῳδίας ὑποκριτὴς, ὃν καὶ ἐν τῷ Ὀρέστῃ Εὐριπίδου, προστάντος αὐτῷ τοῦ πνεύματος ἐν τῷδε τῷ στίχῳ "ἐκ κυμάτων γὰρ

τοῦ πνεύματος τοῖς ἀκροωμένοις τὴν γαλῆν δόξαι λέγειν τὸ ζῷον, ἀλλ' οὐχὶ τὰ γαληνά. πολλοὶ μὲν οὖν αὐτὸ διέπαιξαν τῶν κωμικῶν, Ἀριστοφάνης καὶ Στράττις ἐν Ἀνθρωπορραίστῃ

καὶ τῶν μὲν ἄλλων οὐκ ἐμέλησέ μοι μελῶν,
Εὐριπίδου δὲ δρᾶμα δεξιώτατον
διέκναισ' Ὀρέστην, Ἡγέλοχον τὸν Κυντάρου
μισθωσάμενος τὰ πρῶτα τῶν ἐπῶν λέγειν.

καὶ ἐν ἄλλοις παίζων φησί

γαλῆν ὁρῶ. B. ποῦ, πρὸς θεῶν; ποῦ ποῦ, γαλῆν;
A. γαλήν'. B. ἐγὼ δ' ᾤμην γαλῆν λέγειν σ' ὁρᾶν.

καὶ Σαννυρίων ἐν Δανάῃ

τί οὖν γενόμενος εἰς ὀπὴν ἐνδύσομαι;
ζητητέον. φέρ' εἰ γενοίμην γαλῆ;

αὖθις αὖ γαλήν' ὁρῶ" αἰφνιδίως, οὐ φθῆναι συνέβη διελόντα τὴν συναλοιφήν. Nam sic vitiosam librorum scripturam, ab Suida s. v. Ἡγέλοχος repetitam, ὀφθῆναι συνελόντα τὴν συναλοιφήν, correxit Bernhard. ad Suidam vol. 1. p. 805.

2. διέπαιξαν] διέπεξαν M.

ib. Ἀριστοφάνης;] Excidit fortasse Βατράχοις. Respicit autem ad v. 305. ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ.

3. Ἀνθρωπορραίστῃ] ἀνθρωποραίστῃ B.I. ἀνθρωπορέστῃ A.M.

4. μελῶν] μέλων M.

6. διέκναισ'] δι' αἴκνεσ A.

ib. Ὀρέστην] ὀρέστῃ I., consentiente B. (ὀρέστηι) qui iota adscripto uti solet.

ib. Κυντάρου] Sic A.B.M. κινυάρου I. unde Bentleius Κινάρου, nomine ignoto. Probabilius est Κυννάρου, quod cum Κύννα nomine comparari potest. Proximi Strattidis versus, in quibus interlocutorum notas addidit Meinekius Com. vol. 2. p. 788. sic scripti sunt in M. γαλήν ὁρῶ. ποῖ ποῖ πρὸς θεῶν ποῖ ποῖ. γαλήν' γαλῆν ἐγὼ δὲ ᾤμην σε γαλήν λέγειν ὁρῶ. Vitiosius in A. γαλὴν ὁρῶ. ποῖ πρὸς θεῶν ποῖ ποῖ χρῆμεπαρᾶ θέλημα ποιεῖν γαλὴν γαλῆνα ἐγὼ δὲ ᾤμην σε γαλὴν λέγειν ὁρᾷς, omissa reliqua scholii parte. In B. γαλῆν ὁρῶ ποῖ ποῖ πρὸς θεῶν. ποῖ ποῖ γαλῆν γαληνά. ἐγὼ δὲ ᾤμην σε γαλῆν λέγειν ὁρῶ. In I. (omissis primis verbis γαλῆν ὁρῶ) ποῖ ποῖ γαλῆν ὁρῶ. ποῖ ποῖ πρὸς θεῶν, γαλῆν γαληνά, omissis reliquis. In versu priore alterum quod ante πρὸς θεῶν legebatur ποῖ delevi cum Cobeto. In versu altero non potuit ab Strattide scribi ἐγὼ δ' ᾤμην σε γαλῆν λέγειν ὁρῶ, quum in promptu esset numeris melioribus scribere ἐγὼ δ' ᾤμην γαλῆν λέγειν σ' ὁρᾶν. Hoc igitur restitui.

11. Δανάῃ] θανάῃ (sic) B.

12. τί οὖν B. τί ἂν I.

13. ζητητέον om. I.

ib. φέρ'] φέρ͂ M., i. e. φέρων.

ib. φέρ' εἰ γενοίμην γαλῆ (γαλή M.)] Post γενοίμην una ad versus integritatem syllaba desideratur, quae non apparet qualis esse potuerit. Quamobrem fuit qui μυγαλῆ conjiceret, aptissimum praecedentibus verbis εἰς ὀπὴν ἐνδύσομαι nomen. Neque obstant Hegelochi verba γαλῆν ὁρῶ, quibus ad μυγαλῆς nomen alludi potuit. Versus proximos exhibeo correctis librorum vitiis, quorum in B. legitur, ἀλλ' ἡγέλοχός με μηνύσειεν ὁ τραγικὸς ἀνακράγοιτ' ἂν οὗτος εἰσιδὼν μέγα etc., in M. ἀλλ' ἡγέλοχος

ἀλλ' Ἡγέλοχος οὗτός με μηνύσειεν ἂν
ὁ τραγικὸς ἀνακράγοι τ' ἂν εἰσιδὼν μέγα,
" ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ."—A.B.M.I.

280.—285. σύγγονε, τι κλαίεις: ὦ ἀδελφὴ, διὰ τί κλαίεις, θεῖσα τὴν κεφαλὴν ἔσω τῶν πέπλων; αἰδοῦμαί σε μεταδιδούς σοι τῶν ἐμῶν πόνων, ὄχλησιν παρέχων σοὶ τῇ παρθένῳ διὰ τῶν ἐμῶν νόσων. μὴ χάριν τῶν ἐμῶν κακῶν ἐν σεαυτῇ φθείρου· σὺ μὲν γὰρ συνήνεσας καὶ συνεβούλευσας ἐπὶ ταδε, εἴργασται δ' ὑπ' ἐμοῦ ὁ τῆς μητρὸς φόνος. I.

281. αἰσχύνομαι: καὶ ἐντρέπομαι. Fl. 59. μεταδιδούς: μετέχειν διδούς. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

283. συντήκου: ἐν σεαυτῇ φθείρου, διαρρέου. Gr. διαρρέου. Fl. 6. 9. 17. 56. 59. 76. πάσχε, δαμάζου. Gu.

284. ἐπένευσας: συνήνεσας. Gr. κατένευσας, συνεβούλευσας. Gu. καὶ συνείργησας. Fl. 59. ταδε: τὸ κτεῖναι τὴν μητέρα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἃ ἔπραξα. Gu.

σὺ μὲν γάρ: ἐγὼ μὲν γαρ εἰργασάμην, σὺ δὲ ἐπένευσας. θέλει δὲ εἰπεῖν ὅτι οὐ μετέχεις τοῦ φόνου, ἐπεὶ οὐδὲ ἔπραξας· διὸ οὐδὲ ὀφείλεις ἄχθεσθαι. A.B.C.M.I.

285. Λοξίᾳ δέ: τῷ Ἀπόλλωνι δὲ μέμφομαι, ὅστις διεγείρας καὶ παρακινήσας ἐμὲ εἰς ἔργον ἀνοσιώτατον διὰ μὲν τῶν λόγων εὔφρανε, διὰ δὲ τῶν ἔργων οὐδαμῶς. I.

Λοξίᾳ δέ: οὐ σοὶ μέμφομαι, ἀλλὰ τῷ Ἀπόλλωνι, ὅτι πείσας με φονεῦσαι τὴν μητέρα οὐ βοηθεῖ. A.C.M. τῷ Λοξίᾳ μέμφομαι, ἤτοι τῷ

μεμήνυεν ὁ τραγικὸς ἀνακράγοιτ' ἂν οὗτος εἰσιδὼν μέγα etc., in I. ἀλλ' ἡγέλοχός με μηνύσειεν ὁ τραγικὸς, ἀνακράγοιτ' ἂν οὗτος εἰς ἐχθροὺς μέγα etc. ubi εἰς ἐχθροὺς Arsenii inventum esse videtur, obscuram vel defectam codicis sui scripturam utcunque corrigentis. Rectam scripturam suo in libro habuit Musurus, qui scholiis ad Aristoph. Ran. 305. in ed. Aldina haec inseruit ex scholio Euripideo excerpta, καὶ στράτις (sic etiam I.) " ποῖ ποῖ πρὸς θεῶν, ποῖ ποῖ γαλὴν γαληνά, ἐγὼ δὲ ᾤμην σε γαλῆν λέγειν ὁρῶ." καὶ σαννυρίων δὲ ἐν δανάῃ " τίς ἂν γενόμενος εἰς ὀπὴν γενήσομαι; φέρ', εἰ γενοίμην γαλῆ; ἀλλ' ἡγέλοχός με μηνύσειεν ὁ τραγικός. ἀνακράγοιτ' ἂν οὗτος εἰσιδών. ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ."

3. αὖ om. M.

ib. γαλῆν] γαλὴν M. γαλῆν' B.I.

15. συνείργησας] Videtur συνήνεσας scripsisse.

17. ἐγὼ μὲν γὰρ εἰργασάμην (εἴργασμαι M.)] γὰρ om. A.C.M.I.

18. ἐπεὶ—ὀφείλεις (ὀφείλει C.)] ἐπεὶ οὖν οὐκ ἔπραξας, οὐδ' ὀφείλεις A.

23. με φονεῦσαι (φωνῆσαι C.) τὴν μ. A.C. πείσας πατέρα φονεῦσαι M.

24. ἤτοι—οὐχὶ σοί om. I.

Ἀπόλλωνι, καὶ οὐχὶ σοί, ὅτι πείσας με φονεῦσαι τὴν μητέρα οὐ βοηθεῖ. τοῦτο γὰρ σημαίνει τὸ ἐπάρας, ἀναπτερώσας καὶ πείσας εἰς ἔργον ἀνοσιώτατον. B.I. εἶπε γὰρ ὡς δεῖ ἐκδικητὴν τοῦ πατρῴου φόνου γενέσθαι με. I.

286. ὅστις μ' ἐπάρας: ἀναπτερώσας καὶ διατείνας εἰς ἔργον ἀνοσιώτατον. M. διεγείρας. Gr. παρακινήσας, ὑψώσας, καταπείσας. Gu. ἀναπείσας. Fl. 59. ἔργον ἀνοσιώτατον: ἀπειρηκὼς τῇ νόσῳ ὃ πρὶν εὐσεβὲς ᾤετο νῦν ἀνόσιον καλεῖ. A.B.C.M.

287. τοῖς δ' ἔργοισιν οὔ: βοηθεῖ. Fl. 10. ὡς ὑποσχομένου τοῦ θεοῦ βοηθήσειν. A.C.M. Fl. 10. οὐκ ηὔφρανε δηλονότι. Gu.

288. οἶμαι δέ: οἶμαι δὲ τὸν ἐμὸν πατέρα, εἰ ἐξιστόρουν καὶ ἠρώτων κατὰ πρόσωπον εἰ πρέπει κτεῖναι τὴν μητέρα, πολλὰς λιτὰς διὰ τῆς ἐκτάσεως τῶν χειρῶν ποιῆσαι αὐτόν, τοῦδε τοῦ γενείου δηλονότι ἀψάμενον, μήποτε ὦσαι ξίφος εἰς σφαγὴν τῆς τεκούσης, ἐπειδὴ οὔτε ἐκεῖνος ἔμελλεν ἀναβιῶναι καὶ πάλιν ζῆσαι, ἐγὼ δὲ ὁ τλήμων ἔμελλον (κατὰ κοινοῦ) τοιάδε κακὰ ἐκπληρώσειν καὶ ὑπομενεῖν. I. εἰ νῦν τὸν ἡμέτερον πατέρα κατ' ὄψιν ἐξιστόρουν καὶ ἔδει ἵνα κτείνω τὴν μητέρα εἰς ἀναζώωσιν αὐτοῦ καὶ ἀπαλλαγὴν τῶν ἐμῶν κακῶν, πολλὰς λιτὰς παρέσχε μοι ἄν, ἵνα ταύτην, ἐὰν μὴ ἐκεῖνος ἔμελλε ζῆν, μὴ κτείνω. C. κατὰ πρόσωπον. Gr. ἐνώπιον πρὸς πρόσωπον. Gu.

289. ἐξιστόρουν: ἠρώτων, ἐξήταζον. B.M.

νιν: τὸ νιν ἐπὶ τῶν τριῶν γενῶν λαμβάνεται, αὐτόν, αὐτήν, αὐτό. A.B.C.M.

τὸ νιν πρὸς τὸ ἐκτεῖναι σύναπτε εἰς τὴν σύνταξιν, πρὸς δὲ τὸ ἱστόρουν τὸ πατέρα. Gu.

291. μή ποτε τεκούσης: μηδέποτε ἐπὶ τῇ σφαγῇ τῆς μητρὸς ὠθῆσαι τὸ ξίφος. A.B.M.

294—300. καὶ νῦν: περιφραστικῶς, ὦ ἀδελφὴ, ἀνακάλυπτε σαυτὴν δηλονότι, ἤγουν ἀνακαλύπτου, ἄπελθέ τε καὶ ἀπόστηθι ἐκ

1. φονεῦσαι] κτανεῖν I.

2. ἐπάρας—ἀνοσιώτατον] Haec etiam in A.C.

ib. πείσας] ἀναπείσας C.

7. ἀπειρηκὼς] ἀπειρηκότος δὲ C., in quo haec post scholion proximum leguntur, ut in A., qui tamen servat ἀπειρηκώς.

ib. πρὶν] πρὶν μὲν M.

9. ὑ. τοῦ θεοῦ] τοῦ θεοῦ ὑ. Fl. 10.

10. βοηθήσειν] βοηθῆσαί μοι A. et omisso μοι C.

24. τὸ νιν] τὸ δὲ νιν B., sine lemmate. τὸ νιν post λαμβάνεται C.

25. τό πατέρα] τὸν πατέρα Gu.

τῶν δακρύων, ἤτοι μὴ δάκρυε, καὶ εἰ λίαν διακείμεθα ἀθλίως. ὅταν δὲ ἴδῃς τάμὰ, ἤτοι ἐμὲ λειποθυμήσαντα, τουτέστι μανέντα, σὺ τὸ δεινὸν ἐμοῦ καὶ τὸ διαφθαρὲν τῶν φρενῶν, ἤτοι τὴν διαφθορὰν, ἔπεχε καὶ κώλυε, παραμυθοῦ τε. ὅταν δὲ στένῃς σὺ, πρέπει παρόντας ἡμᾶς νουθετεῖν σε τὰ προσφιλῆ· αἱ ἐπικουρίαι δὲ αὗται καλαί εἰσι τοῖς φίλοις. I.

καὶ νῦν ἀνακάλυπτε: τὴν ὄψιν δηλονότι· ἐσκέπαστο γὰρ ὑπὲρ τοῦ μὴ λυπεῖν τὸν ἀδελφὸν δακρύοις. Ἄλλως. σεαυτὴν ἀποκάλυπτε· ἔκλαιε γὰρ "κρᾶτα θεῖσ' ἔσω πέπλων." B.M.I. ἀπὸ τούτου καὶ ἀνακαλυπτήρια, τὰ διδόμενα δῶρα τοῖς νεονύμφοις ὅταν πρῶτον ἀνακαλύπτωνται τοῖς ἀνδράσι καὶ τοῖς συγγενέσιν ὁρώμεναι. I.

295. ἄπελθε: ἀντὶ τοῦ παῦσαι τῶν δακρύων. B. Fl. 10. εἰς τὸ μὴ κλαίειν μετάβηθι. Gu.

298. ἴσχαινε: λέπτυνε· παρὰ τὸ ἰσχνῶ ἰσχναίω παράγωγον, ὅθεν καὶ ἰσχάς. γράφεται καὶ ἴσχανε, ἀντὶ τοῦ ἔπεχε, πράϋνε, κούφιζε. B.M.I.

299. χρή σε νουθετεῖν φίλα: νουθετεῖν σε τὰ φίλα καὶ παραμυθεῖσθαί σε, τὰ φίλα καὶ προσηνῆ λέγοντα. λείπει οὖν τὸ λέγοντα, τὰ φίλα λέγοντα. B.C.M. παραμυθεῖσθαι. Gr. παραινεῖν. Gu. φίλα ἀντὶ τοῦ φίλως, ἢ ὦ φίλη. Fl. 21. τὰ προσφιλῆ. Gr.

300. αἵδε: αὗται αἱ παρ' ἀλλήλων πρὸς ἀλλήλους ἐγκαίρως γινόμεναι. Gu. Bar.

301. ἀλλ', ὦ τάλαινα: πορευθεῖσα ἔσω τῶν δωμάτων, ἐκταθεῖσα

2. λειποθυμήσαντα] Hoc et ἤγουν μανέντα in Gu. καὶ ὀλιγοψυχήσαντα gl. Fl. 29.

7. ἐσκέπαστο—κρᾶτα] τὸ σκέπας. τοῦτο γὰρ ἐπὶ τὸ μὴ λυπεῖν τὸν ἀδελφὸν τοῖς δακρύοις ἐποίει, ἑαυτὴν καλύπτουσα. ἔκλαιε γὰρ κρᾶτα l. In A. est ἐσκέπαστο γὰρ ἐπὶ τῷ μὴ λυπεῖν τὸν ἀδελφὸν καὶ δακρύων σεαυτὸν ἀποκαλύπτω. ἔκλαιε γὰρ κρατηθεῖσα εἴσω πέπλων :— unde ἐσκέπαστο scripsi pro ἐσκεπάσατο, quod est in B.M.I.

8. δακρύοις] τοῖς δακρύοις M.

ib. σεαυτὴν] σαυτὴν B.

13. ἀντὶ τοῦ om. Fl. 10.

15. ἴσχαινε] Sic B. in textu, ἰσχάινε, superscripto a m. pr. ν, in lemmate scholii. Totum scholion sic scriptum in A. ἴσχαινε ἀντὶ τοῦ ἔπεχε, πράϋνε, κούφιζε, ἴσχανε δὲ ἀντὶ τοῦ λέπτυνε παρὰ τὸ ἴσχω ἰσχάνω παραγώγως, ὅθεν καὶ ἰσχάς. In C. ἴσχανε (sic) ἀντὶ τοῦ ἔπεχε, παῦε, κούφιζε, λέπτυνε, παραμυθοῦ, παρὰ τὸ ἰσχνῶ ἰσχνήσω παραγώγως, ὅθεν ἰσχάς :—

ib. παράγωγον] παραγώγως M.

16. γράφεται γὰρ ἴσχανε M. Pro his in B.I. lemma est ἴσχαινε.

19. λείπει—φίλα λέγοντα] λοιπὸν οὖν τὸ λέγοντα φίλα λέγοντα :— C.

δὸς ὕπνῳ τὸ ἄυπνον βλέφαρον, (ἀντιστρόφως, ἀντὶ τοῦ ἐκταθεῖσα δὸς ὕπνον τῷ ἀύπνῳ βλεφάρῳ,) καὶ τροφὴν λάβε, λουτρά τε βάλλε ἐπὶ τῷ σώματι, τουτέστι νίψαι· εἰ γὰρ ἀφήσεις ἐμὲ, ἢ ἐν τῇ προσεδρείᾳ καὶ τῇ προσμονῇ κτήσῃ τινὰ νόσον, ἐφθάρμεθα· σὲ γὰρ μόνην ἔχω βοηθὸν, τῶν ἄλλων, ὡς ὁρᾷς, ὧν μεμονωμένος καὶ ἐστερημένος. I.

302. ὕπνῳ: πρωθύστερον. Fl. 6. 9. 56. 59. 76. βλέφαρον: τὸ ὄμμα. Gu. ἐκταθεῖσα: πρὸς τὴν κλίνην ἀνακλιθεῖσα. Gu.

303. σῖτόν τ' ὄρεξαι: διὰ τούτων λέγει, μὴ ἄγαν ἀγρύπνει καὶ λιμῷ διάφθειρε σεαυτὴν, ἵνα μὴ νοσήσῃς. εἰ γὰρ τῷ προσεδρεύειν κτήσῃ νόσον τινὰ καὶ ἀποστῇς, κἀγὼ τῆς σῆς παρουσίας ἐστερημένος ἀπόλλυμαι. A.B.C.M. ἔκτεινον τὴν χεῖρά σου εἰς τροφὴν, ἀντὶ τοῦ ἐκτείνασα τὴν χεῖρα βάλε. εἰ γὰρ καταλίπῃ με, ἀπολιγωρήσασα τῆς νοσοκομίας, ἀπόλλυσαι. B. τροφὴν λάβε. Gr. σεαυτῇ. Gu. λουτρά: καθάρσια. Gu. ἀντὶ τοῦ νίψαι. Gr.

βάλεν: Αἰολικὸν, βαλοῦ. Gu.

304. προλείψεις: ἀφήσῃς, ἤγουν ἐὰν ἀποθάνῃς. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. καταλείπεις με ἀπολιγωρήσασα τῆς νοσοκομίας ἐν τῷ προσεδρεύειν μοι. Fl. 10.

307.—315. οὐκ ἔστι: οὐκ ἔστι δυνατὸν δηλονότι τοῦτο· σὺν σοὶ θελήσω καὶ θανεῖν καὶ ζῆν· διάκειται γὰρ ὁμοίως καὶ ζῆν με καὶ ἀποθανεῖν δηλονότι· ἐὰν γὰρ ἀποθάνῃς σὺ, γυνὴ, οὖσα δηλονότι, τί δράσω; πῶς μόνη βιώσω, ἀνάδελφος, ἀπάτωρ, ἄφιλος; εἰ δὲ ἀρέσκει σοι, πρέπει δρᾷν τάδε, ἃ εἶπας δηλονότι. ἀλλὰ κλῖνον τὸ δέμας εἰς τὴν κοίτην, καὶ μὴ τὸ ταρβοῦν καὶ ἐκφοβοῦν, ἤτοι τὸ φοβεῖσθαι ποιοῦν σε ἐκ τῶν δεμνίων καὶ τῆς κοίτης, ἄγαν ἀποδέχου, ἤτοι πίστευε ἀληθῶς εἶναι, μένε δὲ ἐπὶ τοῦ στρωτοῦ λέχους, ἤτοι ἐπὶ τοῦ σοῦ στρώματος. κἂν μὴ νοσῇς γὰρ, ἀλλὰ ὑπολαμβάνῃς νοσεῖν, κάματος καὶ κακοπάθεια ἀπορία τε, ἤτοι ἀπελπισμὸς τῆς ὑγείας, σοὶ δηλονότι, ὡς καὶ τοῖς ἄλλοις βροτοῖς. ἔστι δὲ κακόσχημον εἰς ὑπερβολήν· ἄλλως γὰρ ἤρξατο καὶ ἄλλως ἀπέδωκεν. I.

9. τούτων λέγει] τοῦτο φησὶ A.B.C.
ib. ἀγρύπνει] ἀγρυπνίᾳ A.
10. διάφθειρε] διαφθεῖραι M. διαυθηρήσης (sic) C.
ib. σεαυτὴν] σαυτὴν A.B. αὐτὴν C.

11. ἐστερημένος] στερούμενος M.
12. ἔκτεινον—βάλε] Haec etiam in M.
20. οὐκ ἔστι] Παράφρασις praescriptum in I.

οὐκ ἔστι: ἐπειδὴ εἶπεν αὐτὸς, εἰ γὰρ προλείψεις με, φησὶν ὅτι οὐ προλείψω σε. A.C. οὐχ ὑπάρχει τοῦτο παρ' ἐμοὶ, ἤγουν οὐκ ἀποδέχομαι σὲ μόνον ἐᾶσαι ἐνταῦθα κεῖσθαι, αὐτὴ δὲ τροφαῖς καὶ ὕπνῳ προσέχειν. Gu. I. οὐκ ἔστι: ἀντὶ τοῦ οὐ προλείψω σε. B. Fl. 10. αἱρήσομαι: βουλήσομαι. Gu. Fl. 21. προκρίνω. Gu.

308. ἔχει γὰρ ταυτόν: ὁμοίως ἔχουσιν ἐμοὶ ἀμφότερα· ὁ γὰρ σὸς θάνατος καὶ ἐμὸς θάνατός ἐστι καὶ ἡ σὴ ζωὴ ἐμὴ ζωή. ἥκιστα γάρ μοι τὸ ζῆν ἥδιστον σοῦ θανόντος, μᾶλλον δὲ καὶ νέκρωσις νομισθήσεται, διὰ τὸ ἔρημον ἀπολειφθῆναί με βοηθείας. Gu. I. ἔχει γὰρ ταυτόν: τὸ ζῆν με καὶ ἀποθανεῖν ταυτόν ἐστιν, ἐὰν σὺ τελευτήσῃς. ἢ τὸ ἔχει ἀντὶ τοῦ σχήσει. ὁ δὲ λόγος, ἐὰν σὺ ἀποθάνῃς, ταυτόν μοι πάθος γενήσεται, ὅ ἐστι, κἀγὼ συντεθνήξομαί σοι. A.B.C.M.I. ἕξει γὰρ ταυτόν με πάθος ὅπερ καὶ σέ. M. ἕξει ἐμὲ πάθος ὃ καὶ σὲ, ἤτοι κἀγὼ συντεθνήξω. Fl. 10.

310. εἰ δὲ σοὶ δοκεῖ: τουτέστιν, εἰ βούλει με φυγεῖν, πείθομαι. C.M.

311. δρᾶν χρὴ τάδε: κατὰ συνεκδοχὴν καὶ πρὸς τὸ δοκεῖ καὶ πρὸς τὸ χρή ληπτέον. Gu. I.

313. καὶ μὴ τὸ ταρβοῦν ἄγαν ἀποδέχου: μὴ ἐν ὑποψίᾳ ἔχε μηδὲ φαντάζου τὸ ἐκφοβοῦν σε. ἀποδέχου δὲ ἀντὶ τοῦ ὑποδέχου, προσδέχου. A.B.C.M. τουτέστι μὴ ἔχε τὴν ὑποψίαν κατὰ νοῦν ἀεὶ τῆς μανίας· τοῦτο γάρ ἐστι τὸ ἄγαν ἀποδέχου. ταρβοῦν δὲ ἐκ δεμνίων λέγει, οὐχ ὅτι τὰ δέμνια ἐποίει αὐτὸν μαίνεσθαι, ἀλλ' ὅτι κείμενος ἐκεῖ φόβον ἐξ Ἐριννύων ἐδέχετο, κατεχόμενος τῇ μανίᾳ. Gu. I.

314. κἂν μὴ νοσῇς: Καλλίστρατος τὴν ἐκτὸς τοῦ σ γραφὴν

1. αὐτὸς] αὐτὴν C.
2. ἐμοὶ] ἐμοῦ Gu.
4. προλείψω] προλείψει Fl. 10.
6. ὁμοίως] ἤγουν ὁμοίως I.
7. καὶ ἐμὸς] καὶ ἐμοὶ Gu.
ib. θάνατος om. I.
9. με om. Gu.
10. τὸ ζῆν] ἄλλως praefixum in I. sine lemmate.
ib. ἀποθανεῖν] με addunt B.I.
ib. ἐστιν om. A.
11. τελευτήσῃς] φθαρῇς C. qui reliqua omittit.
ib. σχήσει] σχήσῃ M.
ib. ἀποθάνῃς] ἀποθάνῃ M.
12. πάθος] παθεῖν A.
ib. συντεθνήξομαι] τεθνήξομαι I.
17. ληπτέον om. I.
18. μὴ ἐν ὑποψίᾳ A. ἂν (sic) ὑποψίᾳ C. (qui ἄγαν ἀ. μὴ om.) καὶ (καὶ om. M.) μὴ τὴν ὑποψίαν B.M.
19. ἀποδέχου — προσδέχου om. C. Pro προσδέχου in A. est προσδόκα τὴν ἐκτός ubi τὴν ἐκτὸς ex scholio proximo illatum, etsi illic in A. non hoc, ut in aliis, sed χωρίς legitur.
ib. δὲ om. M.

διδάσκει, κἂν μὴ νοσῇ γὰρ, ἀλλὰ δοξάζῃ νοσεῖν, ἵν᾽ ᾖ ἀπὸ τοῦ Ὀρέστου εἰς τὸ κοινὸν μεταβεβηκὼς ὁ λόγος. B.M.I. δοξάζῃς ἀντὶ τοῦ δοξάζῃ τις, ὡς τὸ "φαίης κε ζάκοτόν τ᾽ ἔμμεναι." B.M.

Τοῦτο καθολικῶς ἔδει ἐξενεγκεῖν οὕτω· κἂν μὴ νοσῇ τις, ἀλλὰ δοξάζῃ νοσεῖν, κάματος αὐτῷ καὶ ἀπορία γίνεται. νῦν δὲ τὸ μὲν ἥμισυ τοῦ γνωμικοῦ πρὸς τὸν Ὀρέστην ἐπέφερε, τὸ δὲ ἥμισυ καθόλου εἶπεν. ἔστι δὲ τοῦτο καινόσχημον, εἰ καὶ ὁ Καλλίστρατος τὴν ἐκτὸς τοῦ σ διδάσκει γραφήν. καὶ μὴν καὶ ἑτέρα καινότης ἐστὶν ἐνταῦθα· ἡ γὰρ πρότασις ἑνικῶς ἐκφέρεται, ἡ δὲ ἀπόδοσις πληθυντικῶς, δηλοῦντος τοῦ ποιητοῦ ὅτι εἰς πάντας τοὺς ἀνθρώπους τοῦτο γίνεται. Gu. I. δοξάζῃς: φαίνεσαι νῦν. ἐκ τούτου γὰρ τοῦ δοξάζειν ἡμᾶς τοὺς ἀσθενεῖς ἀπηλλαγμένους τῆς νόσου ἀμελεῖται, καὶ οὕτως γίνεται κάματος. Fl. 21. ἕπεται γὰρ ἐκ τῆς νόσου τοῖς ἀνθρώποις ἄρτι ληγούσης ἡ ταλαιπωρία. Fl. 18.

315. κάματος: σοὶ τῷ Ὀρέστῃ ἀσθενεῖ. Fl. 33. κακοπάθεια, ἀγανάκτησις. Gu. ἀπορία: ἀσθένεια. Fl. 59. ἀδυναμία. Fl. 18. ἀπόγνωσις. Gu.

316. αἶ αἶ: ὦ θεαὶ δρομικαὶ καὶ ταχεῖαι καὶ σεβάσμιαι, αἵτινες ἐλάχετε ἐν δάκρυσι καὶ ἐν γόοις χορὸν κακοβάκχευτον, ἤτοι λυπηρὸν, εἰς ὃν οὐκ ἔστι δηλονότι βακχεύσασθαι καὶ χαρῆναι, μέλαιναι Εὐμενίδες (κατ᾽ εὐφημισμόν· δυσμενίδες γάρ εἰσι κατὰ τὸν ὀρθὸν καὶ ἀληθῆ λόγον.) αἵτινες κινεῖσθε ἀνὰ τὸν ἐπὶ πολὺ τεταμένον ἀέρα, λαμβάνουσαι δίκην, παρακαλῶ, ἐάσατε τὸν υἱὸν τοῦ Ἀγαμέμνονος, ὥστε λήθην λαβεῖν τῆς σφοδρᾶς μανίας τῆς ὁρμητικῆς. φεῦ ἕνεκα τῆς κακοπαθείας καὶ τῶν δυστυχιῶν, οἵων κακῶν, ὦ τάλας, ἐπιθυμή-

1. νοσῇ] νοσήσῃ M.
ib. δοξάζῃ] δοξάζει M.
ib. ᾖ om. M.
2. μεταβεβηκὼς] καταβεβηκὼς I.
ib. δοξάζῃς—δοξάζῃ] δοξάζεις—δοξάζει M. In B. est, ἄλλως. κἂν μὴ νοσῇ τις, ἀλλὰ δοξάζῃ, ὡς τὸ "φαίης κε ζάκοτόν τ᾽ :— In A. totum scholion sic scriptum, καλλίστρατος χωρὶς τοῦ σ γράφειν δοκιμάζει, κἂν μὴ νοσῇς, ἀλλὰ δοξάζεις νοσεῖν, ἵν᾽ ᾖ ἐκ τοῦ ὀρέστου ἐπὶ τὸ κοινὸν μεταβεβηκὼς ὁ λόγος :—
3. ὡς τὸ] Hom. Il. 3, 220. ubi ζάκοτόν τέ τιν᾽ ἔμμεναι.
4. Τοῦτο] ἄλλως. τοῦτο I.
ib. νοσῇ] δόξῃ Gu.
7. καινόσχημον] κακόσχημον I. licet sequatur καινότης.
ib. εἰ καὶ] ληρῶν add. I.
8. ἑτέρα] ἑτέρως I.
10. τοῦτο γ.] γ. τοῦτο I.
20. εἰς ὃν e Gu. addidi, in quo haec explicatio, ut pleraeque aliae hujus paraphraseos, pro glossa scripta est. Sic mox κατ᾽ εὐφημισμὸν in Gr. et δυσμενίδες—λόγον in Gu., in quibus ordinem vulgatum κατὰ τὸν ὀρθὸν λόγον καὶ ἀληθῆ ex eodem libro mutavi. MATTH.

σας ἔρρεις καὶ φθείρῃ τὴν ἀπόφασιν τοῦ τρίποδος, ἤτοι τὴν κακὴν μαντείαν, ἣν ὁ Φοῖβος εἶπε κατὰ τὴν γῆν, ὅπου λέγονται εἶναι δηλονότι οἱ μεσόμφαλοι μυχοὶ τῆς γῆς, ἤτοι αἱ καταδύσεις καὶ οἰκήσεις. I.

317. *δρομάδες: πανταχοῦ περιτρέχουσαι, καὶ τιμωρούμεναι τοὺς ἀνθρώπους, ἢ περιτρέχειν ποιοῦσαι τοὺς μεμηνότας.* A.B. C.M.I.

318. *Ποτνιάδες: ἀπὸ τῶν Ποτνιάδων ἵππων μετήνεγκεν, αἳ μανεῖσαι ἔφαγον τὸν Γλαῦκον.* B.M. *μανιοποιοί. Πότνιαι γὰρ χωρίον ἐστὶ Βοιωτίας, ἔνθα φαγοῦσαι βοτάνην αἱ Γλαύκου ἵπποι καὶ μανεῖσαι διεσπάσαντο τὸν ἴδιον δεσπότην Γλαῦκον, τὸν Βελλεροφόντου πατέρα, ἐν τῷ ἐπιταφίῳ Πελίου. Πότνιαι δὲ πόλις Βοιωτίας, ὅθεν ὁ Γλαῦκος γευσάμενος ἐμμανὴς γέγονε καὶ ἥλατο εἰς τὴν θάλασσαν ὁ Ἀνθηδόνιος.* B.C.M.I.

Ποτνιάδες: κακομανιοποιοί. Fl. 21. *μανιοποιοί. Πότνια γὰρ χώρα ἐστὶ Βοιωτίας, ἔνθα μανεῖσαι αἱ Γλαύκου ἵπποι τὸν ἴδιον δεσπότην Γλαῦκον διεσπάραξαν. Ἄλλως. Ποτνιάδας φησὶ τὰς Ἐριννύας ἀφ' ἱστορίας τοιαύτης. Πότνιά ἐστι τόπος ἐν τῇ Βοιωτίᾳ· ἐφύοντο γοῦν ἐκεῖ βοτάναι μανίας ἐμποιητικαί, εἰς ὅν, ὡς λόγος ἐρεῖ, παραγενόμενος καὶ Γλαῦκος μετὰ τῶν ἵππων αὐτοῦ γευσάμενος τῶν βοτανῶν καὶ ἐμμανεῖσαι διέφθειραν τὸν Γλαῦκον. ἐπειδὴ καὶ Ἐριννύες αἴτιαι μανιῶν εἰσι, διὰ τοῦτο ταύτας φησὶ Ποτνιάδας.* Fl. 6. *σεβάσμιαι κατ' εὐφημισμόν, μανοποιοί.* Gu.

319. *ἀβάκχευτον: ἤτοι κακοβάκχευτον, τὸν κακὴν ἔχοντα βακ-*

5. *πανταχοῦ—μεμηνότας*] *αἱ πανταχοῦ τρέχουσαι, ἢ αἱ πανταχοῦ τρέχειν ποιοῦσαι τοὺς μαινομένους* Gu. Post *μεμηνότας* B.I. pergit, *ποτνιάδες δὲ μανιοποιοί* etc.

ib. *τιμωρούμεναι—ποιοῦσαι*] *τιμωροῦσαι—ποιοῦσαι καὶ* C.

9. *μανιοποιοί* gl. interlineare in M.

ib. *χωρίον*] *χῶρα* (sic) A.

10. *βοτάνην* A.B.C.M. *βοτάνον* I. errore typothetae *αἱ* om. C.

11. *τὸν Βελλεροφόντου* (*Βελεροφόντου* A.C.) *πατέρα* om. I.

12. *Πελίου*] *ὀρπεδίου* A. *πέλει τὸ* C.

ib. *Πότνιαι* (*ποτνιάδες* A.C.)] *ἄλλας* praefixum in I.

ib. *δὲ* A M. *οὖν* B. *γοῦν* I.

ib. *πόλις* om. C.

ib. *ὅθεν ὁ*] *ὅθεν καὶ* A.B. *ὁ* vel *καὶ* om. C.

13. *γευσάμενος* om. I. Fuit in B., in quo nunc decem fere literarum lacuna. Integrum servarunt A.M.

ib. *ἥλατο*] *ἥλλατο* B. *ἥλλατο* C.

ib. *ὁ Ἀνθηδόνιος* om. I.

15. *μανιοποιοί*] *μανοποιαί* Fl. 6.

19. *μανίας*] *μανίαν* Fl. 6.

20. *γευσάμενος* om. Fl. 6. in lacuna. Supplevi ex l. 13.

24. *τὸν κ. ἔ. βακχείαν* om. C.I.

χείαν, οὐ πρέπουσαν τῷ Διονύσῳ, ἀλλ' ἐν θρήνοις καὶ γόοις ἐξεταζόμενον, ἢ παρόσον ἄοινα καὶ νηφάλια ταῖς θεαῖς ταύταις τὰ ἱερὰ συντελεῖται, ἢ τὸν μεγάλως ἐκβακχεύοντα. A.B.C.M.I. ἀβάκχευτον καὶ δυσβάκχευτον, οὐ βακχεύουσαι, ὡς ὁ Βάκχος, ἀλλὰ κακῶς. Fl. 21. θίασον: κλῆρον. Fl. 21.

321. μελαγχρῶτες: μέλαιναι· χθόνιαι γάρ εἰσιν, ἢ μελαίνουσαι τοὺς νοσοῦντας, ὡς καὶ πρὸς τὸν Μενέλαον ὁ Ὀρέστης φησὶν "ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας." A.B.M.I. αἱ μέλανα χρῶτα ἔχουσαι. Fl. 21. μελανσώματοι. Fl. 9. τοῦτο λέγει διὰ τὸ τοὺς μαινομένους μέλανας τὸ χρῶμα ποιεῖν. Gu.

Εὐμενίδες: Ἐριννύες θεαὶ τρεῖς παρ' Ἕλλησιν, ἔφοροι φόνου καὶ τιμωρούμεναι τοὺς φονεῖς. καλοῦνται δὲ Ἀληκτὼ, Μέγαιρα καὶ Τισιφόνη. Gu. I.

322. τὸν ταναὸν αἰθέρα: ἀνὰ τὸν αἰθέρα πάλλεσθε πτερωταὶ οὖσαι. Ὅμηρος "ἠεροφοῖτις Ἐρινύς." ταναὸν δὲ αἰθέρα τὸν λεπτομερῆ τροπικῶς· τὰ γὰρ τεινόμενα τῶν σωμάτων λεπτύνεται. τὸ δὲ ἀμπάλλεσθε, ὡς ἀνακινουσῶν αὐτῶν τὸν ἀέρα ἐμφαντικῶς, τουτέστιν ἀναπάλλεσθε τοῖς πτεροῖς, κατὰ τὸν Ὁμηρικὸν Ποσειδῶνα, τὸν σείοντα τοῖς ποσὶ τὴν γῆν καὶ τῇ πορείᾳ τὸ ὄρος. A.B.C.M.I.

323. τὸ δὲ τινύμεναι δίκαν ἀντὶ τοῦ τιμωρίαν λαμβάνουσαι ὑπὲρ αἵματος καὶ φόνου. A.B.M.I.

Pro πρέπουσαν et ἐξεταζομένην, quod est in B.M., in A.I. est πρέποντα et ἐξεταζόμενον. In C. est πρέποντα τῷ βάκχῳ ἤγουν τῷ διονύσῳ :— reliquis omissis.

1. τῷ om. I.

2. ταύταις] ταῦτα A.

ib. συντελοῖται] τελεῖται I.

6. ἢ] ἢ αἱ I.

7. ὡς καὶ] ὡς δὲ M.

8. κόρας om. B.

14. ἀνὰ τὸν—] In A. τὸν λεπτομερῆ—λεπτύνεται. ἐμφαντικῶς τὸν αἰθέρα ἀμπάλλεσθαι ὡς ἀνακινουσῶν αὐτῶν τὸν ἀέρα τοῖς πτεροῖς κατὰ τὸν ὅμηρον (ὁμηρικὸν C.) ποσειδῶνα τὸν εἰπόντα καὶ τῇ πορείᾳ τοῖς ποσὶ σείοντα τὸ ὄρος. ἄλλως. ἀνὰ τὸν αἰθέρα πάλλεσθαι πτερωταῖς οὔσαις. καὶ ὅμηρος ἠερόφοιτις ἐρινύς :— In C. τὸν ταναὸν αἰθέρα τὸν λεπτομερῆ μεταφορικῶς. τὰ γὰρ— λεπτύνεται. ἐμφαντικῶς ἀμπάλλεσθε ὡς et reliqua ut A. usque ad σείοντα τοὺς (sic) ὄρους :—

15. Ὅμηρος] Il. 9, 571. ἱεροφοῖτις M.

ib. ταναὸν δὲ] δὲ om. M.

16. τροπικῶς om. I.

ib. τὸ δὲ] δὲ om. M.

17. ἀνακινουσῶν αὐτῶν ego correxi. ἀνακινοῦσιν αὐτὸν B.M. ἀνακινούσαις αὐτὸν I.

19. τὴν γῆν om. M.

20. τὸ δὲ om. M. ubi haec annotatio supra versum scripta est. Neque ἀντὶ τοῦ habet.

Ἄλλως. πῶς δὲ ἐνταῦθα λέγει "τιννύμεναι φόνον;" οὐ γὰρ ἀνταποδιδοῦσιν αὗται φόνον, ἀλλὰ μᾶλλον ἐκδικοῦσι τοὺς φόνους. λέγομεν οὖν ὅτι ἐξ ὧν ποιοῦσι τοὺς φονεῖς μαίνεσθαι παραπλήσιον ποιοῦσιν ὥσπερ ἂν εἰ καὶ ἐφόνευον. ἢ τὸ τιννύμεναι φόνον ἀντὶ τοῦ τιμωρούμεναι νοητέον τοὺς φονεῖς· τίω γὰρ οὐ μόνον τὸ ἀνταποδίδωμι, ἀλλὰ καὶ τὸ τιμῶ καὶ τὸ τιμωρῶ· ἵν' ᾖ τὸ μὲν αἵματος τιννύμεναι δίκην ἀντὶ τοῦ ἀναποδιδοῦσαι, τὸ δὲ τιννύμεναι φόνον ἀντὶ τοῦ ἐκδικοῦσαι τὸν φόνον καὶ τιμωρούμεναι τοὺς φονεῖς. ἢ εἰ τὸ φόνων μεγαλογραφεῖται, λάβοις ἂν ἀπὸ κοινοῦ τὸ δίκαν, καὶ τὸ τιννύμεναι, ὡς καὶ τὸ πρῶτον, ἐρεῖς. Gu. αἵματος, ἤγουν λαμβάνουσαι δίκην φόνου, τουτέστι κολάζουσαι διὰ φόνον (φόνου Florr.), ἤγουν φονεύουσαι. Gr. Fl. 6. 9. 21. 56. 57. 76.

327. φοιταλέου: ὁρμητικῆς. Gr. τῆς ποιούσης τοὺς μαινομένους ὁρμᾶν. Gu. τῆς λύσσης τῆς τοὺς μαινομένους ποιούσης φοιτᾶν, ὅ ἐστι περιιέναι. M.

μόχθων: τὸ φεῦ μόχθων καθ' ἑαυτὸν, τουτέστι δυστυχής ἐστι χάριν τῶν μόχθων. B.M. λύσσα καὶ μανία καὶ φοῖτος ἔνεστι. B.M. πόνων λέγω τῶν τῆς μητρὸς φόνου ἔργων. Gu.

328. οἵων, ὦ τάλας, ὀρεχθείς: ἐπιθυμήσας· ἐκτείνεται γὰρ τὴν διάνοιαν ὁ ἐπιθυμῶν πρὸς τὸ ποθούμενον. τοῦτο κατ' ἰδίαν ἀναπεφώνηκεν· ἢ τὸ φεῦ συντέτακται, ἵν' ᾖ, φεῦ, ἰὼ Ζεῦ, οἵων μοχθων ὁ τάλας ὀρεχθεὶς ἔρρεις. M. ὡς πρὸς αὐτὸν ἀπέτεινε τὸν λόγον· οἵων πραγμάτων σὺ ὁ τάλας ἐπιθυμήσας (λέγει δὲ τοῦ φόνου τοῦ κατὰ τῆς μητρὸς)

1. φόνον] δίκην Gu.

ib. ἀνταποδιδοῦσι φόνον αὗται—ἐξ ὧν ποιεῖσθαι ἢ ποιοῦσι—δίκαν ἀντὶ τοῦ ἀποδιδοῦσαι I.

14. φοιτᾶν—περιιέναι] Haec etiam in Fl. 21. In C. est λύσας. τῆς λύσσης καὶ τῆς τοῦ μαίνεσθαι ποιούσης καὶ φοιτᾶν ὅ ἐστι περιιέναι μανίας:—In M. τῆς λ. καὶ τοῦ μαίνεσθαι ποιοῦσι etc.

17. λύσσα] λύσσα δὲ M.

19. ἐπιθυμήσας—] In M. hoc scholion sequitur post ἀναπεφώνηται, quo finitur schol. v. 332. Ad ὀρεχθείς in A.M. est etiam (M. in altera margine) ἐπιθυμήσας. ἐκτείνονται γὰρ τὴν διάνοιαν οἱ ἐπιθυμοῦντες. Similiter in B. ἐπιθυμήσας ὁ γὰρ ἐπιθυμῶν ἐκτείνεται ὥσπερ τὴν διάνοιαν πρὸς τὸ ποθούμενον.

20. πρὸς τὸ ποθούμενον om. M. Inserui ex scholio B. modo memorato.

ib. Verba τοῦτο κατ' ἰδίαν ἀναπεφώνητον (corr. ἀναπεφώνηται) in Fl. 10. ad ἰὼ Ζεῦ (v. 332.) sunt adscripta.

22. ὡς om. M.

23. σὺ om. M.

ib. ὁ τάλας B.M. ὦ τάλας I. ὁ τάλας B. etiam in textu.

οἴχῃ καὶ διέφθαρσαι, ἀπὸ τοῦ τρίποδος δεξάμενος τὴν μαντείαν, ἣν ὁ Φοῖβος ἔλακεν. B.M.I.

οἵων: δι' οἵων, κακῶν δηλονότι, ἔρρεις ἑαυτὸν κτεῖναι, φθείρεις ἑαυτόν. Fl. 21. ὀρεχθείς: ἀγαπήσας. Fl. 33.

329. ἀπόφατιν δὲ πρόσταξιν, ἀπόφασιν κατ' ἐκεῖνο τὸ πέδον. B.

330. δεξάμενος: ὁ οἰκῶν. Fl. 18. σύ. Gu. ἀνὰ δάπεδον: κατὰ τὴν γῆν. Gr. ἔδαφος. ἤγουν τὸ Ἀπόλλωνος οἴκημα τὸ καλούμενον Δελφούς. Gu.

331. μεσόμφαλα: ὀμφαλὸς κέκληται ἡ Πυθὼ, παρὰ τὸ τὰς ὀμφὰς τὰς ὑπὸ τοῦ θεοῦ χρηστηριαζομένας λέγειν, ἢ παρὰ τὸ εἶναι ἐν μέσῳ τῆς οἰκουμένης τὴν Πυθώ. λέγεται γὰρ τὸν Δία μαθεῖν βουλόμενον τὸ μέσον τῆς γῆς, δύο ἀετοὺς ἰσοταχεῖς ἀφεῖναι, τὸν μὲν ἀπὸ δύσεως, τὸν δὲ ἀπὸ ἀνατολῆς, καὶ ἐκεῖσε αὐτοὺς ἀπαντῆσαι, ὅθεν ὀμφαλὸς ἐκλήθη. ἀνακεῖσθαί τε χρυσοῦς ἀετούς φασι τῶν μυθευομένων ἀετῶν ὑπομνήματα. B.M.I. ἡ Δῆλος γὰρ μεσαιτάτη ἐστὶ τοῦ παντὸς κόσμου, ἢ τῶν Κυκλάδων νήσων. ἢ παρὰ τὰς ὀμφὰς καὶ τὰς φήμας. A.B.C.

λέγονται: καλοῦνται, ᾄδονται. Gu. μυχοὶ γᾶς: καταδύσεις, οἰκήσεις. Gr. κοιλότητες. Gu. καταδύσεις, θεμέλιοι. Fl. 6. 9. 17. 21. 56. 59. 76. περισσὸν ἦν τὸ γᾶς, ἤγουν μυχοὶ γῆς· διὸ καὶ ἐξεβλήθη παρ' ἐμοῦ· ἀρκεῖ γὰρ τὸ δάπεδον. Bar.

332.—339. ἰὼ Ζεῦ: φεῦ, ὦ Ζεῦ. τίς ὁ ἀγὼν οὗτος ὁ φονικὸς

1. τοῦ om. M. Idem ἂν pro ἦν.

5. ἀπόφατιν] Sic B. etiam in textu pro ἄπο φάτιν, ubi recentior manus ἀπόφασιν superscri,.sit.

9. ὀμφαλὸς] δὲ add. A.B.C. In A.C. hic est ordo scholiorum, ἡ δῆλος γὰρ μεσαιτάτη ἐστὶ παντὸς τοῦ κόσμου καὶ τῶν κυκλάδων νήσων, ἢ ὀμφαλὸν τὴν πυθὼ λέγει. λέγεται γὰρ— ἀετοὺς ἀφεῖναι ἰσοταχεῖς, τὸν μὲν—καὶ ἐκεῖσε αὐτοὺς ἀπαντῆσαι. ὀμφαλὸς δὲ κέκληται ἡ πυθὼ παρὰ τὸ ὀμφὰς τὰς ὑπὸ θεοῦ χρηστηριαζομένας (χρηστηριζομένας C.) λέγειν (λέγειν om. C.):—

ib. κέκληται] λέγεται I.

10. ὑπὸ τοῦ θεοῦ] ἀπὸ θεοῦ I.

11. τὴν Πυθώ om. B.I.

12. μέσον] τέλος I. μέσον est etiam in Gu. in quo priora ὀμφαλὸς — οἰκουμένης desunt, sequentia autem sic leguntur: βουλόμενος ὁ Ζεὺς τὸ μέσον τῆς γῆς μαθεῖν δύο αἰετοὺς ἰσοπετεῖς εἰληφὼς ἀφῆκε τὸν μὲν ἐξ ἀνατολῆς, τὸν δὲ ἐκ δυσμῶν. συνηντήθησαν οὖν εἰς Δελφοὺς, ἔνθα τὸ τοῦ Ἀπόλλωνός ἐστι μαντεῖον· ὅθεν καὶ εἰς τούτους κατασκευάσαντες χρυσοῦς ἀετοὺς δύο ἀνέθεσαν ἐκεῖ εἰς ὑπόμνημα τῶν πρόσθεν ἀετῶν.

ib. ἀφεῖναι] ἀφιέναι M.

13. ἐκεῖσε] ἐκεῖ I.

ib. ἀπαντῆσαι] συναντῆσαι B.I.

15. ὑπομνήματα] ἀπομιμήματα Valck. ad Theocr. Adon. p. 403.

20. περισσὸν—] Annotatio Triclinii.

ἔρχεται παρακινῶν σὲ τὸν ἄθλιον, ᾧτινι, ἤγουν σοὶ, δάκρυα δάκρυσι συμβάλλει καὶ συνάπτει τις τῶν ἐχθρῶν, κινῶν εἰς τοὺς δόμους τῶν φόνων τῆς σῆς μητρός. κατολοφύρομαι, λίαν θρηνῶ, σε δηλονότι. I.

332. ἰὼ Ζεῦ; πρὸς τὸ ἄνω σχετλιαστικὸν μετὰ ἤθους ἀναπεφώνηται. M.

ἰὼ Ζεῦ: ὦ ἐπὶ ἀποτροπῇ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

333. τίς ἔλεος: εἰς τὸ τίς ἔλεος στιγμὴν δεδωκότες λείπειν τῷ λόγῳ φήσομεν τὸ γενήσεται καὶ τὸ τίς ἀντὶ τοῦ οὐδεὶς, ἵν' ᾖ ὁ νοῦς οὕτως, τίς ἔλεος γενήσεται τῷ Ὀρέστῃ, ἀντὶ τοῦ οὐδεὶς ἐλεήσει σε, Ὀρέστα. Ἄλλως. τίς ἄρα, φησὶ, τοῦτον ἐλεήσει; τίς δὲ ὁ κίνδυνος οὗτος καὶ ἡ μανιώδης νόσος ἐπέρχεται ἐπὶ σὲ τὸν μέλεον, ταχύνων σε καὶ ἐξεγείρων, τουτέστιν ἆρα δαίμων τις ἐπιπέμπει τούτῳ τὰς Ἐρινύας. Ἢ καὶ ἄλλως. τίς ἐλεήσει αὐτὸν, ἔξωθεν ἀκουσόμεθα τὸ οὐδείς. διὰ τί; οὗτος γὰρ αὐτῷ ὁ κίνδυνος, ὁ ἐκ τῶν Ἐρινύων ἐπέρχεται φόνιος, μεθ' ὁρμῆς φερόμενος ἐπὶ σὲ τὸν μέλεον. Ἄλλως. τίς ἔλεός ἐστι τούτῳ τῷ Ὀρέστῃ, ᾧ δάκρυα δάκρυσι συμβάλλεταί τις ἀλάστωρ, πορεύων εἰς δόμους, ἀντὶ τοῦ ἕλκων αὐτὸν τῇ

6. ὦ ἐπὶ ἀποτροπῇ] ἐπιαποτροπὴ, sine ὦ Florr.

7. τίς ἔλεος—] ἰὼ ζεῦ τίς ὄλεος. λείπει τὸ γενήσεται, ἵν' ᾖ ὁ νοῦς, τίς ἐλεήσει σε, ὀρέστα, τίς δὲ ὁ κίνδυνος— ταχύνων καὶ ἐξεγείρων. τίς ὅδ' ἀγὼν φόνιος ἔρχεται ἕως τοῦ ματέρος αἷμα σᾶς. τὸ ἑξῆς, τίς ὅδ' ἀγὼν φόνιος ἔρχεται θοάζων μέλεον, ᾧτινι ἀγῶνι δάκρυα δάκρυσι συνεισάγει τῶν ἀλαστόρων ματέρος αἷμα σᾶς, ὃς ἀνακινεῖ πορεῦον (corrige πορεύων) καὶ μαίνεσθαι κατὰ τοὺς δόμους:—ᾧ δάκρυσιν συμμίσγει ἀλλ' ἐπάλληλα δακρύων, οἷον ἐπὶ τοῖς δάκρυσι συνάπτει δάκρυα. ἄλλως. τίς ἔλεός ἐστι τούτῳ τῷ ὀρέστῃ, τίς, ὦ ζεῦ, ᾧ δάκρυα δάκρυσι συμβάλλεταί τις ἀλάστωρ, πορεύων εἰς δόμους αὐτὸν, ἀντὶ τοῦ περιέλκων τῇ μανίᾳ, καὶ ἀναβακχεύων κατὰ τῶν οἴκων, ὅστις ἀλάστωρ ἀνέγειρε τὸ αἷμα τῆς μητρός. τινὲς δὲ ἤκουσαν εἰς ἀλαστόρων δόμον ἀντὶ τοῦ εἰς ᾅδου, τίς πορεύεσθαι αὐτῷ ποιεῖ εἰς τοὺς καταχθονίους ἢ εἰς δόμους ἀλαστόρων ἀντὶ τοῦ εἰς δόμους ......σα ἢ σὲ τὸν ὀρέστην:— A. τίς ὅδ' ἀγὼν ἕως τοῦ ὃς ἀναβακχεύει. τίς φόνιος οὗτος ἀγὼν ματέρος αἷμα σᾶς ὃς ἀναβακχεύει. ἔρχεται θοάζων σὲ τὸν μέλεον, ᾧτινι τῷ ἀγῶνι δάκρυα δάκρυσι συμμίσγει τίς τῶν ἀλαστόρων μαίνεσθαί σε ποιῶν κατὰ τοὺς οἴκους:—ὅσ' ἀναβακχεύει. τινὲς στίζουσιν ὅσ' ἀναβακχεύει ἵνα ᾖ ὅπερ σε τὸ αἷμα καὶ ὅς σε ἀναβακχεύει ἀλάστωρ σε ἀνακινεῖ καὶ ποιεῖ μαίνεσθαι:— C.

ib. στιγμὴν] στιγμὴ M.

8. καὶ τὸ Matth. pro καὶ τὸ ἄλλο, quod ex καὶ τὸ πρῶτον corruptum esse potest.

ib. ὁ νοῦς om. I.

9. τῷ Ὀρέστῃ om. M.

ib. ἀντὶ τοῦ οὐδεὶς] ἀντὶ τοῦ τίς M.

12. ἆρα] ἄρα I.

13. Ἢ om. M.

14. ἀκουσόμεθα] ἀκούσομεν I.

15. ἐπέρχεται] ἔρχεται B.I.

16. Ἄλλως om. I.

μανίᾳ καὶ ἀναβακχεύων κατὰ τὸν οἶκον, ὅστις ἀλάστωρ ἐγείρει τὸ αἷμα τῆς μητρός. B.M.I.

Ἄλλως. τίς ἔλεός ἐστι τούτῳ τῷ Ὀρέστῃ, ᾧ δάκρυα ἐπιβάλλει τις τῶν ἀλαστόρων δαιμόνων, τὸ αἷμα τῆς μητρὸς πορεύεσθαι καὶ διατρέχειν αὐτὸν κατὰ τὸν οἶκον ποιοῦν. τινὲς δὲ ἤκουσαν τὸ ἀλαστόρων δόμον ἀντὶ τοῦ εἰς Ἅιδου, κατὰ τὸν οἶκον τῶν ἀλαστόρων. καὶ τίς δὲ ἡ νόσος πορεύεσθαι αὐτὸν ποιοῦσα εἰς Ἅιδου; ἡ δὲ παρακοπὴ, οἵων μόχθων ἐπιθυμήσας, ὦ τάλας, διέφθαρσαι, δεξάμενος ἀπὸ τοῦ τρίποδος τὴν μαντείαν, ἣν ὁ Ἀπόλλων εἶπε κατὰ τοὺς Δελφοὺς, ἔνθα γῆς ὀμφαλὸς λέγεται. τίς ἐλεήσει αὐτὸν, ὦ Ζεῦ; τοιοῦτος γὰρ αὐτῷ ἀγὼν ὁ ἐκ τῶν Ἐριννύων ἐπέρχεται διὰ τὸν τῆς μητρὸς φόνον, μεθ' ὁρμῆς φερόμενος. μετέβαλλε δ' ἀπὸ τοῦ περὶ αὐτοῦ λόγου εἰς τὸν πρὸς αὐτόν. I. τίς ὅδ' ἀγών: τίς ὅδε ὁ κίνδυνος φόνιος ἔρχεται, παροξύνων σὲ τὸν μέλεον, ὃς δάκρυα δάκρυσι συνάπτει, τίς, λέγω, τῶν ἐχθρῶν, πορεύων εἰς τὸν δόμον τὸ αἷμα, ἤγουν τὸν φόνον τῆς σῆς μητρὸς, ὃ σὲ ἀναβακχεύει. Gr. I.

τίς ἔλεος: ἔσται σοὶ τῷ Ὀρέστῃ. Gu. ἀντὶ τοῦ, πόθεν ἂν γίνοιτο ἔλεος. Gr. ἀγών: κίνδυνος, νόσος, ἡ καταλαμβάνουσά σε μανία. Gu.

334. φόνιος: φονικὸς, δαιμονιώδης. Gu. ἔρχεται: ἐπέρχεται κίνδυνος καὶ φόβος. B.

335. θοάζων: ἐπιδιώκων, ταχύνων, διεγείρων, ἐκμαίνων. "κῆτος θοάζον" Ἀνδρομέδᾳ. B.M. παροξύνων. Gr. κινῶν, ἐκμαίνων. Gu. σοι. Gr. ἢ τῷ ἀγῶνι. Gu.

ᾧ δάκρυα δάκρυσι συμβάλλει: συνάγει καὶ συμμίσγει ἐπάλληλα δάκρυα. Ὅμηρος "συμβάλλετον ὄβριμον ὕδωρ." ἢ συνάπτει, ἵν'

13. τίς ὅδε—] Hoc scholion in I. adscriptum est ad v. ὅ σ' ἀναβακχ. Idem est in Gr. sed pro ὃς δάκρυα ibi est: ᾧτινι ἤγουν σοὶ δάκρυα δ. συνάπτει τις ἀπὸ τῶν ἐ. πορ. εἰς τοὺς δόμους etc.

ib. φ. ἔρχεται] ἔρχεται φ. I.

22. θοάζων] δὲ addit M. in quo haec leguntur inter scholia v. 333. post ἐπὶ σὲ τὸν μέλεον.

ib. κῆτος—Ἀνδρομέδᾳ] Haec obliterata in M. Versum integrum κῆτος θοάζον ἐξ Ἀτλαντικῆς ἁλός ex Euripide attulit Plutarch. Mor. p. 22 e., sed omisso nomine fabulae.

25. συνάγει] ἄγει M.

26. Ὅμηρος] Il. 4, 453.

ib. συμβάλλετον] συμβάλετον M. συμβάλλει τοι B.I.

ib. ὄβριμον] Sic B. ὄμβριμον M.I.

ib. ἢ] ἤγουν I.

ἢ ἡ μεταφορὰ ἀπὸ τῶν συμβαλλόντων τοῖς σχοινίοις ἕτερα καὶ ἐπιμηκέστερα ποιούντων, οἷον ἐπὶ τοῖς δάκρυσι συνάπτει δάκρυα. Ἀριστοφάνης “*ὥσπερ σχοινία συμβάλλοντες εἰς τὰς ὁλκάδας.*” B.M.I.

ᾧ δάκρυα: ὃ γράφε ἀντὶ τοῦ ὅστις, καὶ δόμον, μὴ δόμους, λέγων οὕτως, ὃς καὶ ὅστις ἀγὼν, δηλονότι ὁ φόνιος, συμβάλλει καὶ συνάπτει τοῖς δάκρυσι δάκρυα. ἐπεὶ δὲ οὐκ ἐποίει ταῦτα ὁ ἀγὼν, ἀλλά τις τῶν θεῶν, ἐπήγαγε, τίς, λέγω, τῶν ἀλαστόρων, καὶ τῶν ἐχθρῶν, πορεύων καὶ ἐπιφέρων εἰς τὸν δόμον τὸ αἷμα τῆς σῆς μητρὸς, ὅπερ σὲ ποιεῖ μαίνεσθαι. οἱ δὲ γράφοντες τὸ ω μέγα διὰ τὸ συμβάλλει ἀγνοοῦσι τὰ μέτρα. I.

338. *ὅ σ' ἀναβακχεύει: τουτέστιν ὅπερ τῆς μητρὸς ἀναβακχεύει σε καὶ μαίνεσθαι ποιεῖ. ἢ ὅστις ἀλαστόρων ἀνακινεῖ τὸ αἷμα τῆς μητρός σου, μὴ ἐῶν αὐτὸ ἠρεμεῖν ἀτιμώρητον.* B.I. *ὅ σ' ἀναβακχεύει. τινὲς στίζουσιν εἰς τὸ ὅ σ' ἀναβακχεύει, ἵν' ᾖ ὅπερ σε τὸ αἷμα. γράφεται δὲ καὶ ὅς σὲ ἀναβακχεύει, ἀλάστωρ σὲ ἀνακινεῖ καὶ μαίνεσθαι ποιεῖ.* M. *διχῶς στίζουσιν. ἀποδίδοται οὖν πρὸς μὲν τὴν πρώτην στιγμὴν, τίς οὗτος φόνιος ἔρχεται ἀγὼν, ᾧ ἀγῶνι δάκρυα δάκρυσι συμμίσγει καὶ συμβάλλει τις τῶν ἀλαστόρων, πορεύεσθαι ποιῶν τὸ αἷμα τῆς σῆς μητρὸς εἰς τοὺς οἴκους καὶ μὴ ἐῶν αὐτὸ ἠρεμεῖν ἀτιμώρητον, ἢ ὅ σε, τὸ αἷμα δηλονότι, ἀναβακχεύει καὶ μαίνεσθαι ποιεῖ· πρὸς δὲ τὴν δευτέραν στιγμὴν, ὅτι τοσοῦτον ἔρχεται φόνιος ἀγὼν, δάκρυα δάκρυσι συμμίσγει τις τῶν ἀλαστόρων, ὅς σε ἀναβακχεύει πορεύων καὶ περιέλκων ματέρος αἷμα σᾶς, ὅ ἐστιν ἀνακινῶν τὸ αἷμα τῆς μητρός σου κατὰ τοὺς οἴκους σου, καὶ μὴ ἠρεμῶν αὐτὸ εἶναι ἀτιμώρητον.* B.M.I.

1. ἢ ἡ] ἡ om. I.
ib. καὶ—οἷον ἐπὶ om. M.
3. Ἀριστοφάνης] Pac. 37.
5.—11. Annotatio Triclinii.
12. τουτέστιν om. I.
14. ὅ σ'—] ἄλλως praefixum in I.
15. ὅ σ'] ὅς M. ὡς ἀναβακχεύει in M. legitur in scholio proximo post διχῶς στίζουσιν. Comparandum cum his scholiou ex C. appositum in annotatione ad v. 333.
ib. ὅπερ] ὅπως M. Correxi ex C.
17. οὖν om. I.
19. συμμίσγει καὶ om. I.
20. π. ποιῶν—εἰς] ποιῶν π.—κατὰ B.I.
ib. σῆς om. B.I.
21. δηλονότι om. B.I.
24. ὅ ἐστιν ἀνακινῶν] ὅλως ἀνακινεῖ I.
25. οἴκους σου] σου om. B.
ib. καὶ—εἶναι] καὶ οὐκ ἐῶν αὐτὸ ἠρεμεῖν ἀτιμώρητον B.I. In altera margine M. hae sunt anuotatioues,

340.—344. ὁ μέγας ὄλβος οὐ μόνιμος καὶ διηνεκὴς ἐν τοῖς βροτοῖς· ἀνατινάξας δὲ δαίμων τις, αὐτὸν δηλονότι, καθὰ λαῖφος καὶ ἄρμενον νηὸς ταχείας, κατέκλυσεν, ἤτοι βυθισθῆναι ἐποίησεν ὡς ἐν κύμασι πόντου ὀλεθρίοις καὶ χαλεποῖς. τὸ δὲ δεινῶν πόνων διὰ μέσου, ἀντὶ τοῦ φεῦ, ἕνεκα τῶν δεινῶν πόνων. I.

ὁ μέγας ὄλβος: περισσὸν τὸ ἓν ὡς. ὁ δὲ λόγος, οὐ μόνιμος ὁ μέγας ὄλβος· κατέκλυσε γὰρ αὐτὸν δαίμων τις, ὡσεὶ λαῖφος ἀκάτου θοᾶς τινάξας κατέκλυσε τοῖς ὀλεθρίοις καὶ λάβροις κύμασι πόντου. οὕτω καὶ τὸν ὄλβον κατέκλυσε τινάξας ὑπὸ δεινῶν πόνων. ὅσον γὰρ δύναται πνεῦμα κατὰ νηὸς ἐν θαλάσσῃ, τοσοῦτον ἀνθρώπων ἡ τύχη. A.B.C.M.I. Ἄλλως. ὡς ἐν πόντῳ λάβροις ὀλεθρίοις ἐν κύμασι δαίμων τις ἀκάτου θοᾶς λαῖφος κατέκλυσεν, οὕτω καὶ τὸν μέγαν ὄλβον κατέκλυσε τινάξας ὑπὸ δεινῶν πόνων. Ἄλλως. κλύζεσθαι δαίμων τις παρεσκεύασε τὸν ὄλβον, ὑπὸ ἀστάτων ἔργων δηλονότι, ὡς λαῖφος ἀκάτου θοᾶς ἀνατινάξας κλύζεσθαι ἐποίησεν ἐν κύμασι πόντου λάβροις καὶ ὀλεθρίοις. Καὶ ἄλλως. ἀνατινάξας γὰρ δαίμων τις, ὅ ἐστιν ἄνωθεν ἐκ τοῦ οὐρανοῦ πέμψας δηλονότι τὸν ὄλβον οὕτως κλύζεσθαι ἐποίησεν ὑπὸ τῶν ἀστάτων ἔργων ὡς ναῦν ἐν κύμασι πόντου λάβροις καὶ ὀλεθρίοις. τὸ γὰρ λαῖφος ἀκάτου θοᾶς περιφραστικῶς τὴν ναῦν. ἀνατινάξας δέ τις δαίμων τὸν ὄλβον κατέκλυσεν αὐτὸν καὶ κατεπόντισεν ὡς ἀκάτου θοᾶς λαῖφος πόντου λάβροις ὀλεθρίοις κύμασιν. ὅσον γὰρ δύναται πνεῦμα κατὰ νηὸς ἐν θαλάσσῃ, τοσοῦτον καὶ κατὰ τὸν βίον τῶν ἀνθρώπων ἡ τύχη. A. τὸ δὲ δεινῶν πόνων ἐν μέσῳ

ὁ δ' ἀγὼν ἔρχεται ἕως τοῦ ματέρος αἷμα σᾶς ἀναβακχεύει. τὸ ἑξῆς, τίς φόνιος οὗτος ἀγὼν ματέρος αἷμα σᾶς, ὅ σε ἀναβακχεύει, ἔρχεται θοάζων σε τὸν μέλεον. ᾧτινι τῷ ἀγῶνι δάκρυα δάκρυσι συμμίσγει τις τῶν ἀλαστόρων μαίνεσθαί σε ποιῶν κατὰ τοὺς οἴκους. ᾧ δάκρυα. ᾧ τοῖς ὀρέστου δάκρυσι δαίμων τις κακὸς ἀλλεπάλληλα συνάπτει δίκην τοῦ αἵματος τῆς μητρὸς αὐτοῦ εἰσπραττόμενος. De A. C. vide annot. ad v. 333.

6. ὁ μέγας ὄλβος om. I., praefixo ἄλλως. Verba περισσὸν τὸ ἓν ὡς (in verbis ὥς τις et ὡς πόντου). ὁ δὲ λόγος addidi ex A.C.M. Corrupte in C. περισσὸν τὸ ἑνὰς ὡς ὁ λόγος δὲ—.

ib. ὁ δὲ λόγος] καὶ ἔστιν ὁ ὄλβος M.

7. τις om. M.

8. τοῖς] ἐν τοῖς M.

ib. λάβροις] λαύροι (sic, non λαύροις) C.

ib. πόντου] τοῦ πόντου I.

9. οὕτω] οὕτως A. Verba οὕτω— ἀνθρώπων ἡ τύχη om. B.M.I.

ib. τινάξας] τεινάξας C.

10. ἡ τύχη] Pergit C. ἀνατινάξας τις δαίμων κατέκλυσε τὸν ὄλβον ὑπὸ τῶν δεινῶν πόνων καθώσπερ τις ἄνεμος κατέκλυσεν ἐν λαύροις ὀλεθρίοις κύμασι τοῦ πόντου τὸ ἄρμενον τῆς ταχύτητος (corrige ταχυτάτης) νηός:—

16. λάβροις] ἐν λάβροις A.

ἀναπεφώνηται. ἢ οὕτως· ὡς δὲ πόντου λάβροις ὀλεθρίοις ἐν κύμασι δαίμων τις ἀκάτου θοᾶς λαῖφος κατέκλυσεν, οὕτω καὶ τὸν μέγαν ὄλβον κατέκλυσε τινάξας ὑπὸ δεινῶν πόνων. B.M.I.

341. ἀνὰ δὲ λαῖφος: ἀνατινάξας δέ τις δαίμων τὸν ὄλβον κατέκλυσεν αὐτὸν καὶ κατεπόντισεν, ὡς ἀκάτου θοᾶς λαῖφος πόντου λάβροις καὶ ὀλεθρίοις κύμασιν. ὅσον γὰρ δύναται πνεῦμα κατὰ νηὸς ἐν θαλάσσῃ, τοσοῦτον κατὰ τὸν βίον ἡ τύχη τῶν ἀνθρώπων. ἢ οὕτως· κλύζεσθαι παρεσκεύασέ τις θεὸς τὸν ὄλβον ἄστατον ὄντα ὑπὸ τῶν δεινῶν πόνων, τουτέστιν ἔργων. Ὅμηρος "αὐτὰρ ἐπεὶ παύσαντο πόνου." ὡς γὰρ κλύζεται ναῦς ἐν θαλάσσῃ, οὕτω καὶ ἡ τῶν ἀνθρώπων τύχη ὑπὸ ἀστάτων ἔργων. τὸ γὰρ τῆς τύχης ῥεῦμα μεταπίπτει ταχύ. B.M.I.

Ἄλλως. ἀνατινάξας δέ τις δαίμων ἤ τις δαιμόνων αὐτὸν, δηλονότι τὸν ὄλβον, ὥσπερ λαῖφος ἀκάτου θοῆς κατέκλυσεν ὥσπερ ἐν κύμασι πόντου λάβροις ὀλεθρίοις. τὸ δὲ δεινῶν πόνων διὰ μέσου, ἀντὶ τοῦ φεῦ, ἕνεκα τῶν δεινῶν πόνων. Gr. I. Ἄλλως. τὸ λάβροις ὀλεθρίοις ἐν κύμασι πρὸς τὸ δεινῶν πόνων σύναπτε, καὶ μὴ λάμβανε ὑπό ἔξωθεν, μηδὲ ὡς πόντου μετὰ τόνου τὸ ὥς ἔκφερε, ὥς τινές φασιν, οὕτω δὲ, ὁ μέγας ὄλβος καὶ ἡ μεγάλη εὐδαιμονία οὐ μόνιμος καὶ διηνεκής ἐστιν ἐν τοῖς βροτοῖς· ἀνατινάξας δὲ καὶ ταράξας αὐτόν τις δαίμων, ὥσπερ λαῖφος ἀκάτου καὶ νηὸς θοᾶς καὶ ταχείας, κατέκλυσε καὶ ἠφάνισεν ἐν λάβροις καὶ σφοδροῖς ὀλεθρίοις κύμασι δεινῶν πόνων καὶ δυστυχιῶν, ὥσπερ πόντου κύμασι δηλονότι. ἰστέον δὲ ὅτι, ἐπειδὴ λαῖφος εἶπε, διὰ τοῦτο καὶ κατέκλυσεν εἶπε καὶ κύμασι, δεικνὺς ὅτι ἡ τοῦ ὄλβου ἀνατροπὴ ἀνατροπῇ λαίφους ἔοικε καὶ αἱ τῶν δεινῶν πόνων ἐπελεύσεις κύμασιν ὀλεθρίοις. τὸ δὲ θεογό-

2. λαῖφος om. I., post κατέκλυσε habet M., omissis proximis οὕτω κ. τ. μ. ὄ. κατέκλυσε.

4. ἀνὰ δὲ λαῖφος om. B.I. praefixo ἄλλως.

6. γὰρ om. M.

7. κατὰ] καὶ κατὰ B.I.

ib. ἡ τύχη post ἀνθρώπων B.I.

ib. ἢ οὕτως om. M., sed habet lemma κατέκλυσε δεινῶν. In proximis M. παρεσκεύασεν ἄστατον, omissis τις θεὸς τὸν ὄλβον.

10. οὕτω καὶ ἡ τῶν ἀ. τύχη] τοσοῦτον καὶ ἡ τύχη τῶν ἀ. M., omissis ὑ. ἀ. ἔργων.

13. ἤ τις δαιμόνων om. Gr.

15. ἀντὶ τοῦ om. I.

11. τὸ γὰρ—ταχύ om. M. Est versus poetae τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ.

20. δὲ—αὐτόν τις] δέ τις αὐτὸν I.

21. ὥσπερ om. I.

22. κύμασι ante λάβροις I.

25. ἀνατροπῇ om. Gu.

26. ἐπελεύσεις κύμασιν ὀλεθρίοις] ἀπελεύσεις κύμασι θαλάσσης ὀλεθρίοις I.

νων γάμων λέγει, ἐπειδὴ καὶ ὁ Τάνταλος υἱὸς ἦν Διός. Gu. I. ἢ οὕτω. κατέκλυσε δὲ αὐτόν τις δαίμων, ὥσπερ ἐν λάβροις ὀλεθρίοις κύμασι δεινῶν πόνων, ὥσπερ κατακλύζει λαῖφος ἀκάτου θοᾶς ἐν λάβροις ὀλεθρίοις κύμασι πόντου, ἀνατινάξας καὶ ἀνατρέψας τοῦτον. Gu.

340. οὐ μόνιμος: οὐκ ἐν μονῇ ἐστιν, ἤγουν οὐ μένει. Gr. Fl. 17. 59. 76. στάσιμος. Gu.

345—347. τίνα γὰρ ἔτι: ἀλγῶ οὖν, φησὶ, τὴν ψυχὴν ὡς ἐπὶ ἰδίοις κακοῖς καὶ συναποφέρομαι τὴν ψυχήν· τίς γὰρ ἕτερος οἶκός ἐστι σέβεσθαι παρ' ἡμῶν ἄξιος ἢ οὗτος, ὃς ἐκ θεῶν ἔχει τὴν καταβολήν; ἀρχηγὸς γὰρ τῆς γονῆς ὁ Ζεὺς, ὅστις ἐφύτευσε Τάνταλον Πλουτοῖ συνελθών. A.B.C.M.I.

τίνα γάρ: πρὸς τὸ ἄνω κατολοφύρομαι τίνα γὰρ ἔτι πάρος. M. πρὸς τὸ κατολοφύρομαι ἀποδίδοται. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

346. ἢ τόν: καταγόμενον. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

348. καὶ μὴν βασιλεύς: ἐν τοῖς τέλεσιν εἰώθασιν οἱ ἀπὸ τοῦ χοροῦ μεταλλάττειν φεύγοντες τὴν μονῳδίαν τοῦ λόγου. τὸ δ' ἑξῆς, καὶ μὴν βασιλεὺς ὅδε δὴ στείχει Μενέλαος ἄναξ, τῶν Ταντιλιδῶν ἐξ αἵματος ὢν, πολλῇ δ' ἁβροσύνῃ δῆλος ὁρᾶσθαι τῶν Ταντιλιδῶν ἐξ αἵματος ὢν, ὅ ἐστι, διὰ τοῦ σχήματος ἐμφαίνει τὴν εὐγένειαν. B.M.I.

349. ἁβροσύνῃ: διὰ τῆς πολλῆς δὲ ἁβροσύνης, ἤγουν τρυφερότητος. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. βασιλικῷ μεγέθει,

8. οὖν om. A.B.C.I.
ib. τὴν ψυχὴν om. B.I.
ib. ὡς om. A.M.I.
9. ἰδίοις] τοῖς ἰδίοις I.
ib. τίς γὰρ ἕτερος οἶκος] τίνα γὰρ ἕτερον οἶκον A.
10. ἐστι om. B.I.
ib. ἡμῶν] ἡμῖν A.
ib. ἄξιος om. A.C.M.
ib. οὗτος—ἔχει] οὕτως—ἔχω A.
ib. ὃς] ὅτι A.C.M.
11. καταβολήν] καταμονήν A.
ib. γονῆς] ζωῆς C.
ib. ὅστις] ὃς B.I.
12. Πλουτοῖ συνελθών om. A.C.
13. πρὸς τὸ ἄνω (v. 339.) κατολοφύρομαι] πρὸς τὰ ἄνω καὶ κ/. κάτω τὸ ὀλοφύρομαι M. In B. est πρὸς τὰ ἄνω κακά. τοῦτέστι πρὸς τὸ ὀλοφύρομαι τίνα γὰρ ἔτι πάρος:—
17. φεύγοντες—λόγου om. M.I. In A. est εἰώθασίν τι κατὰ τοῦ χοροῦ πλάττειν τι φεύγοντες τὴν μονῳδίαν τοῦ λέγειν:—δῆλος ὁρᾶσθαι πολὺ δ' ἁβροσύνῃ. ὅ ἐστι πολὺ δ' ἁβρότατος ἰδεῖν καὶ διὰ τῆς ὄψεως ἐμφαίνει τὴν εὐγένειαν:—
18. βασιλεὺς] ὁ βασιλεὺς I.
ib. ὅδε δὴ] ὧδε M.
19. πολλῇ δ' ἁβροσύνῃ] πολλὴ δ' ἁβροσύνη M. πολὺ δ' ἁβροσύνῃ B. Idem πολὺ in textu habuit a m. pr.

τρυφῇ ἱματίων καὶ τῶν περὶ αὐτὸν ἀκολούθων. Gu. τῇ τρυφῇ τοῦ βαδίσματος, ἤγουν τῆς ὄψεως. M. Fl. 21. πλουσιότητι. Fl. 33.

350. δῆλος ὁρᾶσθαι: ὁρᾶται δῆλος ἐν πολλῇ ἀβροσίᾳ. Fl. 21.

352. ὦ χιλιόναυν: ἀπὸ τούτων αὐτὸν ἐγκωμιάζει ἀφ' ὧν ἐμεγαλύνετο. τῷ δὲ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο· τοσαῦται γὰρ ἦσαν αἱ νῆες τῶν Ἑλλήνων, χίλιαι πρὸς ταῖς ρπϛ'. A.C.M.I. δι' ὧν δοκεῖ αὐτὸν ἐπαινεῖν, διὰ τούτων λυπεῖ, ἀναμιμνήσκουσα τῶν ἀπολλυμένων ἐν τῇ Τροίᾳ. A.B.C.M.I. τὸ δὲ θεόθεν πράξας ἅπερ ηὔχου προσέθηκεν, ἐπειδὴ τὸν πόλεμον κατορθώσας ἔλαβε τὴν Ἑλένην. σὺ μὲν οὖν, φησὶν, εὐτυχῶς ἀπηλλάχθης, ὁ δὲ Ὀρέστης δυστυχεῖ. B. M.I. σὺ μὲν οὐ μετέχεις, φησὶ, τῆς δυστυχίας τῶν Τανταλιδῶν. B.M.I. ὁρμήσας: παρορμήσας, κινήσας. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐλλιμενίσας. Gu.

353. εἰς γῆν Ἀσίαν: ἤγουν Ἀσιανὴν, τὴν Τροίαν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. νεώτερον τὸ τῆς Ἀσίας ὄνομα. B.

354. ὁμιλεῖς: συνδιάγεις. Gr. Fl. iidem.

355. θεόθεν: ἀπὸ τοῦ θεοῦ. πράξας: τελέσας. ἅπερ εὔχου: δι' εὐχῆς ἐποιοῦ. Gr. Florr. iidem.

356. ὦ δῶμα, τῇ μὲν, ταύτῃ τῇ μερίδι δηλονότι, ἡδέως βλέπω σε, ἐλθὼν ἀπὸ τῆς Τροίας, τῇ δὲ, ἤγουν ταύτῃ τῇ ἑτέρᾳ μερίδι δηλονότι, ἰδὼν καταστένω· κύκλῳ γὰρ περιληφθεῖσαν ὑπὸ ἀθλίων

2. ἤγουν] ἢ M.

4. ἐμεγαλύνετο] ἐσεμνύνετο A. C.

5. τῷ δὲ ἀ.] τῷ ἀ. δὲ A.C.

ib. ἀριθμῷ ἐ.] ἐ. ἀριθμῷ A.B.I.

ib. τοσαῦται γὰρ ἦσαν] ἦσαν γὰρ A.C., omisso τοσαῦται.

6. ρπϛ' B. ρνε I. Illud haud dubie fuit etiam in M. in quo numerus post ἑλλήνων obliteratus est, sed ut appareat litera ϛ'. Et voluit haud dubie Gu., in quo ͵ρ πϛ (i. e. ρ πῶς) scriptum est, scholio sic conformato δι' ὧν δ.—ἀπωλλυμένων (sic) εἰς τροίαν. ἐχρήσατο δὲ τῷ ἀ. ἀριθμῷ. αἱ νῆες γὰρ τῶν ἑλλήνων χίλιαι πρὸς ταῖς ρ πϛ ἦσαν. In A.C. est ἑλλήνων ͵αρπϛ (͵αρπζ C.)

ib. δι' ὧν—] In B. ἄλλως. ὦ χιλιόναυν. δι' ὧν—. In M. χιλιόναυν στρατὸν ὁρμήσας. δι' ὧν—. In C. εἰς τὴν ἀσίαν, in A. lemma nullum.

8. τῇ om. I. In A.C. est ἀπολλυμένων (ἀπολυμένων A.) εἰς τὴν (τὴν om. C.) τροίαν. νεώτερον δὲ τὸ τῆς ἀσίας ὄνομα. θεόθεν (θέωθεν C.) πράξας. τὸν γὰρ πόλεμον—ἑλένην. σὺ μὲν οὖν, φησὶν,—ὁ δὲ ὀρέστης (ὀρέστης om. A.) δυστυχῶς (δυστυχεῖ C.):—Post Τροίᾳ pergit M. θεόθεν πράξας ἅπερ ηὔχου: τὸν γὰρ πόλεμον etc.

ib. ηὔχου] Sic B.M. εὔχου I.

10. οὖν om. B.I.

11. σὺ μὲν οὐ μ. φ. M. σὺ φ. οὐ μετέχεις B. οὐ μετέχεις φησὶ I.

19. Παράφρασις praefixum in I.

κακῶν οὐπώποτε εἶδον ἄλλην οἰκίαν μᾶλλον, σοῦ δηλονότι. τὰς τύχας γὰρ, ἤγουν τὰ συμβεβηκότα τῷ Ἀγαμέμνονι, ἔμαθον ὁποίῳ θανάτῳ ὤλετο παρὰ τῆς γυναικὸς, προσίσχων καὶ πλησιάζων τῷ Μαλέᾳ τὴν πρῷραν· ἐκ γὰρ τῶν κυμάτων τῆς θαλάσσης ὁ μάντις τοῖς ναυτίλοις, ἀντὶ τοῦ τῶν ναυτίλων, ὁ προφήτης τοῦ Νηρέως, ὁ Γλαῦκος, ὁ ἀψευδὴς θεὸς, ἐξήγγειλεν ἐμοὶ, ὅς μοι παρασταθεὶς ἐμφανῶς εἶπε τάδε· ὦ Μενέλαε, κεῖται θανὼν ὁ σὸς ἀδελφὸς, ἐμπεσὼν λουτροῖς πανυστάτοις, τῆς ἀλόχου, ἤγουν ἃ ἡ ἄλοχος ἔλουσεν αὐτόν· ἐπλήρωσε δὲ δακρύων πολλῶν ἐμὲ καὶ τοὺς ἐμοὺς ναύτας. ἐπεὶ δὲ ἔψαυσα τῆς Ναυπλίας χθονὸς, ἤδη δάμαρτος, τῆς ἐμῆς δηλονότι, ἐξορμιζομένης ἐνθάδε, νομίζων τὸν Ὀρέστην, τὸν παῖδα τοῦ Ἀγαμέμνονος, καὶ τὴν μητέρα περιβαλεῖν χερσὶ φίλαις, ὡς εὐτυχοῦσιν, ἤκουσά τινος ἁλιέως τὸν ἀνόσιον φόνον τῆς Τυνδάρεω θυγατρός. καὶ νῦν εἴπατε, ὦ νεάνιδες, ὅπου ἐστὶν ὁ τοῦ Ἀγαμέμνονος παῖς Ὀρέστης, ὃς ὑπέμεινε τὰ δεινὰ κακά· βρέφος γὰρ τότε ἦν ἐν ταῖν χεροῖν τῆς Κλυταιμνήστρας, ὅτε κατελίμπανον τὴν οἰκίαν ἀπιὼν εἰς Τροίαν, ὥστε οὐκέτι ἂν γνωρίσαιμι αὐτὸν ἰδών. I.

ὦ δῶμα: ἀπὸ πρώτης παρόδου σημειοῦται τὸ κακόηθες τῆς γνώμης Μενελάου· καὶ γὰρ οὐδὲ εἰς Σπάρτην ἀνήχθη, ἀλλὰ πρότερον εἰς Ἄργος ὡς ἐξελάσων Ὀρέστην, ὡς καὶ ἐν τοῖς ἑξῆς δῆλός ἐστι, καίτοι τῶν πάλαι πολεμίων φειδόμενος. ἐν γὰρ τῇ ζ′ ῥαψῳδίᾳ κωμῳδεῖται παρὰ τῷ ποιητῇ, συγχωρῶν ζῆν τὸν Ἄδραστον δόσιν χρημάτων ἐπαγγελλόμενον. A.B.M.I. τῇ μέν: ἀντὶ τοῦ ἐν μέρει. B.

357. καταστένω: στενάζω. Gu. θλίβομαι. Fl. 21.

358. εἱλιχθεῖσαν: περιληφθεῖσαν. Gr. κυκλωθεῖσαν, συσχεθεῖσαν. Gu.

362. Μαλέᾳ: ὄρος Λακωνικῆς ἐστι τὸ Μάλεον. Ὅμηρος

18. ἀπὸ πρώτης—] ἀπὸ τῆς πρώτης —καὶ γὰρ πρότερον οὐκ εἰς σπάρτην ἀνήχθη, ἀλλ' εἰς ἄργος ὡς ἐξελάσων ὀρέστην τῶν οἴκων, ὡς καὶ ἐν τοῖς ἑξῆς δῆλός ἐστι. καὶ παρ' ὁμήρῳ ἐν τῇ ϛ ῥαψῳδίᾳ κωμῳδεῖται συγχωρῶν ζῆν τὸν ἄνδρα τὸν δ. χ. ἐ.:—A.

19. πρότερον] πρότερος I. Pars hujus scholii est in Gu. οὐ πρὸς σπάρτην ἀνήχθη, ἀλλὰ πρότερον εἰς ἄργος ἐξελάσων ὀρέστην.

20. ὡς ἐξελάσων—ὡς καὶ ἐν] ἐξελάσσων (sine ὡς) ὀρέστην ὡς ἐν M. Post δῆλός ἐστι idem pergit καὶ παρὰ τῷ ποιητῇ ἔρις ὑπὲρ τῶν πάλαι—κωμῳδεῖται συγχωρῶν τὸν ἄδραστον etc.:

27. Ὅμηρος] Od. 3, 287.

"Μαλειάων ὄρος αἰπύ." B. ἀκρωτήριόν ἐστιν ὁ Μαλέας περὶ Λακεδαιμονίαν λεγόμενον παρά τισιν ἰδιωτικῶς ὄνου κατωμάγουλον. Gu.

363. ἐξήγγειλε: Ὁμηρικὸς ζῆλος τὸ ἐξήγγειλε καὶ τὸ εἶπεν. Gu.

ὁ ναυτίλοισι: τοῖς γὰρ ναύταις οὗτος ὡς φίλος καὶ θαλάσσῃ ἐστὶ καὶ ἰχθύσι τὰ πεπρωμένα βάζει. A.C.

364. Νηρέως προφήτης: οὗτος Ἀνθηδόνιος ἁλιεύς, ἑωρακὼς δὲ ἰχθὺν παρὰ τὴν ψάμμον βοτάνης γευσάμενον καὶ ἀναζήσαντα, φαγὼν καὶ αὐτὸς γέγονεν ἀθάνατος, ἀλλ' οὐκ ἀγήραος· ἐφ' ᾧ κατεπόντισεν ἑαυτόν. μαντεύεται δὲ ὡς ὁ παρ' Ὁμήρῳ Πρωτεὺς καὶ παρὰ Πινδάρῳ Τρίτων τοῖς Ἀργοναύταις. A.B.C.M. Gu. I. τὴν δὲ βοτάνην, ἧς ἐγεύσατο, φασί τινες ἀείζωον εἶναι. Gu.

365. ἐμφανῶς κατασταθείς: τουτέστιν οὐκ ἐντὸς θαλάσσης ὢν καὶ ἀφανῶς μοι τοῦτο εἰπών, ἀλλ' ἐμφανῶς καὶ ἐνώπιον στὰς καὶ διηγησάμενος. Gu. I. ὅς μοι πλησίον σταθεὶς τάδε εἶπεν ἐμφανῶς. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. φανερῶς (Fl. 36.) καὶ οὐ διά τινος φαντάσματος. Gu. προδήλως. Fl. 21.

367. λουτροῖσιν ἀλόχου: ἃ ἡ ἄλοχος ἔλουσεν αὐτόν. Gr. τουτέστιν ἐν λουτροῖς ὑπὸ τῆς ἰδίας γυναικὸς ἀνῃρέθη. Gu.

περιπεσών: περισσὴ ἡ περί, καὶ ἔστιν ὁ νοῦς, ἀποθανών, πεσών, ἀπολωλὼς τοῖς πανυστάτοις λουτροῖς τῆς ἀλόχου· ἢ περιπεσὼν ἀντὶ τοῦ συντυχὼν τοῖς λουτροῖς τῆς ἀλόχου· λουσαμένῳ γὰρ Ἀγαμέμνονι

1. ἀκρωτήριον—] In I. hoc scholion sic scriptum, Μαλέας δὲ ἀ. ἐστι περὶ λ.—καταμάγουλον.

2. κατωμάγουλον] Addit Gu. quae partim evanuerunt vel erasa sunt, ὁ αὐτὸς δὲ λέγεται καὶ ...... Veteres ὄνου γνάθον dixerunt. De utroque v. Ducang. p. 849.

8. οὗτος—ἑωρακὼς] οὗτος ὁ ἀνθηδόνιος ὁ ἀπὸ ἀνθηδονίας πόλεως ἦν ἁλιεύς. ἑωρακὼς C.

ib. ἁλιεὺς] ἦν ἁλιεὺς Gu.

9. τὴν ψάμμον] τὴν om. A.C.

10. καὶ αὐτὸς] ὁ γλαῦκος καὶ αὐτὸς C.

ib. ἀλλ' οὐκ ἀγήραος (ἀγήρατος A.)—ἑαυτόν om. Gu.: ἐφ' ᾧ κ. ἑαυτὸν om. A.C.

11. ὡς ὁ] ὁ om. A.I. ὡς καὶ C. Gu.

12. Τρίτων τοῖς] τρισσοῖς C.

15. εἰπὼν] εἰπεῖν I.

21. ἀποθανών, πεσών, ἀπολωλώς addidi ex A.C.M.

22. ἀλόχου A.C.M. ἀλόχου πεσὼν, ὅ ἐστιν ἀπολωλώς B.I.

ib. ἢ περιπεσὼν—ἀλόχου om. A.C.

ib. γὰρ et τὸν om. M., Ἀγαμέμνονι om. A.C.M.

τὸν χιτῶνα περιήγαγεν ὡς ἐν Ἑκάβῃ φησὶ "κτεῖν', ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀναμένει." A.B.C.M.I.

369. Ναυπλίας: Ναύπλιος λιμήν· ἀπὸ τούτου καὶ Ναυπλία χθών. ἀπὸ Ναυπλίου τοῦ πατρὸς Παλαμήδους. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

370. ἤδη δάμαρτος: μέμνηται τῆς γυναικὸς οὐκ ἐν δέοντι ἔρωτι, μεγίστῳ δὲ μᾶλλον. A.C.

371. δοκῶν Ὀρέστην: ὕπουλα πάντα τὰ ῥήματα Μενελάου, ἀφ' οὗ ὁ ποιητὴς τὸ ἄστατον τῆς Λακεδαιμονίων γνώμης κωμῳδεῖ, ὡς καὶ ἐν Ἀνδρομάχῃ "ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν, Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια." πρὸ γὰρ Διοκλέους, ἐφ' οὗ τὸν Ὀρέστην ἐδίδαξε, Λακεδαιμονίων πρεσβευσαμένων περὶ εἰρήνης ἀπιστήσαντες Ἀθηναῖοι, οὐ προσήκαντο ἐπὶ ἄρχοντος Θεοπόμπου, ὃς ἦν πρὸ Διοκλέους, ὡς ἱστορεῖ Φιλόχορος. A.B.C.M.I.

372. περιβαλεῖν: περιβάλλω τινὰ ἀντὶ τοῦ περιπτύσσομαι· καὶ περιβάλλει ὁ θεὸς τὸν οὐρανὸν ἐν νεφέλαις ἀντὶ τοῦ ἐνδύει· καὶ παρὰ Φιλοστράτῳ "περιβάλλων τοῖς τείχεσιν ἄνδρας ὡπλισμένους" ἀντὶ τοῦ κύκλῳ τιθείς. Gr. I. ἀντὶ τοῦ περιλαβεῖν. M. περιπτύξασθαι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. περιπλακῆναι. Gu. Fl. 33.

373. ὡς εὐτυχοῦντας: κακοήθως, ὡς ὑγιῶς ἔχοντας. A.C. Ἄλλως. εἰώθασιν οἱ ἄνθρωποι τὰς τῶν ἐχθρῶν ἀτυχίας εὐτελεῖς λογίζε-

1. περιήγαγεν M. προσήγαγε C. προσήνεγκεν A.B.I.
ib. ὡς (καὶ A.C.) ἐν Ἑκάβῃ (v. 1281.) φησὶ] φησὶ om. M.
ib. Ἑκάβῃ φησὶ, κτεῖν', ὡς] ἑκάβῃ (ἑκάστῳ C.) ὡς A.C.
2. λουτρά σ' ἀναμένει C. λουτρὰ ἀναμεῖναι A. λουτρά solum habet M., totum hoc λ. σ' ἀ. om. B.I.
4. ἀπὸ—Παλαμήδους] Haec etiam in B.C. om. Gr.
7. μεγίστῳ δὲ] δὲ om. A.
8. ὕπουλα] δὲ addit C. qui πάντα om. In eodem κωμῳδεῖ πᾶσιν ἐχθίστοις, mediis omissis.
ib. ἀφ' οὗ] ἀφ' ὧν I.
9. γνώμης ante Λακεδαιμονίων C.
ib. κωμῳδεῖ] ἐκωμῴδει A.M.
10. Ἀνδρομάχῃ] V. 446.
ib. ὦ] ὡς M.
ib. βροτῶν A.B.M. βροτοὶ C.I.
11. δόλια—Φιλόχορος om. C.
ib. ἐφ' οὗ] ἀφ' οὗ A.
13. Ἀθηναῖοι om. A.
ib. ἐπὶ—Διοκλέους, ὡς om. A.
ib. ὃς ἦν] ὅ ἐστι M.
14. ὡς] In M. οὕτως, ut videtur.
21. κακοήθως—ἔχοντας] Brevius in M. τὸ εὐτυχοῦντας κακοήθως.
ib. Ἄλλως addidi ex A. In C. καὶ ἄλλως.
22. εἰώθασιν] μὲν add. M. εἰώθαμεν C. in quo prima pars scholii usque ad προκόπτειν legitur.
ib. τὰς τῶν] τῶν om. C.
ib. εὐτελεῖς] εὐτυχεῖς C.

σθαι, βουλόμενοι μέχρι θανάτου τὴν ἀτυχίαν αὐτῶν προκόπτειν. καὶ ὁ Μενέλαος τοίνυν ἐφεδρεύων τῇ τοῦ Ὀρέστου ἀρχῇ μόνον τὸ ζῆν αὐτὸν εὐτυχίαν ὁρίζεται. ἀλλὰ τὰ κατὰ τὸν Ἀγαμέμνονα ἠπιστάμην, καὶ τὸν ἐκείνου θάνατον ἐδάκρυσα, ἐλπίζων δὲ περιπτύσσεσθαι τὸν Ὀρέστην καὶ τὴν μητέρα, ὡς σωζομένους, παρ' ἐλπίδας ἤκουσα τῆς Κλυταιμνήστρας τὸν θάνατον· τὸ γὰρ εὐτυχοῦντας ἀντὶ τοῦ σώους καὶ ὑγιεῖς. A.B.C.M.I. ἀλικτύπων: τῶν ἁλιέων, ἀπὸ τοῦ κτυπεῖν ταῖς κώπαις. ἢ τῶν ναυτῶν. B.M. ἀλιτύπων: ἁλιέων, οἳ ταῖς κώπαις τύπτουσι τὴν θάλασσαν. Laud. 89. Gr.

ἀνόσιον φόνον λέγει τὸν τῆς Κλυταιμνήστρας, ὅτι ὑπὸ τοῦ ταύτης υἱοῦ Ὀρέστου ἐπράχθη. δέον δὲ εἰπεῖν εὐσεβῆ φόνον, κακοήθως ἀνόσιον καὶ ἀσεβῆ φόνον καλεῖ τὴν τιμωρίαν Κλυταιμνήστρας. ἔδει γὰρ αὐτὴν οὐχ ἅπαξ, ἀλλὰ καὶ μυριάκις ἀπολωλέναι, αὐτόχειρα, ἤτοι φονέα, τοῦ οἰκείου ἀνδρὸς γενομένην, ἀλλ' οὖν ὑπ' ἄλλου του, καὶ οὐχ ὑπὸ Ὀρέστου τοῦτο γεγενῆσθαι. Gu. I.

374. παιδός: γρ. θυγατρός. M.

375. καὶ νῦν ὅπου: ἀντὶ τοῦ ὅπου ἐστὶν ὁ Ἀγαμέμνονος γόνος. M.

376. τὰ δεινά: κἀκ τούτου δῆλός ἐστιν ὁ Μενέλαος πονηρῶς ταῦτα λέγων. δέον γὰρ εἰπεῖν, ὃς ἤμυνε τῷ πατρί, φησίν, ὃς τὰ δεινὰ εἴργασται κακά. B.M. φοβερά, τὸν τῆς μητρὸς φόνον. Gu. ἔτλη: ἐτόλμησεν. Gr. ἐκαρτέρησεν. Gu. εἴργασται: δῆλός ἐστι πονηρὸς Μενέλαος, δέον εἰπεῖν, ὃς ἤμυνε τῷ πατρί. Fl. 10.

379. ὥστ' οὐκ ἂν γνωρίσαιμ' ἄν: ὅτε ἐν ἑνὶ ῥήματι δύο λέγεται ἄν, ὡς ἐνταῦθα, τὸ μὲν ἕν ἐστι δυνητικὸς σύνδεσμος, τὸ δὲ ἕτερον παραπληρωματικὸς ἀντὶ τοῦ δή. Bar. Gr.

1. αὐτῶν] αὐτὸν C.
ib. καὶ ὁ—καὶ ὑγιεῖς om. C.
2. ἐφεδρεύων] ἐφέδρας ὢν M.
3. τὸν Ἀγαμέμνονα] τοῦ ἀγαμέμνονος A.
4. περιπτύσσεσθαι post μητέρα A.
6. τῆς Κ. τὸν] τὸν κ. I. In A. est σωζομένους, καὶ ἤκουσα τῆς κλυταιμνήστρας ἀνόσιον φόνον, omissis postremis τὸ γὰρ—ὑγιεῖς.
ib. εὐτυχοῦντας, σώους καὶ ὑγιεῖς habet etiam Fl. 21. sed addit: ἐν τούτῳ γὰρ μόνῳ ἐνόμιζον αὐτοὺς εὐτυχεῖν.
7. τῶν ἁλιέων om. B.
12. Verba δέον δέ—Κλυταιμν. om. Gu. qui seqq. sic scripta exhibet: ἔδει μὲν γὰρ—γενομένην. ἔδει δὲ ὑπ' ἄλλου του etc. Fl. 10. annotat: δέον εἰπεῖν εὐσεβῆ, nihil amplius. MATTH. Verba δέον εἰπεῖν—κλυταιμνήστρας sunt etiam in B.
15. τοῦτο γεγενῆσθαι] γεγενῆσθαι τουτοΐ Gu.
19. κἀκ—Μενέλαος] καὶ ἐκ τούτου δ. ἐστι μενέλαος M.

380. ὅδ' εἰμ' Ὀρέστης: ὦ Μενέλαε, ὅδε, ἤγουν ἐγὼ, εἰμὶ ὁ Ὀρέστης, ὃν ἱστορεῖς, ἤτοι περὶ οὗ ἐρωτᾷς. ἐγὼ ἑκὼν δηλώσω σοι τὰ ἐμὰ κακά. πρωτόλεια δὲ, ἤτοι πρώτως καὶ κατὰ πρῶτον λόγον, θιγγάνω καὶ ἅπτομαι τῶν σῶν γονάτων ἱκέτης, ἀντὶ τοῦ ἱκετικῶς, ἀπὸ στόματος ἀφύλλου καὶ ξηροῦ ἐξάπτων καὶ ἀνατιθεὶς λιτάς· σῶσόν με· πεφραγέγονας δὲ αὐτὸς εἰς καιρὸν, ἤτοι εἰς αὐτὴν τὴν ἀκμὴν τῶν κακῶν. I.

ἱστορεῖς: ἢ περὶ οὗ ἐρωτᾷς, ἢ ὃν ὁρᾷς. εἴρηται γὰρ ἡ ὄψις ἱστορία, ὡς ἂν εἴποιμεν ἱστόρησα τὴν πόλιν. B. ζητεῖς. Gr. ἐρευνᾷς, ὁρᾷς, λέγεις. Gu. ὁρᾷς οὐ γνωρίζων. Fl. 21.

381. τἀμὰ κακά: ἤγουν ἐμαυτὸν οὕτω κακῶς ἔχοντα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

382. πρωτόλεια: ἀντὶ τοῦ πρὸ πάντων σε λιτανεύω, καὶ ταύτην πρώτην ἱκεσίαν ἐπὶ σὲ ποιοῦμαι, οὐπώποτέ τινα ἄλλον ἱκετεύσας. πρωτόλεια δὲ κυρίως ἡ τῆς λείας ἀπαρχή· νῦν δὲ πρωτόλειά φησι τῆς ἱκεσίας τὴν ἀπαρχήν. καταχρηστικῶς γὰρ πρωτόλεια πάντα τὰ πρῶτά φασι. B.M. πρωτόλεια ἀντὶ τοῦ πρῶτον. σύνθετον ἀντὶ ἁπλοῦ. B.M. πρωτόλειον μὲν κυρίως λέγεται τὸ ἀπὸ τῆς λείας ἐξαίρετον, τὸ ἀνατιθέμενον τῷ θεῷ. ἐνταῦθα δὲ πρωτόλειον ὡς ἐπίρρημα ἐδέξατο ἀντὶ τοῦ κατὰ πρῶτον λόγον ἢ πρωτοτύπως. A. σύνθετον ἀντὶ ἁπλοῦ, πρωτόλεια ἀντὶ τοῦ πρῶτα πάντων. Fl. 21. πρὸ πάντων σὲ λιτανεύω. Fl. 10. πρωτόλεια δὲ κυρίως αἱ πρῶται τῆς λείας ἀπαρχαὶ, ἃς ἀνέφερον τοῖς θεοῖς ὡς αἰτίοις τῆς νίκης. δέον δὲ εἰπεῖν ἱκετικῶς, ἱκέτης εἶπε πρὸς τὸ θιγγάνω. Gu. I.

383. ἀφύλλου στόματος: εἰώθασιν οἱ παλαιοὶ, ὅτε ἱκέτευον τοὺς ὑπερέχοντας, φέρειν ἐν χερσὶ στέφανον ἐκ φύλλων ἢ δάφνης ἢ ἐλαίας. ὁ δὲ νοῦς τοιοῦτος· πρὶν διηγήσομαι τὰ ἐμὰ κακὰ, ἅπτομαι τῶν σῶν γονάτων, ἐξάπτων καὶ φέρων παρακλήσεις ἐξ ἀφύλλου στόματος, του-

11. κακῶς] In Gr. est καλῶς, sed λ in litura scriptum est atramento, reliqua, i. e. totum scholion, rubrica. MATTH.

14. σὲ] σοῦ B.

15. πρωτόλεια (omisso δὲ) κυρίως — φασι] Habet hoc scholion I. post p. 123, 25.

16. γὰρ] δὲ M.I.

17. φασι scripsi pro φησι, quod hic habet M., post πρωτόλεια B.I.

25. τοὺς ὑπερέχοντας] τοὺς ὑπάρχοντας Gu. Idem omittit νοητέον, quod paulo post addit I. post ἀφ. στόματος. Ex eodem ordinem verborum immutavi in seqq. quum vulgo legeretur ἢ τὸ ἀφ. στόμ. ἀντὶ τοῦ καταξήρου νοητέον ὑπὸ τῆς ν. MATTH.

τέστι μόνον διὰ λόγων δέομαι, καὶ οὐ προτείνω κλάδον, ὡς ἔθος. ἢ τὸ ἀφύλλου στόματος νοητέον ἀντὶ τοῦ καταξήρου ὑπὸ τῆς νόσου· περιαιρεθέντων γὰρ τῶν φύλλων ἐκ τῶν δένδρων ξηρὰ τὰ δένδρα τυγχάνει. διὰ τί δὲ ἐκ δάφνης ἢ ἐξ ἐλαίας φύλλα προέτεινον, καὶ οὐκ ἐξ ἄλλου φυτοῦ; φαμὲν ὡς ἐπεὶ ταῦτα τὰ φυτὰ ἀειθαλῆ τυγχάνει καὶ ἱερά· ἡ μὲν γὰρ δάφνη τῷ Ἀπόλλωνι ὡς μαντικῷ ἀνετίθετο, ἡ δὲ ἐλαία τῇ Ἀθηνᾷ ὡς καταδειξάσῃ πρώτῃ αὐτὴν ἐν Ἀθήναις. διὰ τοῦτο ἐξιλεοῦντο τούτοις μόνοις, καὶ οὐκ ἄλλοις τισὶ φυτοῖς. Gu. I.

ἀφύλλου στόματος: ἀντὶ τοῦ ἄνευ στεμμάτων. M. ὅτι τὴν φυλλάδα ἱκετεύοντες προὔτεινον, ὡς παρ' Ὁμήρῳ ὁ Χρύσης "στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος·" ἢ κέκληται φυλλὰς, ἐπεὶ ἐκ φύλλων ἤτοι ἐλαίας, ἢ δάφνης, ἤ, ὥς τινες, τὸ ἐκ τούτων ἄνθος ἐστὶ καὶ ταύτην τῶν γονάτων ἐξάπτουσι τῶν ἱκετευομένων. ἐπεὶ οὖν ἔθος ἐστὶ τοῖς ἱκετεύουσι φυλλάδα προτείνειν, τοῦτο δὲ νῦν οὐ πάρεστι, διὰ τοῦτό φησι τὴν ἐκ στόματος καὶ λόγων μόνων ἱκεσίαν ποιεῖσθαι. τὸ δὲ ἐξάπτων ἔφη παρ' ὅσον οὓς ἱκέτευον, τούτοις παρετίθεσαν τὰς ἱκετηρίας. Ἀχαιὸς Ἀζᾶσι "νῦν οὖν ἡμεῖς ἱκέται θαλλούς τε θεῶν τε σέβας τίθεμεν πρὸ ποδῶν τῶν σῶν, λῆξαι τῆς ἀστερόπου Ζηνὸς θυσίας." τινὲς δὲ ἀφύλλου στόματος ἤκουσαν τοῦ κατεξηραμμένου διὰ τὴν νόσον, ἀντὶ τοῦ ἄνευ ἱκετηρίας, ἀπὸ μεταφορᾶς τῶν δένδρων, ἅτινα μὴ ἔχοντα φύλλα ὡς ἐπὶ τὸ πολὺ ξηρὰ εὑρίσκεται. B.M.I.

ἀφύλλου στόματος ἐξάπτων λιτάς: τιμαῖς βιάζων ἐκεῖνον γενέσθαι αὐτῷ εἰς βοηθόν. οἱ γὰρ ποιούμενοι τὰς λιτὰς πρὸς τὸ θεῖον ἀεὶ κλάδους ἐπιφέρονται νεωστὶ δρεφθέντας ἐκ δένδρων καὶ θάλλοντας καὶ φύλλων κομῶντας καὶ εἰρίοις πολυχρόοις ἀναδεδεμένους, οὓς καὶ

3. τὰ δ. post τυγχάνει I.

4. φύλλα π.] π. φύλλα I.

6. ἀνετίθετο Gu. ἀνατίθεται I.

8. τισὶ φυτοῖς] In Gu. hoc scholion statim sequitur: πρωτόλεια δὲ κυρίως, ut in I., quod, Kingium secutus, supra (p. 121, 22.) posui. MATTH.

9. ἀ. στόματος] ἀ. δὲ στόματος B.

ib. ὅτι om. M.

10. προὔτεινον] προέτεινον M.

11. φυλλὰς] καὶ φυλλὰς M.

12. ἐκ φύλλων] ἐκ φύλλου I. εἰς φύλλον M.

ib. ἐστὶ καὶ ταύτην om. B.I.

14. τοῦτο pro τούτῳ scripsi ex p. 123, 7.

16. τὸ δὲ] δὲ om. M.

ib. οὓς] οἷς M.

17. Ἀχαιὸς (hoc accentu B. I.) Ἀζᾶσι om. M. Achaei verba quattuor constant versibus anapaesticis dimetris, quorum primus et secundus non integri sunt.

18. τε σέβας B. γέρας, sine τε, I. In M. est θαλλ' τε θεόν τε δέμας τίθεμαι.

ib. ἀστερόπου] ἀστεροποῦ libri.

21. τὸ πολὺ] τὸ om. M.

εἰρεσιώνας ἐκάλουν. τρόπον οὖν τινα ταῦτα λέγει ὁ Ὀρέστης πρὸς τὸν Μενέλαον ὅτι ἔδει τὰς λιτὰς ὡς θεῷ σοι προσαγαγεῖν μετὰ κλάδων, νῦν δὲ διὰ τὸ μὴ δύνασθαι τοῦτο, ἐπειδὴ πανταχόθεν εἰλοῦμαι καὶ κωλυόμενος τοῦ ἐκ στόματος προαγομένου ταύτας προσάγω. A. *Ἄλλως. ἱκέτης ἀφύλλου στόματος: ἄνευ στέμματος. τὴν γὰρ φυλλάδα ἱκετεύοντες προέτεινον, ὡς παρ' Ὁμήρῳ* Χρύσης "*στέμματ' ἔχων.*" *ἐπεὶ οὖν ἔθος τοῖς ἱκετεύουσι φυλλάδα προτείνειν, τοῦτο δὲ νῦν οὐ πάρεστι, διὰ τοῦτό φησι τὴν ἐκ στόματος καὶ λόγων μόνον ἱκεσίαν ποιεῖσθαι. τινὲς δὲ ἀφύλλου τοῦ κατεξηραμμένου διὰ τὴν νόσον, ἀντὶ τοῦ ἄνευ ἱκετηρίας, ἀπὸ μεταφορᾶς τῶν δένδρων, ἅτινα μὴ ἔχοντα φύλλα ξηρὰ εὑρίσκονται.* A.C.

385. *ὦ θεοί: τί βλέπω; τίνα τῶν νεκρῶν βλέπω.* I. *ἰδὼν ὁ Μενέλαος Ὀρέστην ταῦτα σχετλιάζων φησί.* Fl. 21. *τίνα δέδορκα: τίνα ἐκ τῶν νεκρῶν βλέπω;* M.

386. *εὖ γ' εἶπας: καλῶς με νεκρὸν ἐκάλεσας. οὐ γὰρ ζῶ ὑπὸ τῶν κακῶν. ὅσον ἧκεν εἰς τὰ κακὰ ζῶ.* B.M. *καλῶς ἔφης, ὅτι νεκρός εἰμι δηλονότι· οὐ γὰρ ζῶ ὑπὸ τῶν κακῶν, ὁρῶ δὲ φῶς.* I. *ὅτι τίνα νερτέρων δέδορκας.* Fl. 21. *οὐ γὰρ ζῶ: οὐκ ἄλλο κέκτημαι τῶν ζώντων εἰ μὴ μόνον τὸ ὁρᾶν τὸ φάος.* Fl. 21.

387. *ὡς ἠγρίωσαι: λίαν ἠγριωμένος εἶ, ὦ τάλας, κατὰ τὸν πλόκαμον τὸν αὐχμηρὸν καὶ κατάξηρον.* I. *τὸ αὐχμηρὸν ἑρμηνεία ἐστὶ τοῦ ἠγρίωσαι.* Gu.

388. *οὐχ ἡ πρόσοψις: οὐχ ἡ θεωρία μαστίζει ἐμέ, ἀλλὰ τὰ ἔργα.* I. *τὸ οὐχ ἡ πρόσοψις οὐ πρὸς τὸν λόγον τοῦ μέσου τὸ ἠγρίωσαι ἐστίν, ἀλλὰ πρὸς τὸ τίνα δέδορκα νερτέρων;* Gu. *αἰκίζεται: μαστίζει.* Gr. *ἀφανίζει, λυπεῖ εἰς μνήμην ἰόντα.* Gu. *φθείρει.* Fl. 21.

5. *Ἄλλως* om. C. qui incipit *ἱκέτης ἀφύλου* (sic etiam l. 9.) *ἄνευ στόματος* (sic). *τὴν γὰρ* etc.
6. *προέτεινον, ὡς παρ'*] *προέτεινον:—καὶ παρ'* C.
ib. *Χρύσης* om. C.
7. *φύλλαδα*] *φύλλων* C.
ib. *τοῦτο δὲ* C. *τὸν τῶδε* A. *τούτῳ δὲ* in scholio superiore.
8. *πάρεστι*] *πα...στη* C.
ib. *τὴν ἐκ* ex scholio superiore. *τῶν ἐκ* A. In C. haec ab tineis exesa.
ib. *καὶ* om. A.C.
ib. *λόγων*] *ω* ex *ο* mutatum in C.
ib. *μόνον*] *μόνων* p. 122, 15.
9. *κατεξηραμμένου* scripsi pro *κατεξηραμένου*. *κατὰ ξηραμένου* C.
15. *ἐκάλεσας*] *ὠνόμασας* B.
ib. *γὰρ* om. M.

389. *δεινὸν δὲ καὶ ἄγριον βλέπεις ταῖς ξηραῖς καὶ ἀγρίαις κόραις τῶν ὀμμάτων.* I. *δεινόν: χαλεπὸν, φοβερόν.* Gu. *ξηραῖς κόραις: ἀντὶ τοῦ κατεσκληκυίαις, νεκραῖς.* B. *τῶν γὰρ ἀΰπνων οἱ ὀφθαλμοὶ ξηροί.* Gu.

390. *τὸ σῶμα φροῦδον: ἀντὶ τοῦ εἰς ὄνομα μόνον λείπεται τὰ ἐμὰ καὶ εἰς ὄνομα μόνον σαλεύει τὰ κατ' ἐμὲ, ἐπεὶ τὸ σῶμα ἅπαν μοι φροῦδον γέγονεν.* A.C.M. *τὸ σῶμα φροῦδον: ἐστὶ δηλονότι, ἀντὶ τοῦ ἠφάνισται, ὑπερβολικῶς.* Gr. I. *τὸ δὲ ὄνομα, ἤτοι τὸ καλεῖσθαί με μητροκτόνον, οὐ λέλοιπέ με, ἀντὶ τοῦ οὐκ ἀφῆκεν ἐμέ.* I. *ἐπεὶ ὁ Μενέλαος εἶπε πρὸς τὸν Ὀρέστην ὅτι δεινὸν λεύσσεις ὀμμάτων ξηραῖς κόραις, ἀποκρινόμενος ὁ Ὀρέστης φησὶ, τί λέγεις; ἅπαν μου τὸ σῶμα ἀπολώλει, καὶ σὺ περὶ τῶν ὀμμάτων μου μόνον ποιῇ τὸν λόγον.* Gu. I.

391. *ὦ παράλογόν μοι: ὦ ἀμορφία σὴ, ἡ φανεῖσα ἐμοὶ παραλόγως καὶ παρ' ἐλπίδα.* I.

392. *ὅδ' εἰμὶ μητρὸς τῆς ταλαιπώρου φονεύς: ἤτοι ὅτι ἀνεῖλεν αὐτὴν ταλαίπωρόν φησιν, ἢ προσαγόμενος αὐτὸν εἰς ἔλεον διὰ τοῦ καθομολογεῖν τὴν ἀνόσιον ἑαυτοῦ πρᾶξιν· (οὐ γὰρ πρὸ πράξεως καὶ μετὰ τὴν πρᾶξιν οἱ αὐτοὶ τυγχάνομεν) ἢ ὑπομιμνήσκων ἑαυτὸν ὅτι ἔκδικος τοῦ πατρὸς ὑπάρχει.* A.B.C.M.I. *ταλαίπωρος δὲ παρὰ τὴν πώρην, ὃ δηλοῖ τὸ πένθος. Ἀντίμαχος "πωρητὺν ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος" ἀντὶ τοῦ πένθος λέγει.* B.M.I.

5. ἀντὶ τοῦ εἰς (εἰς τὸ C.)—] Idem scholion in B. sic scriptum, ἐν ὀνόματι μόνον λείπεται τὰ ἐμὰ, ἤτοι εἰς ὄνομα μόνον σαλεύει τὰ κατ' ἐμέ :— ἐπεὶ τὸ σῶμα ἅπαν μοι φροῦδον γέγονε.

ib. λείπεται] λείπετε M. et mox iterum pro σαλεύει. καὶ εἰς ὄ. μόνον om. C.

6. ἅπαν M. πᾶν A. πάνυ C.

7. γέγονεν] γεγονός A.

8. ὑπερβολικῶς om. I.: solum habent Florr.

12. μου alterum om. I.

13. ποιῇ τὸν λόγον Gu. λόγον ποιεῖς I.

16. ὅδ' (ὧδ' A.B.M. etiam in textu a m. pr.) εἰμὶ—ἤτοι ὅτι] ὅδ' εἰμὶ ὁ φονεὺς τῆς ταλαιπώρου μητρός. ταλαιπώρου: ἢ ὅτι I.

ib. ἀνεῖλεν αὐτὴν (ἀνεῖλον αὐτὴν τὴν C.)—διὰ τοῦ] μετανοεῖ ἀνελὼν αὐτὴν ταλαίπωρον ἔφη (φησὶ M.) προσαγόμενος (προσαγόμενον A.) αὐτὸν (αὐτὴν M.I. Scripsi αὐτὸν) εἰς ἔλεον διὰ τὸ B.M.I.

18. ἀνόσιον A.C. ἀνοσίαν ceteri.

ib. ἑαυτοῦ] αὐτοῦ C.

ib. οὐ γὰρ — τυγχάνομεν] Haec ante προσαγόμενος collocat M. addito ταλαίπωρον ἔφη ἢ post τυγχάνομεν, omittunt A.C.

19. ἢ ὑπομιμνήσκων] μιμνήσκων M.

ib. ἑαυτὸν A. αὐτὸν ceteri.

20. δὲ om. M.I.

21. πωρητὺν] πώρη M. πώρητυ B. πώρη τοι I. In πωρήτοιν corruptum ap. schol. Soph. Od. Col. 14. in

393. ἤκουσα: ἀκήκοα· φείδου δὲ λέγειν ἀντὶ τοῦ λέγε τὰ κακὰ ὀλιγάκις. I. φείδου δ' ὀλιγάκις: λείπει τὸ ὥστε. ἤκουσα, ὥστε φείδου λέγειν τὰ κακὰ, οἷον παραιτοῦ τὰ κακὰ πολλάκις λέγειν. ὀλιγάκις δὲ ἀντὶ τοῦ οὐδ' ὅλως, ὡς τὸ "ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς." διὸ λέγειν ἀναγκάζεται ὁ Ὀρέστης, πλουσίως καὶ πολυτελῶς ἔχω τὰ κακά. B.M.I. φείδου: ἤγουν ἡ φειδὼ μὴ ἄλλη τις ἔστω σοι ἢ τὸ λέγειν τὰ κακὰ ὀλιγάκις. I. φείδου δὲ καὶ παραιτοῦ ὀλιγάκις ἀντὶ τοῦ οὐδ' ὅλως, ὡς τὸ "ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς." Gu. παραιτοῦ, ὥστε πλειστάκις, κατ' ἀντίφρασιν. B. ὀλιγάκις: οὐδὲ ὅλως. M. λέγειν: θέλε λέγειν, ἀντὶ τοῦ λέγε. Gr. Fl. 6. 9. 17. 56. 59. 76.

394. φειδόμεθ': διὸ λέγειν ἀναγκάζεται πλουσίως καὶ πολυτελῶς ἔχων τὰ κακά. M. ἡ τύχη δὲ εἰς ἐμὲ πλούσιος ἕνεκεν τῶν κακῶν. I. συστελλόμεθα. Fl. 21. φείδομαι τὸ ἐλεῶ, τὸ ἀκριβολογοῦμαι καὶ τὸ ὑποστέλλομαι, ὡς ἐνταῦθα. Fl. 21.

395. τί χρῆμα: τί ἐστι τὸ χρῆμα, ὃ πάσχεις; τίς νόσος ἀπόλλυσί σε; I. μετὰ γὰρ τὴν μανίαν ἡ ἔννοια τῶν κακῶν αὐτὸν ἐδάμαζεν. A.C.M.

396. ἡ σύνεσις: ἐγκαλοῦσί τινες· πῶς γὰρ, φασὶν, αἰτιᾶται τὴν σύνεσιν, τὸ πᾶν αἴτιον τῶν Ἐρινύων ἐχουσῶν; ἀγνοοῦσι δὲ ὅτι ὑπὸ δισσῶν φησιν ἀπόλλυσθαι, περὶ μὲν τὸν καιρὸν τῆς ὑγιείας ὑπὸ τῆς συνειδήσεως, ἐν δὲ τῇ λύσσῃ ὑπὸ τῶν Ἐρινύων. ὃ καὶ ἐπάγει "μανίαι τε μητρὸς αἵματος," τῆς μητρὸς ἣν ὑφίσταμαι τιμωρίαν, ταύτην διδοὺς ὑπὸ τοῦ τῆς μητρὸς φόνου. A.B.M.I.

πῶρον τίν' apud Suidam s. v. πῶρος et ταλαίπωρος. πωρητὺν restituit Sopingius collata gl. Hesychii πωρητύς: ταλαιπωρία, πένθος. Post ἕκαστος addendum θέντο, alterius versus initium, ex Suida, ubi ἔθεντο scriptum.

2. τὸ ὥστε] τὸ om. M. In A. totum scholion sic scriptum, φείδου δ' ὀλιγάκις: ἵν' ᾖ. ἤκουσα, ὥστε φείδου λέγειν κακά. τὸ δὲ ὀλιγάκις ἀντὶ τοῦ οὐδὲ ὅλως, (hucusque etiam C.) ὡς τὸ "ἦ ὀλίγον οἱ παῖδες (sic)" οὕτως ἡ σύνταξις, φείδου λέγειν τὰ κακὰ ἀντὶ τοῦ πεφεισμένως λέγε τὰ κακά. ὀλιγάκις δὲ ἀντὶ τοῦ καὶ ὀλιγο...... τοῦ δε ἐνταῦθα ἀντὶ τοῦ καὶ κειμένου:—

4. ὡς τὸ] Hom. Il. 5, 800.

5. Τυδεύς—τὰ κακά om. M.

10. οὐδὲ] οὔτε M.

17. γὰρ om. C. in quo lemma est σύνοιδα ex v. 396.

19. φασὶν] φησὶν libri.

20. πᾶν αἴτιον] παναίτιον A.

21. ὑπὸ] ὑπὲρ A. et mox iterum (ante τῆς συνειδήσεως.)

ib. ὑγιείας] ὑγείας A.M.I.

ib. ὑπὸ τῆς] ἐκ τῆς M.

23. μητρὸς] μητρός θ' B. μητρὸς—μητρὸς φόνου om. A.M. quorum A.

ἡ σύνεσις: ἀντὶ τοῦ ἡ συνείδησις, ὅτι σύνοιδα ἐμαυτῷ δηλονότι πεποιηκὼς δεινά. I. σύνοιδα δεινὰ εἰργασμένος, καὶ σύνοιδα ἐμαυτῷ δεινὰ εἰργασμένῳ. Gr. I.

397. πῶς φῄς: πῶς λέγεις; σοφὸν, ἤτοι συνετὸν καὶ φρόνιμον τὸ σαφὲς καὶ εὔγνωστον, οὐ τὸ μὴ σαφὲς καὶ τὸ ἄγνωστον. I. τοῦτο ἔμφασιν ἔχει ὅτι μόνον τὸ σύνεσις ἤκουσε Μενέλαος, καὶ οὐ τὸ ὅτι σύνοιδα· τοῦτο γὰρ σαφέστατόν ἐστι, τὸ δὲ σύνεσις μόνον ἔχει τὴν ἀσάφειαν. Gu. I.

σοφόν τοι τὸ σαφές: διὰ τὸ μὴ πρὸς ἔπος ποιήσασθαι τὴν ἀπόκρισιν, τούτου ἕνεκεν λέγει αὐτὸν ἀσαφῶς εἰρηκέναι. A.B.C.M.I. Ἄλλως. ἐπεὶ αὐτὸς μὲν τὴν ἰδέαν ἐπύθετο τῆς νόσου, ὁ δὲ τὸ συνειδὸς ἔφη· τοῦτο δὲ οὐ πάντως νόσος. τούτου χάριν φησὶν αὐτὸν ἀσαφῶς εἰρηκέναι. τίς οὖν ἐστιν ἡ ἀπὸ τῆς συνειδήσεως νόσος; ἡ λύπη, ὡς ἑξῆς λέγει, ὅτι σύνοιδα δεινὰ εἰργασμένος. μετὰ γὰρ τὴν μανίαν ἡ ἔννοια τῶν κακῶν αὐτὸν ἐδάμαζεν. A.B.I. οὐ τὸ μὴ σαφὲς λέγειν ἐστὶ σοφὸν, ἀλλὰ τὸ λέγειν σαφές. B.M.

398. λύπη μάλιστά ἐστιν ἡ διαφθείρουσά με. I.

399. δεινὴ γάρ: ἰσχυρὰ γὰρ καὶ χαλεπὴ ἡ θεὸς, ἤτοι ἡ λύπη, ἀλλ' ὅμως ἰάσιμος, ἤτοι δυναμένη θεραπευθῆναι. I. θεός: θεὸν καλεῖ τὴν λύπην· πάντα γὰρ τὰ πράγματα παρὰ τοῖς παλαιοῖς εἶχον θεούς. Fl. 21.

400. μανίαι τε: αἱ τιμωρητικαὶ τοῦ αἵματος τῆς μητρὸς, ἃς ὑφίσταμαι, τιμωρίαν ταύτην διδοὺς ὑπὲρ τοῦ τῆς μητρὸς φόνου. A. C.M. καὶ αἱ μανίαι, διαφθείρουσιν ἐμὲ δηλονότι, καὶ αἱ τιμωρίαι καὶ ἐκδικήσεις τοῦ φόνου τῆς μητρός. Gr. I. κατὰ κοινοῦ τὸ διαφθείρουσι. M.

401. ἦρξω: ἦρξω δὲ πότε τῆς λύσσης, ἤτοι τῆς μανίας; τίς ἡμέρα ἦν τότε; I.

(qui similia infra habet p. 126, 22.) post μανίαι τε addit ὅτι σύνοιδα δεινὰ εἰργασμένος.

6. τὸ σύνεσις] τὸ om. I.

10. ἕνεκεν] ἕνεκα A.B.I. Post ἕνεκα A. pergit λέγειν (sic) αὐτὸν σαφῶς (σαφῶς etiam C.) εἰρηκέναι. σοφόν τοι τὸ ἐπεὶ—ὡς ἑξῆς λέγει:—

ib. Ἄλλως praefixum in B., om. I.

12. αὐτὸν (αὐτῷ A.) ἀσαφῶς—τίς οὖν ἐστιν] αὐτὸν et ἐστὶν om. I.

15. σαφὲς—σαφὲς] σαφῶς—σαφῶς B. qui alterum λέγειν om.

23. ὑπὲρ τοῦ τῆς μητρὸς φόνου] ὑπὲρ τοῦ τῆς μητρὸς μόρου C.

24. καὶ αἱ μ.—ἐκδικήσεις] μανίαι τέ με φθείρουσι καὶ ἐκδικήσεις Gr.

25. τοῦ φόνου om. I.

ἦρξω δὲ λύσσης πότε: καὶ τοῦτο πονηρῶς· θέλων γὰρ ἐξελέγξαι τὸν ἀνεψιὸν ὡς θεομισῆ φησιν "ἦρξω δὲ λύσσης πότε," θέλει δὲ μαθεῖν εἰ χρόνιόν ἐστι τὸ νόσημα καὶ δυσίατον. ὁ δέ φησιν, ἐν ᾗ ἡμέρᾳ τὸ τῆς μητρὸς μνῆμα ἐξώγκουν. A.B.M.I.

402. ἐν ᾗ τάλαιναν: γράφεται ἐν ᾗ ταλαίνης μητρὸς ἐξώγκουν τάφον, ὅ ἐστι, τὸ χῶμα ὑπέβαλλον. B.M. ἀναχωματισμόν. B. ἐν ᾗ, ἡμέρᾳ δηλονότι, ἐξώγκουν τὴν τάλαιναν μητέρα τάφῳ, ἀντιστρόφως, ἀντὶ τοῦ ἐν ᾗ ἐξώγκουν τὸν τάφον τῆς ταλαίνης μητρός. I.

μητέρ' ἐξώγκουν: ἐν ᾗ ἡμέρᾳ ὑψηλοποίουν τὸ τῆς μητρὸς μνῆμα. A.M. κατεχώννυον, ἐκάλυπτον. Gr. ἐτίμων. M. Gu. εἰκότως εἶπε τὸ ἐξώγκουν· οἱ γὰρ τῶν παλαιῶν τάφοι συναγωγὴ χωμάτων ἦσαν εἰς ὕψος διήκουσα, βουνῷ ἐοικυῖα. Gu. I. ὅθεν καὶ μέχρι τοῦ νῦν τύμβον ταύτην κατονομάζουσιν. I. τῷ χώματι ὑπέβαλον. Fl. 10.

403. πότερα κατ' οἴκους: ἆρα κατὰ τοὺς οἴκους ἦρξω, τῆς λύσσης δηλονότι, ἢ παρακαθήμενος τῇ πυρᾷ; I. ἀπὸ κοινοῦ τὸ ἦρξω· τουτέστιν ἐν ποίᾳ ἡμέρᾳ ἦρξω καὶ ἐν ποίῳ τόπῳ; κακοήθως δὲ καὶ τοῦτο. A.B.M.I. ὁ δὲ φιλαλήθως λέγει, κατὰ τὴν νύκτα πέπονθα τηρῶν τὴν ἀναίρεσιν καὶ τὴν ἀνάληψιν τῶν ὀστέων, τουτέστιν ἵνα μή τις ἀφέληται ταῦτα. I. πυρᾷ: τῷ τάφῳ. Gr. τῇ τοῦ σώματος αὐτῆς καύσει. Gu.

404. φυλάσσων ὀστέων ἀναίρεσιν: ἤγουν πότε τὸ σῶμα ἀναλωθὲν ἡμεῖς τὰ ὀστᾶ λάβωμεν· ἢ ἀναίρεσιν ἀντὶ τοῦ φθορὰν, ἤγουν

1. καὶ τοῦτο—] Conf. p. 120, 19. Brevius Flor. 10. κακοήθως καὶ τοῦτο ἐξετάζει, ἵνα εἴσεται εἰ χρόνιον ἐστὶ καὶ ἰάσιμον τὸ νόσημα.

ib. θέλων] μὴ θέλων A.M.

ib. ἐξελέγξαι] ἐλέγξαι A.

2. τὸν ἀνεψιὸν om. A.M.

ib. δὲ om. A.

ib. θέλει δὲ] ἤθελε γὰρ A.M.

3. δυσίατον] δύσψαυστον A.

ib. ὁ δὲ—ἐξώγκουν om. A.M. Post ἐξώγκουν in B. additum τιμῶν καὶ τὸ χῶμα ἐπιβάλλων ὑψιλοποίουν (sic).

6. ὅ ἐστι, τὸ χῶμα ὑπέβαλλον om. B.

11. συναγωγὴ] συναγωγοὶ Gu.

16. ἦρξω—καὶ ἐν] ἦρξω δὲ ποίαν ἡμέραν καὶ ἐν A. Idem κακόηθες δέ, omisso καὶ τοῦτο.

17. ἐν ποίᾳ] ἐμποίᾳ M.

18. ὁ δὲ—] Simile scholion, sed partim obliteratum est in B. ὁ δὲ φιλαλήθως λέγει κατὰ τὴν νύκτα πέπονθα φυλάσσων μήποτέ τις ἀφέληται τὰ ὀστᾶ, ἢ παρατηρῶν πότε ...... ἀφέληται τὰ ὀστᾶ :— Quae inde ab μήποτε (cum lemmate ὀστέων ἀναίρεσιν) habet etiam A. ubi postrema integra πότε σβεσθείσης τῆς φλογὸς ἀφέλωμαι ταῦτα :—

σκοπῶν μὴ τὰ ὀστᾶ φθαρῇ τῷ πυρί. Gu. ἤγουν ἀνακομιδὴν, ἀνάληψιν, συλλογήν. Gu.

405. παρῆν τις ἄλλος: ὃς ἀνώρθου τὸ σὸν σῶμα, σφαλλόμενον δηλονότι ὑπὸ τῆς μανίας; I. ὤρθευεν: ἐπεμελεῖτο. Fl. 33. ἐνοσοκόμει. M. Fl. 10. ἐκυβέρνα. Gu.

406. Πυλάδης: ναὶ Πυλάδης, ὁ συνδρῶν, ἐμοὶ δηλονότι, τὸ αἷμα καὶ τὸν φόνον τῆς μητρὸς, ἐκ παραλλήλου. I.

407. φαντασμάτων: ὑπὸ ποίων δὲ φασμάτων νοσεῖς τάδε; I. ἤγουν τίς φαντασία ποιεῖ σε νοσεῖν ταῦτα ἃ νοσεῖς; Fl. 21.

408. ἔδοξ᾽: νυκτὶ ὁμοίας, ἀντὶ τοῦ φοβερὰς, ὡς ὁ ποιητὴς "νυκτὶ ἐοικώς." B.M. ἐνόμισα ἰδεῖν τρεῖς κόρας ὁμοίας νυκτί. I. ἤγουν μελαίνας add. Gr. Florr.

409. οἶδ᾽ ἃς ἔλεξας: οἶδα ἃς ἔλεξας, οὐ βούλομαι δὲ ὀνομάσαι καὶ εἰπεῖν. I.

410. σεμναὶ γάρ: ἀποτρέπου λέγειν ἀπαίδευτα, ἤγουν τοῦ μέμφεσθαι αὐτὰς ἀφίστασο· σεμναὶ γὰρ καὶ σεβάσμιαί εἰσι. I. ἀπαίδευτα: ἀπαίδευτός ἐστιν ὁ ἐνταῦθα γράφων ἀπαίδευτα καὶ τῶν μέτρων παντάπασιν ἀμαθής. σὺ δ᾽ εἰ βούλει μὴ ἀπαίδευτος εἶναι, ἀπαίδευτον ἑνικῶς γράφε· οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς. I. ἀπαίδευτα: ἀντὶ τοῦ ἀπαιδεύτως φυλάττου ὀνομάζειν αὐτάς. πῶς δὲ ἀπαιδεύτως, καλῶν αὐτὰς Ἐρινύας; A.B.C.M.I. Ἄλλως. εὐπαίδευτα κατὰ ἀντίφρασιν ἀντὶ τοῦ ἀπαιδεύτως. ἢ οὕτως· εὐπαιδεύτως δὲ ποιεῖς, ὀνομάζειν αὐτὰς Ἐρινύας παραιτούμενος. B.M.I.

411. αὗταί σε βακχεύουσιν: ἤτοι ἐκμαίνουσι καὶ ταράττουσί σε τῷ συγγενεῖ φόνῳ, ἤτοι διὰ τὸν φόνον τῆς μητρός. I.

Κακοήθως τῷ ὀνόματι ἐχρήσατο τῆς μανίας, κακόηθες δὲ καὶ τὸ ὑπομιμνήσκειν αὐτὸν τοῦ φόνου τῆς μητρός. ἤρκει γὰρ τὸ

10. νυκτὶ ὁμοίας om. M. ἀντὶ τοῦ φοβεράς om. B.

20. ἀπαίδευτα] ἄλλως. ἀπαίδευτα I. ἄλλως etiam in M. qui hoc scholion proximo postponit. In C. ἀπέδευτα— ἀπεδεύτως.

ib. ἀντὶ τοῦ om. M.

ib. ἀπαιδεύτως φυλάττου] ἀπαίδευτα φυλάττουσιν A.

22. εὐπαίδευτα] ἀπαίδευτα I.

ib. ἀντὶ τοῦ ἀπαιδεύτως] ἀντὶ τοῦ εὐπαιδεύτως M.

ib. εὐπαιδεύτως δὲ B. et, omisso δὲ, M. ἀπαιδεύτως δὲ I.

23. αὐτὰς M. ταύτας B.I.

26. Κακοήθως] δὲ add. I.

ib. ἐχρήσατο] χρήσασθαι I.

27. αὐτὸν om. A.

ib. ἤρκει γὰρ] εἰπεῖν add. I. τὸ post γὰρ addidi ex A.

“αὗταί σε βακχεύουσιν” A.B.C.M.I. ὁμοίως δὲ καὶ τῷ εἰπεῖν “οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους” γυμνὸν δείκνυται τὸ κακόηθες Μενελάου· κατέκρινε γὰρ αὐτοῦ χωρὶς κρίσεως. B.C.I. γυμνὸν ἐνταῦθα δείκνυται τὸ ἦθος τοῦ Μενέλεω· κέκρικε γὰρ αὐτὸν ἄνευ κρίσεως. M. τὸ δὲ συγγενεῖ φόνῳ διὰ τὴν μητέρα. ἀλλ' ἔστιν ἡμῖν ἀναφορὰ τῆς συμφορᾶς Ὀρέστης εἶπεν, ὁ δὲ Μενέλαος, οὐ δεινὰ πάσχειν δεινὰ τοὺς πεπραγμένους. καὶ κατέκρινεν αὐτὸν, φησὶν ὁ Ὀρέστης, χωρὶς κρίσεως. A. συγγενῆ φόνον: λείπει ἡ διά, ἵνα ᾖ διὰ τὸν συγγενῆ φόνον. B.M.

412. οἴμοι: οἴμοι ἕνεκα τῶν διωγμῶν, ὑφ' ὧν ἐλαύνομαι ὁ τάλας. I.

413. οὐ δεινόν: ἤτοι θαυμαστὸν πάσχειν χαλεπὰ τοὺς πεποιηκότας δεινά. I.

414. ἀλλ' ἔστιν ἡμῖν ἀναφορὰ καὶ μετάθεσις τῆς ξυμφορᾶς καὶ τοῦ συμβεβηκότος. I. τὸ ἑξῆς οὕτως· ἀλλ' ἔστιν ἡμῖν ἀναφορὰ τῆς συμφορᾶς, ὁ Φοῖβος, κελεύσας τὸν τῆς μητρὸς διαπράξασθαι φόνον. ὁ δὲ Μενέλαος διακόψας τὸν λόγον φησὶ, μὴ θάνατον εἴπῃς, τὸν τοῦ πατρὸς δηλονότι· ὑπελάμβανε γὰρ τοῦτον βούλεσθαι προτείνειν αὐτόν. Gr. I. ὁ μὲν Ὀρέστης διὰ τὸν Ἀπόλλωνα εἶπεν, ὡς κελεύσαντα τὸν φόνον, τὸ ἔστιν ἡμῖν ἀναφορὰ τῆς συμφορᾶς, τουτέστιν εἰς Ἀπόλλωνα ἀναφέρομεν τὴν αἰτίαν τῶν παρόντων· ὁ δὲ Μενέλαος, οἰόμενος αὐτὸν λέγειν τὸν τοῦ πατρὸς θάνατον, ἐκκλείων αὐτὸν τῆς ἀπολογίας φησὶ, μὴ τὸν θάνατον τοῦ πατρὸς προβαλλόμενος λέγε, ὡς δι' ἐκεῖνον τὴν μητέρα ἀποκτείνας εἰς τὰ παρόντα ἐμπέπτωκας. Gu. I. ἀλλ' ἔστιν ἡμῖν ἀναφορά: τῶν συμβάντων πραγμάτων. B.M. ἐπεὶ εἶπεν ὁ Μενέλαος “οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους” καὶ

1. σε βακχεύουσιν] σ' ἐκβακχεύουσιν I., ut in lemmate.

ib. καὶ τῷ] καὶ τὸ B.I.

2. δείκνυται] γίνεται I. Idem fere scholion in C. de quo tineae haec reliquerunt, τῷ δὲ συγγενεῖ φόνῳ (incipit fol. 20b.) διὰ τὴν μητέρα φησ... δεινὰ ἐνταῦθα δείκ .. τα...... τοῦ μενέλ κατ...ρινε γὰρ ... χωρὶς κρίσεως.

8. ἵνα ᾖ om. B.

15.—19. τὸ—αὐτόν] Haec in I. post p. 128, 19.

17. θάνατον om. I.

18. τοῦτον scripsi pro τοῦτο.

19. αὐτὸν addunt Gr. Florr. 6. 9. 17. 21. 56. 59. 76., om. I.

ib. ὁ μὲν] ἄλλως. ὁ μὲν οὖν I.

22. ἐκκλείων] ἐκλύων Gu.

23. προβαλλόμενος om. I.

27. τοὺς εἰργασμένους (τοῖς εἰργασμένοις M.)—πράγματος] τοὺς εἰργασμένους καὶ κατέκρινεν αὐτοῦ χωρὶς κρί-

κατέκρινεν αὐτὸν, ὁ Ὀρέστης φησὶν " ἀλλ' ἔστιν ἡμῖν τῆς συμβάσης τύχης ἀναφορά," ὅ ἐστι, δυνάμεθα τοῦ συμβάντος πράγματος τὴν αἰτίαν ἀναγαγεῖν εἴς τινα, ὥστε μὴ εἶναι ἡμᾶς αἰτίους δεινῶν πράξεων. εἶτα ὁ Μενέλαος " μὴ θάνατον εἴπῃς τοῦ πατρός· οὐ γὰρ σοφόν." εἰ γὰρ καὶ διὰ τὸν πατέρα ἀνεῖλες τὴν μητέρα, δεινὰ πέπραχας· σὺ γὰρ οὐκ ὤφειλες θάνατον ἐπαγαγεῖν τῇ μητρὶ, ἀλλ' ἡ δημοσία κρίσις. εἶτα Ὀρέστης λέγων ὅτι ὁ Ἀπόλλων ἔκρινε, καὶ διὰ τοῦτο οὐ δεινὰ διεπραξάμην, εἴ γε θεὸς ὁ κρίνας καὶ κελεύσας, εἶτα ὁ Μενέλαος· τοῦτο τὸ δεινὸν ἔκρινεν ἀμαθὴς ὤν. εἶτα Ὀρέστης· εἴτε ἀμαθεῖς εἴτε σοφοὶ οἱ θεοὶ οὐκ οἶδα, τοῦτο δὲ οἶδα, ὅτι δουλεύομεν καὶ πειθόμεθα αὐτοῖς, ὁποῖοι ἂν εἰσὶν, εἴτε σοφοὶ εἴτε φαῦλοι. εἶτα ὁ Μενέλαος· εἰ αὐτός σοι ἐκέλευσε, πῶς οὐκ ἐλεεῖ νοσοῦντα καὶ μαινόμενον; εἶτα Ὀρέστης· ἴσως ἐλεήσει· ἀεὶ γὰρ βραδύνει τὸ θεῖον. A.B.M.I.

Ἄλλως. ὅρα τὸ εὐφυὲς τοῦ ποιητοῦ, πῶς δι' ἀμφοτέρων τῶν προσώπων τούτων τοῦ Ὀρέστου καὶ τοῦ Μενελάου τὰς ἐναντίας τῶν ἀνθρώπων δόξας ὑποδηλοῖ. ἐπεὶ γὰρ οἱ μὲν τῶν ἀνθρώπων λέγουσι τιμωρεῖν τὸ θεῖον τοῖς πάσχουσιν, οἱ δ' ἀδιαφοροῦσι, διὰ μὲν τοῦ Ὀρέστου τὸ βοηθεῖσθαι παρὰ τοῦ θείου τοὺς κάμνοντας συνίστησι, διὰ δὲ τοῦ Μενελάου σοφιστικῶς ἀπαγορεύει, ἐκεῖθεν δὲ τὴν ὑφὴν τοῦ λόγου προϋκατεσκεύασεν. εἰπόντος γὰρ τοῦ Μενελάου ἀπὸ τοῦ οἶδα μὲν αὐτὰς, ὀνομάσαι δ' οὐ βούλομαι καὶ καθεξῆς τοῦ Ὀρέστου εἰς μομφὴν τῶν Εὐμενίδων κινηθέντος ὁ Μενέλαος τρόπον τινὰ τοῦτον ἀπεστρέψατο εἰπὼν " αὗταί σε βακχεύουσι συγγενεῖ φόνῳ," δηλόνοτι ἃς κατευτελίζεις καὶ οὐ θέλεις καλεῖσθαι Εὐμενίδας λέγων,

σεως, ὁ ὀρέστης φησὶν, ἀλλ' ἔστιν ἡμῖν τοῦ συμβάντος πράγματος ἀναφορὰ, οἷον δυνάμεθα τῆς συμβάσης τύχης I. In A. totum scholion sic scriptum ἀναφορὰ τῆς ξυμφορᾶς. ὅ ἐστι δυνάμεθα τοῦ συμβάντος πράγματος τὴν αἰτίαν—ὥστε εἶναι ἡμᾶς ἀναιτίους δεινῶν—εἴπῃς τὸν τοῦ πατρός. τοῦτο γὰρ οὐ σοφόν. εἰ γὰρ— εἶτα ὀρέστης ἀντιλέγων, ὁ φοῖβος ἔκρινε— εἶτα μενέλαος τοῦτο τὸ δ. ἔκρινεν ἀμαθὴς ὢν τοῦ καλοῦ εἶτα—σοφοὶ οἱ θεοὶ—αὐτοῖς ὅτι θεοὶ ὁποῖοι—εἴτε καὶ φαῦλοι—εἰ οὗτός σοι—ἐλεήσει. τὸ δὲ θεῖον ἀεὶ μακροθυμεῖ:—

1. ὁ Ὀρέστης φ.] φ. ὀρέστης B.
4. οὐ γὰρ σοφὸν M. τοῦτο γὰρ οὐ σοφὸν B.I.
5. πέπραχας] πέπρακας M. hic et in gl. interl. ubi verba εἰ γὰρ—πέπρακας repetuntur.
7. Ὀρέστης—ὁ Ἀπόλλων] ὁ ὀρέστης—ἀπόλλων I.
8. εἴ γε] εἰ γὰρ M.
ib. ὁ Μενέλαος] ὁ om. I.
9. ἀ. ὢν ante τοῦτο τὸ δεινὸν B.I.
10. οἱ θεοὶ] εἰσὶν οἱ θεοὶ I.
11. εἴτε σοφοὶ εἴτε φαῦλοι om. I.

εὐπαίδευτα δ᾽ ἀποτρέπου λέγειν, ἤτοι ἀπόφευγε τὸ προστιθέμενον αὐταῖς ὄνομα τὸ Εὐμενίδες, παρὰ τὸ εὖ πεπαιδευμένων καὶ σοφῶν λέγειν, καὶ λέγε δήπουθεν τὸ οἰκεῖον αὐταῖς ὄνομα, ἢ αἱ ἀλάστορες, αἱ Τελχῖνες, αἱ φονεύτριαι. πρὸς τὸ "βακχεύουσιν" ὁ Ὀρέστης ἐπιτακτικῶς εἶπε τὸ "οἴμοι διωγμῶν οἷς ἐλαύνομαι τάλας," ὁ δ᾽ ἀντεῖπεν "οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους," ἤγουν μὴ τὰς θεὰς μέμφου, ἑαυτὸν δὲ τὸν αἴτιον τοῦ πάσχειν τὰ δεινὰ ὡς δεινὰ ἐργασάμενον. εἶτα ἐκείνου φεύγοντος τὴν πρᾶξιν καὶ πρὸς τὸν Φοῖβον ταύτην ἀναφέροντος ὁ Μενέλαος ἀπεπέμψατο μὴ εἶναι λέγων τὸ θεῖον ἀμαθὲς τοῦ καλοῦ καὶ τοῦ δικαίου, ἐκείνου δὲ ἐπιμείναντος τῇ ἐνστάσει καὶ λέξαντος ὅτι δουλεύομεν τοῖς θεοῖς, ἤτοι ποιοῦμεν ἃ παρ᾽ αὐτῶν κελευόμεθα, κἂν μὴ λίαν ἐπιστάμεθα τί πρᾶγμά εἰσιν οἱ θεοί, ὁ Μενέλαος τὸν οἰκεῖον βουλόμενος συστῆσαι λόγον ὅτι οὐκ ἐκ θεοῦ ἐκεῖνος, ἀλλ᾽ ἐκ θυμοῦ τὸ πραχθὲν, φησὶν ὅτι πάντως ἂν ἐβοήθησέ σοι ὁ θεὸς, εἴπερ καὶ προσέταξεν. ὡς δ᾽ εἶπεν ἐκεῖνος "μέλλει τὸ θεῖον," ἤτοι βραδύνει, ἐν ταῖς ἀντιδόσεσι ταῖς φαύλαις τε καὶ ταῖς ἀγαθαῖς ὡς ὂν φύσει τοιοῦτον, σοφιστικῶς ἐκεῖνος ἐπήγαγε τὸ "ὡς ταχὺ μετῆλθόν σ᾽ αἷμα μητρὸς αἱ θεαί," ἤτοι ἀπῄτησαν. ἔκλεψε δ᾽ αὐτὸν διὰ τῆς μέσης ἐρωτήσεως τῆς "πόσον χρόνον δὲ μητρὸς οἴχονται πνοαί," ἀποκριθέντος ἐκείνου τὸ πόσον τοῦ καιροῦ ἀνεῖλεν ἐκεῖ τὸ "μέλλει τὸ θεῖον" διὰ τοῦ "ὡς ταχὺ μετῆλθον αἷμα μητρός." Φοῖβος κελεύσας: ἀπὸ κοινοῦ οὕτως συντάξεις, ὅτι ἐκέλευσεν ἂν τοῦτο ὁ Φοῖβος καὶ ἐπιστεύθης ἀληθεύειν, ἐὰν ἦν ἀμαθέστερος καὶ πλέον σοῦ ἀμαθὴς τοῦ καλοῦ καὶ τοῦ δικαίου. τοῦτο δὲ εἶπεν ὡς φαυλίσας τὴν ἀναφορὰν, ὡς τάχα ψευσαμένου τοῦ Ὀρέστου καὶ τούτῳ τῷ τρόπῳ φεύγοντος τὴν μομφὴν τοῦ μητρικοῦ φόνου. κρεῖσσον γὰρ ἦν ἡ αἰτία ἐὰν ἦν αὕτη ὁ θάνατος τοῦ πατρὸς τοῦ θεὸν......A.

415. μὴ θάνατον εἴπῃς: ὅρα ἵνα μὴ εἴπῃς τὸν θάνατον, τοῦ πατρὸς δηλονότι. τοῦτο γὰρ οὐ φρόνιμον. I. ὁ μὲν γὰρ τὸν Ἀπόλλωνα ᾐνίξατο αἴτιον τῆς μανίας, ὁ δὲ ᾤετο τὸν τοῦ πατρὸς λέγειν θάνατον. ἀποκλείων οὖν αὐτῷ ἀπολογίας φησὶ, μὴ λέγε τὸν θάνατον

29. ὁ μὲν γὰρ] γὰρ om. B.I., proximum τὸν om. M.

30. τοῦ πατρὸς] τῆς μητρὸς M.

31. ἀποκλείων οὖν αὐτῷ] ἐκκλείων οὖν αὐτὸν B.I., ut schol. recentior legit p. 129, 22.

ib. ἀπολογίας om. M.

ib. τὸν θάνατον τοῦ πατρὸς] τὸν θάνατόν σοι τῆς μητρὸς ἀπὸ μανίας M.

τοῦ πατρὸς, μηδ' αὐτὸς ἁμαρτὼν εἰς τὸν πατέρα ἀνάφερε τὴν ἁμαρτίαν. εὔηθες γὰρ τὸ αὐτόν τινα ἁμαρτάνοντα ἄλλῳ περιτιθέναι τὴν αἰτίαν. (B.M.I.) σὺ γὰρ, φησὶν, αὐτὸς αἴτιος τυγχάνεις. ἢ οὕτω, μὴ...τὸν παρὰ μητρὸς φόνον, μηδὲ λέγε ὅτι τοῦτον προστέταξαι παρὰ τοῦ κρείττονος πράττειν. οὐ γὰρ ἁρμόζει θεῷ τὸ πρᾶγμα· ὅθεν σιώπα καὶ κρύπτε τὸ ἀμαθὲς τοῦ δαίμονος, καὶ μὴ εἰς τὴν ἡμέραν τὸν θάνατον ἀνένεγκε· οὐ γὰρ σοφόν ἐστι τοῦτο· ἀλλὰ τὸν θάνατον τοῦ πατρός. τοῦτο γὰρ οὐ...δεῖ ἀντιφονεύειν τὸν φονέα. M.

416. Φοῖβος κελεύσας: ὁ Ἀπόλλων κελεύσας ἐκπρᾶξαι, ἀντὶ τοῦ διαπράξασθαι, τὸν φόνον τῆς μητρός. I. Φοῖβος: οὐ τοῦτο βούλομαι εἰπεῖν δηλονότι, ἀλλ' ὁ Φοῖβος. Fl. 21.

417. ἀμαθέστερός γ' ὤν: ἐν ἤθει ὁ λόγος. B. ἀμαθής. B. Gr. ἀντὶ τοῦ ἀμαθής ἐστι. M. εἰ τοῦτο ἐκέλευσεν, ἀμαθής ἐστιν· ἵν' ἐκ τοῦ ἐναντίου δηλώσῃ ὅτι οὐκ ἐκέλευσεν ὁ θεός· οὐ γάρ ἐστιν ὁ θεὸς ἀμαθής. Ἄλλως. μετὰ συλλογισμοῦ τοῦτο εἴρηκεν· εἰ γὰρ οὐκ ἀμαθὴς ὁ θεὸς, δῆλον ὅτι οὐδὲ προσέταξε τοῦτο ποιεῖν. A.B.C. M.I. θέλει ἐνταῦθα δεῖξαι ὁ Μενέλαος τῷ Ὀρέστῃ ὅτι οὐχ ὁ Ἀπόλλων προσέταξεν αὐτῷ τὸν τῆς μητρὸς φόνον, ἀλλ' οἴκοθεν ἐργασάμενος τοῦτον, ἐπειδὴ δυστυχεῖ, προβάλλεται τὸν Ἀπόλλωνα. ἐδήλωσε δὲ τοῦτο διὰ τοῦ εἰπεῖν ἀμαθέστερος ὤν. πρὸς ὃ Ὀρέστης ἀπαντᾷ λέγων, ὑποτασσόμεθα τοῖς θεοῖς ὅ τι περ ἄρα εἰσὶν, εἴτε ἀμαθεῖς, εἴτε μή. Gu. I. τῆς δίκης: τῆς δικαιοσύνης, εἰ τοῦτο ἐκέλευσεν. Gu.

418. δουλεύομεν: ἀνεπίγνωστον γὰρ ἔχουσι τοῖς ἀνθρώποις τὴν γνώμην, ὁποίας ἄρα, φησὶν, εἰσὶ δυνάμεως, καὶ ὅμως δουλεύομεν αὐτοῖς. A.C. δουλεύομεν θεοῖς ἀνθρώπων ἔχουσι τὴν μορφὴν, ἢ ὁποίας

1. ἁμαρτὼν] ἁμαρτήσας B.I.
ib. τὸν πατέρα] τὴν μητέρα M.
2. γὰρ τὸ] τὸ om. M.
ib. ἄλλῳ (ἄλλα M.)] ἄλλοις I.
ib. περιτιθέναι] παρατιθέναι B.I.
3. αἰτίαν] ἁμαρτίαν B.I.
4. μὴ] Post μὴ in M. est ὁ νοσ. Requiritur ὀνείδιζε vel simile quid.
5. πράττειν] Obscure scriptum in M.
7. ἡμέραν] Sic M. vitiose.
8. γὰρ οὐ] Sequuntur in M. literae obscurae, similes vocabulo βέβαιον. Praecedentia quoque non integra.
14. τοῦ ἐναντίου] τῶν ἐναντίων A.C.
ib. ἐκέλευσε] φησὶν add. B.I.
15. ὁ θεός] Pergit A. οὐδὲ προσέταξε τοῦτο ποιῆσαι. ἄλλως. τοῦτο ἐκ συλλογισμοῦ εἴρηκεν. εἰ γὰρ οὐκ ἀμαθὴς ὁ θεὸς προσέ.... τοῦτο ποιῆσαι. Similiter C. θεὸς, δῆλον ὅτι οὐ προσέταξε τοῦτο ποιῆσαι. καὶ ἄλλως. τοῦτο ἐκ συλλογισμοῦ εἴρηται. εἰ γὰρ οὐκ ἀμαθὴς ὁ θεὸς, οὐ προσέταξε τοῦτο :—
16. εἴρηκεν· εἰ γὰρ] ἔδειξεν ὅτι I.
17. θέλει] ἄλλως. θέλει I.
19. ἐπειδὴ] ἐπεὶ δὲ I.
25. ἔχουσι Barnes. pro ἐχόντων.

ὧσι δυνάμεως ἢ κρίσεως, δουλεύομεν αὐτοῖς. τοῦτο δὲ πρὸς τὸ ἀμαθέστερός γ' ἄν. B.M.I. ὅ τι ποτ' εἰσὶν οἱ θεοί: ἀκαίρως τοῦτο· ἑώρακε γὰρ τὸν Ἀπόλλωνα καὶ ἀκήκοεν αὐτὸν αἴτιον· ὡς εἴ τις ἰδὼν ἀετὸν λέγει, τί ποτέ ἐστιν ἢ ἀετός; B.M.

419. κἆτ' οὐκ ἀμύνει: καὶ εἶτα οὐ βοηθεῖ ὁ Ἀπόλλων τοῖς σοῖς κακοῖς. I. πανοῦργος πᾶσα ἡ ἐρώτησις· ὁ μὲν γάρ φησιν ὅτι ὁ Ἀπόλλων μοι ἐκέλευσεν ἀνελεῖν τὴν μητέρα, ὁ δὲ ἀντεπάγει, καὶ πῶς ὁ κελεύσας ἀναιρεῖν τὴν μητέρα οὐκ ἐλεεῖ σε μαινόμενον; τοῦ δὲ εἰπόντος ὅτι μελλητικόν ἐστι τὸ θεῖον, πάλιν ὁ Μενέλαός φησι, πῶς οὖν αἱ Ἐρινύες ταχέως μετῆλθον; οὐκ εἰσὶ καὶ αὗται θεαί; ἐλέγχει οὖν αὐτὸν ὡς καταψευδόμενον. B.M.I. ἀμύνει: ἐκδικεῖ. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. συνεργεῖ. Fl. 33.

420. μέλλει: βοηθῆσαι, ἢ μέλλει ἀντὶ τοῦ βραδύνει· τὸ θεῖον γάρ ἐστι φύσει τοιοῦτον, ἤγουν βραδὺ, τουτέστι μακρόθυμον. I. ἤγουν μέλλει καὶ πρὸς βοήθειαν καὶ πρὸς κόλασιν· πρὸς μὲν βοήθειαν, ἵνα δοκίμιον λήψηται τῆς προαιρέσεως τῶν τῆς βοηθείας αὐτοῦ ἀπολαύσειν μελλόντων· πρὸς δὲ κόλασιν, ἵνα τῷ χρόνῳ ἐπανάξῃ αὐτοὺς πρὸς ἃ δεῖ. Gu. I.

τὸ θεῖον δ' ἐστὶ τοιοῦτον φύσει: ἤγουν μέλλει ἀεὶ τὸ θεῖον, ὀκνηρόν ἐστι πρὸς τὰς ἀμοιβὰς, γύμναζον ἡμῶν τὴν διάνοιαν. C.

421. πόσον: ἐπὶ πόσον δὲ χρόνον οἴχονται, καὶ ἐφθαρμέναι εἰσὶν, αἱ πνοαὶ, ἤτοι αἱ ζωτικαὶ δυνάμεις καὶ ἐνέργειαι, τῆς μητρός; I. πόσον χρόνον δὲ μητρός: ἐχρῆν εἰπεῖν πόσῳ χρόνῳ. τὸ μητρός κακοήθως καὶ δυσωπητικῶς. καὶ διὰ τοῦ εἰπεῖν δὲ "ὡς ταχὺ μετῆλθόν σε" ἐλέγχει αὐτὸν ὡς ἀθεεὶ πεπραχότα τὸν φόνον, ὅπου γε αἱ μὲν Ἐρινύες εὐθέως τῇ μητρὶ συνεμάχησαν, ὁ δὲ Ἀπόλλων ἀναβάλλεται

1. et 4. ἢ om. M.
2. γ' ἄν om. M.
3. καὶ ἀκήκοε ante τὸν Ἀπόλλωνα B., omisso αὐτόν.
6. ὅτι om. B.I.
8. ἀναιρεῖν] ἀνελεῖν B.I.
9. τοῦ δὲ] τούτου δὲ M.
11. οὖν] δὲ B.I.
15. μὲν βοήθειαν] μὲν τὴν βοήθειαν I.
20. γυμνάζον] γυμνάζων C.
23. πόσον—δυσωπητικῶς om. A. C.M.

ib. χρόνῳ] δὲ add. B.
24. καὶ διὰ τοῦ εἰπεῖν δὲ—μετῆλθόν σε] ὡς ταχὺ μετῆλθόν σε (σε om. A.): διὰ τούτων (καὶ διὰ τοῦτο A.) A.C.M.
25. ἀθεεὶ A. ἀθέως ceteri. Proxima πεπραχότα—εὐθέως om. C.
26. συνεμάχησαν, ὁ δὲ Ἀπόλλων ἀναβάλλεται] συνεμάχησαν..... οσ ἀναβάλλεται C. Fuit ὁ δὲ ἥλιος ἀναβάλλεται, ut est in A.

τὴν συμμαχίαν. ἡ ἀνθυποφορά ἐστι τοῦ εἰρημένου ὑπὸ Ὀρέστου, τὸ θεῖόν ἐστι τοιοῦτον φύσει. A.B.C.M.I.

422. ἕκτον τόδ' ἦμαρ: ἤτοι ἓξ ἡμέραι εἰσὶν, ἐξ οὗ ἐφθάρησαν δηλονότι, ἔτι ἡ πυρὰ τοῦ τάφου θερμὴ, ἤτοι ὁ τόπος ἐν ᾧ ἐκάη τὸ σῶμα. I.

423. ὡς ταχύ: λίαν ταχέως ἐτιμωρήσαντό σε αἱ θεαὶ, διὰ τὸν φόνον τῆς μητρός. I. μετῆλθον: τὸ μετῆλθον εἰ μὲν ἀντὶ τοῦ ἐτιμωρήσαντο εἴποις, εὐθεῖαν τὸ αἷμα νοήσεις, οὕτω λίαν ταχὺ ἐτιμωρήσαντό σε αἱ θεαὶ καὶ τὸ αἷμα καὶ ὁ φόνος τῆς μητρός· εἰ δὲ ἀντὶ τοῦ ἀπῄτησαν, αἰτιατικὴν οὕτω, λίαν ταχέως ἀπῄτησάν σε αἱ θεαὶ τὸ αἷμα καὶ τὸν φόνον τῆς μητρός. Gu. I. ὡς ταχύ: λίαν ταχέως, ἤγουν τάχιστα, ἐτιμωρήσαντό σε διὰ τὸν φόνον τῆς μητρός. Gr. αἷμα μητέρος: ἀντὶ τοῦ ἕνεκεν τοῦ αἵματος. Fl. 21.

424. οὐ σοφός: ἀντὶ τοῦ σοφιστὴς, ἤτοι ἀπατεὼν, ἀληθὴς δὲ καὶ φανερὸς κακὸς, ἔφυς κατὰ κοινοῦ, εἰς τοὺς φίλους. I. οὐ σοφὸς εἶ, διαρρήδην μοι ὀνειδίζων τῆς μητρὸς τὸ αἷμα, ἀληθὴς δέ· ἀληθεύει γὰρ λέγων διὰ τὸν φόνον ἀμύνεσθαι αὐτὸν τὰς Ἐρινύας. A.B.M.I. πρὸς ὃν κλαπεὶς ὁ Ὀρέστης εἰς κολακείαν αὐτοῦ προὔθετο τὸ "οὐ σοφὸς, ἀληθὴς δ' εἰς φίλους ἔφυς κακός." τοῦτο δὲ τὸ ἔπος ἐναντιοφανές ἐστιν. ἐναντιοφανῆ δὲ λέγεται τὰ ῥητὰ τὰ μὴ τοῖς ἄνωθεν...τῇ ἀπάτῃ κειμένῃ φράσει συναρμοζόμενα, νοήματι δὲ ἢ συντάξει θεραπευόμενα. σκόπει γὰρ ὅτι πρὸς ὕβριν ἐστὶ τοῦ Μενελάου τὸ οὕτως εἰπεῖν "οὐ σοφὸς ἔφυς, ἀληθὴς δὲ καὶ τέλειος κακὸς εἰς τοὺς φίλους," καὶ ποῦ δὲ τὸν ἱκέτην ὑβρίζειν τὸν ἱκετευόμενον. θεραπευτικὸν δὲ τὸ ἔπος τῇ συντάξει οὕτως, οὐ σοφὸς κακὸς εἰς φίλους ἔφυς, ἀληθὴς δὲ ἔφυς σοφός. τὸ δὲ νόημα τοιοῦτον, σοφὸς μὲν ἀληθὴς λέγεται ὁ ὄντως σοφὸς, σοφὸς δὲ κακὸς ὁ σοφιστὴς

1. ἢ] καὶ B. In. A. est ἡ ἀνυποφορά (sic) ἐστι τὰ εἰρημένα—. Verba ἢ—φύσει om. C.

9. καὶ τὸ αἷμα] καὶ om. Gu.

10. ταχέως om. I.

15. οὐ σοφὸς εἶ (εἶ om. A.M.)] ἄλλως praefixum in I. In C. οὐ σοφὸς ὑπάρχεις. διαρρήδην ὀνειδίζων μοι τὸ αἷμα τῆς μητρὸς, ἀληθεὶς (sic) δὲ φόνου δοτική. ἀληθεύει διὰ τὸν φόνον ἀμύνεσθαι αὐτὸν τὰς ἐριννύας :—

16. τὸ αἷμα ante τῆς μητρὸς A.

17. ἀληθεύει γὰρ λέγων] ἀληθῆ γὰρ λέγει I.

ib. τὸν φόνον] τῆς μητρὸς add. I.

ib. ἀμύνεσθαι] ἀμύνασθαι I.

21. ἄνωθεν] Post ἄνωθεν in A. leguntur aliquot literae obscurae, quarum ultima est τ͡.

24. ποῦ δὲ] Fortasse οὐ δεῖ.

25. θεραπευτικὸν] Immo θεραπευτέον.

καὶ ἀπατεὼν καὶ πιθανολογούμενος. λέγει τοίνυν αὐτῷ κολακικῶς ὅτι ἐσόφισάς με, ὦ Μενέλαε, εἰπόντος βραδὺ εἶναι τὸ θεῖον πρὸς συναspισμὸν, ἀντειπὼν ὡς ταχὺ μετῆλθον αἷμα μητρὸς θεαὶ, σὺ δὲ ἀληθὴς εἶ σοφὸς, οὐ κακὸς σοφὸς εἰς φίλους, ἤγουν διὰ τῆς σοφιστείας καὶ πιθανότητος πλανήτης τῶν φίλων. A.

Ὀνειδίζοντος Μενελάου Ὀρέστης φησὶν οὕτω πρὸς αὐτόν. ἐπεὶ διαρρήδην ἡμᾶς ὀνειδίζεις, οὐ σοφὸς εἶ, ἀληθὴς δὲ κακός· ἀληθὴς μὲν, ὡς οὐδὲν ὢν κατ' ἐμοῦ λέγεις ψευδῶς λέγων, κακὸς δὲ, ὡς ἐναργῶς ὀνειδίζων. ἐχρῆν γάρ σε χρωματίζοντα τοὺς λόγους ἐκφέρειν πρὸς παραμυθίαν, ἀλλ' οὐ πρὸς λύπην. Gu. I. οὐ σοφός: εἶ δηλονότι, ἤγουν ἐπιτήδειος. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. πανοῦργος, ὡς σχηματίζεσθαι μὲν φιλίαν, τὰ τῶν ἐχθρῶν δὲ φρονεῖν. Gu. Fl. 6. ἔφυς κακός: ἀντὶ τοῦ ὑπάρχεις. M.

425. πατρός: τοῦ πατρὸς δὲ ἡ τιμωρία καὶ ἡ ἐκδίκησις κατὰ τί ὠφελεῖ σε; I. ἐν ἐρωτήσει ὁ λόγος, ὠφελεῖ τί σε ἡ εἰς τὸν πατέρα γενομένη ἐκδίκησις; ἢ οὕτως, οὐ προέστη σου ὁ πατὴρ, ὥστε ἀποσοβῆσαι τὰς Ἐρινύας; B.I. τῆς ἀναιρέσεως τοῦ πατρὸς, τὸ τιμωρίαν σε λαμβάνοντα φονεῦσαι τὴν μητέρα, τίς δύναται συνάρασθαί σοι πρὸς τὸ μηδὲν παθεῖν, ὡς φονέα; A.B.M.I. πατρὸς δὲ δὴ τί σ' ὠφελεῖ τιμωρία: οἱ Ἀττικοὶ προπαροξύνουσι μόνον τοῦτο, τιμωρία. τὸ δέ τις ἄμεινον βαρύνειν δή τις. Fl. 21.

426. οὔπω: οὔπω, ὠφέλησε δηλονότι· τὸ μέλλον δὲ λέγω ἴσον ἀπραξίᾳ καὶ ἀποτυχίᾳ. I. τὸ μέλλον: οὐ προσωφέλησε, μέλλει δὲ ὠφελήσειν δηλονότι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὸν βραδυσμόν.

6. Ὀνειδίζοντος] ἄλλως praef. in I.

ib. φησὶν οὕτω πρὸς] φησὶ πρὸς I.

7. ἀληθὴς μὲν—] Haec in Gu. sic scripta, ἀληθὴς μὲν ὡς οὐδὲν κατ' ἐμοῦ λέγων ψευδῶς (post ψευδῶς erasum est λέγων). ἀληθεύεις γὰρ διὰ τὸν φόνον λέγων ἀμύνεσθαι τὰς ἐριννύας ἐμὲ, κακὸς δὲ etc. In fine post λύπην addit, εἴπερ σοφὸς ἦσθα (καὶ οὐ add. Matth.) κακός.

16. γενομένη] γινομένη I.

ib. ἐκδίκησις] ἐκδικίαι (sic) B.

ib. σου] σοι I.

17. τῆς ἀναιρέσεως] ἄλλως praef. in I., ἐν ἐρωτήσει ὁ λόγος ἀντὶ τοῦ τῆς (τῆς om. M.) ἀναιρέσεως etc. A.M. Et M. supra versum ἐν ἐρωτήσει ἀναγνωστέον.

ib. πατρὸς—φονεῦσαι] πατρὸς τιμωρίαν σοῦ λαμβάνοντος τὸ φονεῦσαι B.I.

18. συνάρασθαι] συνάφεσθαι A. συνερᾶσθαι M. Post ὡς φονέα iidem addunt, ἢ οὐ προσέστη (πρόσεστι A.) σοι ὁ πατὴρ ὥστε ἀποσοβῆσαι τὰς ἐρινύας.

20. προπαροξύνουσι] προπαροξυτονοῦσι Fl. 21. In B. haec sic scripta, τὸ δὲ τιμωρία οἱ ἀττικοὶ προπαροξύνουσι τιμώρια. καὶ τὸ τις σ' (literae τις σ' obscurae) ἄμεινον βαρύνειν δή τις σ'.

24. τὸν (τὸ Fl.) βραδυσμόν] Hoc voc. utitur Theod. Prodr. Rhod. 1, 133, 1.

Fl. 10. τὸ βραδύνειν. Gu. ἀπραξίᾳ: ἀργίᾳ. Gr. Fl. 6. 9. 17. 34. 56. 59. 76. ἀποτυχία. Gu. ἀργὸν τὸ δῶρον, ματαία ἡ χάρις. Fl. 59.

427. τὰ πρὸς πόλιν δὲ πῶς ἔχεις δράσας τάδε: ἤγουν πῶς διάκεινται οἱ πολῖται πρὸς σὲ, τὸν τῆς μητρὸς ἐργασάμενον φόνον. Gu. I. τὰ πρὸς πόλιν: πονηρῶς πάλιν ἐρωτᾷ, ἵνα, εἰ μὲν εὐμενεῖς ἔχει τοὺς πολίτας, ἀφέξηται τοῦ ἐπιχειρήματος, εἰ δὲ ἐχθραίνοντας, ἐπιθέμενος κρατήσῃ. A.B.M.I.

428. μισούμεθ': οὕτω μισούμεθα ὥστε μὴ προσαγορεύειν ἡμᾶς τινά. I.

429. οὐδ' ἥγνισαι: οὐδὲ ἐκαθάρθης κατὰ τοὺς νόμους τὸ σὸν αἷμα, ἀντὶ τοῦ τὸ αἷμα καὶ τὸν φόνον τῶν σῶν χειρῶν; Gr. I. νόμος γὰρ ἦν ἀποκαθαίρεσθαι τοὺς ἐμφύλιον φόνον πεπραχότας. ὁ δὲ νοῦς, οὐκ ἐκαθάρθης ἀπὸ τοῦ ὑπὸ σοῦ πεπραγμένου φόνου; ἢ σὸν αἷμα ἀντὶ τοῦ συγγενικὸν φόνον. A.B.M.I.

οὐδ' ἥγνισαι: οὐκ ἐκαθάρθης εἰς τὸν φόνον, ὃν ἐποίησας, καθώς ἐστι νόμος καθαίρεσθαι τοὺς φονεῖς τὰς χεῖρας τὰς ἐργασαμένας τὸν φόνον. Gu. κεκάθαρσαι ὅνπερ ἔδρασας φόνον, ἢ τὸ συγγενικόν. Gu.

430. ἐκκλείομαι: οὐδαμῶς ἥγνισμαι· ἐκκλείομαι γὰρ τῶν δωμάτων, ἤτοι ἔξω κλείομαι, οὐκ ἐῶμαι εἰσελθεῖν ὅπῃ μέλλω, καὶ ἔλθω, ἐπὶ τὸ ἁγνισθῆναι δηλονότι. I. ἐκβάλλεται ὁ ἔνδον ὢν, ἐκκλείεται δὲ ὁ μὴ εἰσελθεῖν συγχωρούμενος. I.

431. τίνες πολιτῶν: τίνες πολῖται ἁμιλλῶνται, ἤτοι ἐκβαλεῖν σε τῆς γῆς σπουδάζουσιν; I. ἐξαμιλλῶνται: ἐπιδιώκουσι, φιλονεικοῦσινἐκβάλλειν τῆς γῆς σπουδάζοντες. B.M. Fl. 21. ἐκδιώκουσιν.

4. πρὸς σὲ] περὶ σὲ Gu. idque ante οἱ π.

6. ἀφέξηται M. ἀφέξεται A.B.I.

ib. τοῦ ἐπιχειρήματος] τῆς ἐπιχειρήσεως B.I. In A. est πρὸς (omisso τὰ) πόλιν δὲ πονήρως—ἵνα εὐμενὲς ἔχῃ—ἀφέξεται τοῦ ἐπιχειρήματος, εἰ δὲ δι ἐχθραίνοντα ἔπει κρατ͂.

10. νόμους—σῶν] νόμους τὸν φόνον τῶν σῶν Gr.

11. νόμος γὰρ ἦν] ἦν om. M. Idem supra versum νόμος γὰρ ἐκκαθαίρεσθαι τοὺς ἐμφύλιον νόμον (sic) δράσαντας. In B. haec cum scholio superiore sunt conjuncta, τὸ δὲ ἥγνισαι σὸν αἷμα φησὶν ἐπειδὴ νόμος ἀποκαθαίρεσθαι etc.

12. τοὺς ἐμφύλιον φόνον πεπραχότας] τὸν ἐμφύλιον δράσαντα φόνον B.I. In A. νόμος γὰρ αὐτοῖς καθαίρεσθαι τοὺς ἐμφύλιον πόλεμον πεπραχότας—φόνου; σὸν αἷμα ἀντὶ τοῦ συγγενῆ φόνον. In C. οὐδ' ἥγνισται (sic). νόμος γὰρ αὐτοῖς καθαρεῖσθαι τοὺς ἐμφίλους φόνους πεπραχότας:—

14. φόνον om B.I.

23. ἐπιδιώκουσι om M., Fl. 21. sed addunt ἀντὶ τοῦ.

24. ἐκβάλλειν] ἐκβαλεῖν M.

ἐνήλλακται δὲ ἡ πτῶσις. M. διώκουσιν, ἐκβαλεῖν τῆς γῆς σπεύδουσιν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐξελαύνουσι. Gu.. ἐκβάλλουσι. Fl. 34. ἀποπέμπουσι. Fl. 33.

432. Οἴαξ: ὁ Οἴαξ ἀναφέρων καὶ ἀνατιθεὶς τῷ πατρὶ, τῷ ἐμῷ δηλονότι, τὸ μῖσος τῆς Τροίας, τὸ ἐπὶ Τροίᾳ μῖσος τοῦ πατρὸς ἀναφέρων εἰς ἐμέ. I.

Οἴαξ: Ναυπλίου καὶ Κλυμένης τῆς Ἀτρέως ἐγένοντο Οἴαξ καὶ Παλαμήδης. ὁ δὲ Παλαμήδης ἀπελθὼν εἰς Τροίαν τὰ μέγιστα ὤνησε τὸν Ἑλληνικὸν λαόν· λιμωττόντων γὰρ ἐν Αὐλίδι, καὶ περὶ τὴν διανομὴν τοῦ σίτου δυσχεραινόντων τε καὶ στασιαζόντων, πρῶτον μὲν τὰ Φοινίκων διδάξας ἴσην αὐτοῖς καὶ ἀνεπίληπτον τὴν διανομὴν ἐν τούτοις ἐπραγματεύσατο. ἔπειτα καὶ περὶ κύβους ἔτρεψεν αὐτῶν τὴν ὀλιγωρίαν· καὶ μέτρα ἐξεῦρε καὶ ψῆφον, ὥστε μέγα ἔχειν ὄνομα παρὰ τοῖς Ἕλλησι. τούτῳ δὲ φθονήσαντες οἱ περὶ τὸν Ἀγαμέμνονα

7. Οἴαξ Ναυπλίου—] In Gu. hoc scholion post seqnens adscriptum est, sed aliis verbis: ἡ τοῦ Παλαμήδους ἱστορία πλατυκώτερον καὶ ἀκριβέστερον οὕτως ἔχει· Ναυπλίου—Παλαμήδης· ὃς ἀπ. εἰς Τρ. μέγ. ὤν. τὸν Ἑ. λαόν· λιμώττοντας γὰρ παρεμυθήσατο, γράμματ' ἐξευρὼν καὶ κύβους καὶ ἀλλὰ τὰ (corrige ἄλλ' ἄττα) παίγνια, ἐν οἷς σφᾶς αὐτοὺς τρέποντες διέφερον τὴν ἔνδειαν, ὥστε διὰ ταῦτα τὸν Παλαμήδην μέγα σχεῖν ὄνομα. φθονήσαντες δὲ τούτῳ οἱ περὶ Ὀδ. καὶ Διομήδη καὶ Ἀγ. τοιόνδε σκ. κατ' αὐτοῦ· λαβόντες γὰρ αἰχμάλωτον Φρύγα—φονεύουσι, θερ. δὲ Παλ. πείθουσι τά τε χρήματα καὶ τὴν συσκευασθεῖσαν ταύτην γραφὴν ὑπὸ τὴν κλ. θ. Π. αὐτοὶ δὲ παρ. εἰς τὸ στρατόπεδον προδ. κατ. τοῦ ἥρ. καὶ φωρ. ταῦτα κατὰ τὴν σκηνὴν διετείνοντο. εὑρεθέντων δὲ τῶν χρημάτων καὶ τῆς γραφῆς ὑπὸ τὴν κλ. λίθ. φον. Π. ὃς ὅτε ἔθνησκεν ἔφη· χαῖρ' ἀλήθεια κυδρή· προέθανες γὰρ ἐμοῦ. Ναύπλιος—βασιλεῦσιν, ἀπῆλθεν ἄπρακτος. καὶ πρότερον μὲν περιπλέων τὴν Ἑλληνίδα χώραν παρεσκεύασε τὰς τῶν Ἑλλήνων γυναῖκας ἑτέρους ἁρμόσασθαι, ὡς ἐκείνων ἀπολωλότων· ἔπειτα δὲ τὴν τῶν Ἑλλήνων ἀκούσας ἐπάνοδον, ἧψε φρυκτωρίας περὶ τὰ κοῖλα τῆς Εὐβοίας, ἃ Καφηρεὺς καὶ Ξυλοφάγος καλεῖται, ὅπου προσπελάσαντες ἐν τῷ δοκεῖν λιμένα εἶναι διεφθάρησαν.

ib. τῆς Ἀτρέως] τῆς om. M. τῆς κρᾶρ A.

ib. ἐγένοντο] ἐγένετο A.

8. τὰ] τὰ ὡς A.

9. λαόν A.M. στρατόν B.I.

ib. λιμωττόντων] λιμωσσόντων A.

ib. καὶ περὶ] καὶ om. A.

10. τοῦ σίτου] αὐτῶν A.M.

ib. δυσχεραινόντων τε καὶ στασιαζόντων] δυσχεραίνοντες καὶ στασιάζοντες A.

11. φοινίκων M. φοινίκια B.I. Addendnm γράμματα, quod additum in scholio recenti infra.

ib. ἴσην αὐτοῖς καὶ A.M. ἦγεν αὐτοῖς ἴσην τε καὶ B.I.

12. ἐν τούτοις om. A.

ib. ἔτρεψεν αὐτῶν] ἔτραισεν αὐτοῖς A.

13. τὴν ὀ.] τὴν om. I.

ib. καὶ μέτρα ἐξεῦρε καὶ ψῆφον om. A.

ib. ἔχειν A. σχεῖν ceteri.

14. τοῖς om. A.

ib. τούτῳ] τοῦτο B. ἐπὶ τούτῳ A. ἐπὶ τοῦτο M.

ib. τὸν Ἀ.] τὸν om. A.M.

καὶ Ὀδυσσέα καὶ Διομήδη τοιόνδε τι σκευωροῦσι κατ' αὐτοῦ· λαβόντες γὰρ Φρύγα αἰχμάλωτον, χρυσίον κομίζοντα Σαρπηδόνι, ἠνάγκασαν γράψαι Φρυγίοις γράμμασι περὶ προδοσίας ὡς παρὰ Πριάμου πρὸς Παλαμήδην. καὶ τοῦτον μὲν φονεύουσι, θεράποντα δὲ Παλαμήδους πείθουσι χρήμασιν ἅμα τοῖς Τρωϊκοῖς χρήμασι καὶ τὸ γραφὲν πινάκιον ὑπὸ τὴν κλίνην θέσθαι Παλαμήδους. αὐτοὶ δὲ παρελθόντες προδοσίαν κατήγγελλον τοῦ ἥρωος καὶ φωραθῆναι τὴν σκηνὴν ἐκέλευον. εὑρεθέντος δὲ τοῦ πινακίου καὶ τῶν χρημάτων ὑπὸ τὴν κλίνην λίθοις φονεύεται Παλαμήδης. Ναύπλιος δὲ ἀκούσας ἧκεν εἰς Ἴλιον δικάσαι τὸν φόνον τοῦ παιδός. τῶν δὲ Ἑλλήνων κατολιγωρούντων αὐτοῦ πρὸς τὸ κεχαρισμένον τοῖς βασιλεῦσιν, ἀποπλεύσας εἰς τὴν πατρίδα καὶ πυθόμενος ἀποπλεῖν τοὺς Ἕλληνας ἧκεν εἰς Εὔβοιαν, καὶ χειμῶνα φυλάξας φρυκτωρίας ἧψε περὶ τὰς ἄκρας τῆς Εὐβοίας. οἱ δὲ εὐεπίβατον νομίσαντες τὸν τόπον προσορμίζονταί τε καὶ ἐν ταῖς πέτραις ἀπόλλυνται πάμπολλοι. τὸν δὲ Παλαμήδους θάνατον οἱ μὲν ἐν Γεραιστῷ, οἱ δὲ ἐν Τενέδῳ, οἱ δὲ ἐν Κολωνοῖς τῆς Τρῳάδος ὑποτίθενται. φασὶ δὲ αὐτὸν εὑρεῖν φρυκτωρίας καὶ μέτρα καὶ σταθμοὺς καὶ πεττοὺς καὶ γράμματα καὶ φυλακὰς καὶ δίσκους καὶ ἀστρολογίας. A.B.M.I.

Οἴαξ ἀδελφὸς ἦν Παλαμήδους, ὃς εἰς Τροίαν μετὰ τῶν Ἑλλήνων

1. σκευωροῦσι A. σκευορεῦσι M. σκαιωροῦσι B. Gu. I.

3. Φρυγίοις γράμμασι] φρύγια γράμματα A.

4. καὶ τοῦτον] καὶ om. B.

7. κατήγγελλον] κατήγγελον Gu. I.

8. πινακίου—φονεύεται] πινακίου κ... λύεται A.

9. Παλαμήδης] ὁ παλαμήδης I.

ib. ἧκεν] ἦλθεν Gu. I.

10. κατολιγωρούντων] ὀλιγωρούντων A.

13. ἄκρας A.B.M. (ut correxerat Valcken. ad Herodot. p. 484.) ἀκτὰς I.

15. ἀπόλλυνται] ἀπόλυνται A. ἀπόλλονται M., forma verbi in inferiorum scriptorum codicibus frequens.

ib. πάμπολλοι om. A. qui post ἀπόλυνται pergit, τὸν δὲ παλαμήδην φησὶν εὑρηκέναι φρυκτήρια καὶ μέτρα καὶ σταθμοὺς καὶ πεττοὺς γράμματα φύλακας καὶ ἀστρολογίας, reliquis omnibus omissis.

ib. τὸν δὲ om. B.I.: sed in B. nonnihil spatii relictum est.

16. ἐν Γεραιστῷ] πρὸς γεραιστῷ I.

18. πεττοὺς M., ut in scholio proximo. πεττείας B.I.

19. ἀστραγάλους Matth. ἀστρολογίας etiam in scholio recentiore quod sequitur p. 139, 10.

20. Οἴαξ] ἄλλως praef. in I. Brevius scholion in C. Οἴαξ ἦν πατὴρ τοῦ παλαμήδους. τοῦ μὲν παλαμήδους κατηγορηθέντος ὑπὸ τοῦ ὀδυσσέως προσέταξεν ἀγαμέμνων καὶ ἐλίθασαν αὐτόν. καὶ οὕτως πάλιν ἐτελεύτησεν ἐν τῇ τροίᾳ ἀδίκως ὑπὸ τῶν λιθοβολιῶν :—

ib. ὃς εἰς] ὃς καὶ εἰς τὴν I.

ἐστράτευσε, καὶ θαυμασθεὶς ὡς οὐδεὶς τῶν πώποτε γενομένων ἐπὶ σοφίᾳ, φθονηθεὶς ὑπὸ Ὀδυσσέως καὶ Διομήδους καὶ Ἀγαμέμνονος ἀνῃρέθη λίθοις, ἀνθ' ὧν ὁ ἀδελφὸς αὐτοῦ Οἴαξ ἀμυνόμενος Ἀγαμέμνονα,—τοῦτο γάρ ἐστι τὸ τῆς Τροίας μῖσος ἀναφέρων πατρί,—συναγωνίζεται τὸν κατὰ τοῦ Ὀρέστου θάνατον. διὸ καὶ Ὀρέστης ἐρωτηθεὶς ὑπὸ Μενελάου, τίς ἐστιν ὁ διώκων αὐτὸν, Οἴαξ φησίν. οὗτος ὁ Παλαμήδης λέγεται εὑρηκέναι ιζ' γράμματα μήπω τότε ὄντα, ἀλλὰ Φοινίκων ἐχρῶντο γράμμασιν οἱ ἄνθρωποι, ἄλλοι δὲ ἄλλοις. εὗρε δὲ καὶ πεττοὺς πρὸς παραμυθίαν τῶν Ἑλλήνων καὶ φρυκτωρίας καὶ σταθμοὺς καὶ ψήφους καὶ ἀστρολογίας. Gu. I.

τὸ Τροίας: ἀντὶ τοῦ ἐπὶ Τροίας, μῖσος τοῦ πατρὸς ἀναφέρων εἰς ἐμὲ ἐνήλλακται. M.

433. συνῆκα: ἐνόησα. Gu. ἔγνων· ὁ φόνος σε κολάζει τοῦ Παλαμήδους. I. τιμωρεῖ: τιμωρεῖταί σε, ἤγουν κολάζει ἕνεκεν τοῦ φόνου τοῦ Παλαμήδους. Gr. τιμωρεῖ καὶ κολάζει· δι' ἐκεῖνον γὰρ σοι μάχεται Οἴαξ. τιμωρῶ δὲ οὐ μόνον τὸ βοηθῶ, ἀλλὰ καὶ τὸ κολάζω, ὥσπερ καὶ τὸ τιμωροῦμαι κατὰ ἀμφοτέρας εὕροις τὰς χρήσεις. Gu. I.

434. οὔκουν μετῆν μοι: οὐ μετουσία ἦν μοι τοῦ φόνου, ἤγουν οὐ μετεῖχον, οὐκ ἐκοινώνουν. Gr. I. διὰ τριῶν δέ τινων ἀπόλλυμαι καὶ ἔφθαρμαι. I.

διὰ τριῶν: πρῶτον τῶν πολιτῶν, δεύτερον Οἴακος. διὸ ἐπάγει, τίς δ' ἄλλος, ἵνα πληρώσῃ τοὺς τρεῖς. τινὲς δὲ τριῶν φασι τῶν Ἐρινύων·—προεῖπε γὰρ "ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας."—τινὲς δέ φασι τῆς συνέσεως, τῆς λύπης καὶ τῆς μανίας. A.B.C.

1. ἐστράτευσε] στρατεύσας Gu.
ib. οὐδεὶς] οὐδεὶς πω Gu.
ib. ἐπὶ σ.] ἐν σ. I.
5. κατὰ τοῦ] τοῦ κατὰ Gu.
7. ιζ'] δεκαεπτὰ Gu.
8. ἐχρῶντο γρ.] γρ. ἐχρῶντο I.
ib. ἄλλοις] ἄλλα Gu.
9. πεττοὺς] πετοὺς Gu.
ib. καὶ φρυκτωρίας — ἀστρολογίας om. I. ἀστρολογίας pro ἀστραγάλους scriptum: v. ad p. 138, 19.
16. σοι] σε I.
19. οὐ μετουσία] οὐ om. Gr.
ib. ἤγουν—ἐκοινώνουν om. I., habent Gr. et Florr. 6. 9. 17. 21. 56. 59. 76.
22. Οἴακος] τοῦ οἴακος I. In C. est τίς δ' ἄλλος πρῶτον τῶν πολιτῶν. δεύτερ(ον) οἴακος. ἐπάγει δὲ τίς ἄλλος, ἵνα πληρώσῃ τοὺς τρεῖς. τινὲς δὲ φασὶ τῶν ἐριννύων. προεῖπε γὰρ ἔδοξ' ἰδεῖν προσφερεῖς κόρας. τινὲς δὲ φασὶ τῆς συνέσεως τῆς λύπης τῆς μανίας :—
ib. διὸ ἐπάγει] ἐπάγει δὲ A.
ib. τίς δ'] δ' om. A.M.
23. δὲ γ φασὶ M. δὲ φασὶ τριῶν B. φασι τριῶν A.I.
25. καὶ τῆς om. M., καὶ om. A.

M.I. ἐν δὲ τοῖς Καλλιστράτου γέγραπται· ἐπιζητήσειεν ἄν τις πῶς διὰ τριῶν εἴρηκεν, εἰ μὴ διὰ τὸ τὸν Ἀγαμέμνονα καὶ Ὀδυσσέα καὶ Διομήδη φάναι μετασχεῖν τοῦ φόνου Παλαμήδους. B.M.I. διὰ τριῶν: ἀντὶ τοῦ διὰ πολλῶν. (M.) ἄλλως γὰρ νοεῖσθαι οὐ δύναται. Fl. 21. τινὲς τῶν Ἐριννύων, ἢ τῆς συνέσεως, τῆς λύπης καὶ τῆς μανίας, ἢ Ἀγαμέμνονος, Ὀδυσσέως καὶ Διομήδους. Gu.

435. τίς δ' ἄλλος: τίς δὲ ἄλλος, ἀπόλλυσι δηλονότι; ἆρά τις ἀπὸ τῶν φίλων τοῦ Αἰγίσθου; I.

436. οὗτοί μ': οὗτοι ὑβρίζουσιν ἐμὲ, ὧν ἀκούει νῦν ἡ πόλις, οἱ ἀπὸ τοῦ Αἰγίσθου δηλονότι. I. ὑβρίζουσ': ἁμιλλῶνται. Fl. 21. κλύει: ἐπακούει. Gr. ὀνομάζεται ἢ ἀκούει. Gu.

437. Ἀγαμέμνονος δέ: τὴν Ἀγαμέμνονος δὲ βασιλείαν ἀφίησί σε ἡ πόλις κατέχειν; I. πάλιν φιλοπραγμόνως ὁ Μενέλαος παραγυμνοῖ τὸ ἦθος, φροντίζων περὶ τῆς βασιλείας. A.B.C.M.I.

438. πῶς; οἵτινες: ὅτι τὸ οἵτινες οὐ πρὸς τὴν πόλιν, ἀλλὰ πρὸς τοὺς ἐν τῇ πόλει. A.M. κατὰ τίνα τρόπον ἐάσουσιν ἔχειν τὰ σκῆπτρα, οἵτινες οὐκέτι ἐῶσιν ἡμᾶς ζῆν; I. ἔτι: εἰς τὸ μέλλον. Fl. 21.

439. τί δρῶντες: εἰπέ μοι σαφῶς ὃ ἔχεις εἰπεῖν. τί δρῶντες οὐκ ἐῶσί σε ζῆν; οὐ γάρ ἐστιν αἰτιῶδες νῦν τὸ ὅτι, ἀλλ' ἀντὶ τοῦ τί Ἀττικῶς. Ἄλλως. ὁ δὲ λόγος, εἰπέ μοι σαφὲς ὅ τι δρῶντες οὐκ ἐῶσί σε ζῆν· τὸ ὅ τι γὰρ ἀντὶ τοῦ τί Ἀττικόν. ἐὰν δὲ γράφηται ἢ τί, ὁ στίχος οὕτως· τί δρῶντες, ἢ τί καὶ σαφὲς εἰπεῖν ἔχεις; B.I. Ἄλλως. τί δρῶντες οὐκ ἐῶσιν ἡμᾶς ζῆν, ὅ τι καὶ σαφὲς εἰπεῖν ἐμοὶ ἔχεις, εἰπὲ δηλονότι. I.

440. ψῆφος: ἤτοι κρίσις καὶ ἀπόφασις ἐξενεχθήσεται καθ' ἡμῶν

2. εἴρηκεν M. εἰρήκει B.I.
ib. τὸ τὸν] τὸ om. M.
3. φάναι om. M. ς
ib. Παλαμήδους] χρήσ addit M.
13. παλιν φ.] φ. δὲ I., omisso πάλιν.
ib. παραγυμνοῖ] περιγυμνοῖ M.
14. ἦθος] εἶδος A.
15. ὅτι om. M.
ib. τὴν πόλιν] τὴν om. A.
20. οὐκ ἐῶσι—ὅ τι δρῶντες] Haec etiam in A. qui αἰτιῶδες. νῦν δὲ ὅτι ὁ δὲ λόγος εἰπέ etc. In C. tineae haec reliquerunt. . . . οὐ. . ῶσι σε ζῆν . . γάρ ἐστιν αἰτιολογικὸν τὸ νῦν. . ὁ ὅτι ὁ δὲ λόγος εἰπέ μοι σαφῶς. . .δρῶντες.
21. Ἄλλως om. I.
ib. ὁ δὲ λόγος M. ἀττικῶς ὁ λόγος I. ἀττικὸς ὁ λόγος B.
22. οὐκ ἐῶσι—Ἀττικόν om. M.
ib. ἐὰν δὲ] δὲ om. I.

κατὰ ταύτην τὴν ἡμέραν. I. τὸ οἴσεται ἐνεργητικὴν ἔχον σημασίαν, καὶ ἀντὶ τοῦ κομίσει λαμβανόμενον ἐνταῦθα παθητικὴν ἔχει καὶ ἀντὶ τοῦ ἐξενεχθήσεται λαμβάνεται. Fl. 21.

441. φεύγειν τήνδε τὴν πόλιν, ἤτοι ἐξορισθῆναι, ἢ θανεῖν, ἢ μὴ θανεῖν, ἀλλ' ἑτέρως κολασθῆναι δηλονότι; I.

442. θανεῖν ὑπὸ τῶν πολιτῶν ἐν πετρώματι λευσίμῳ καὶ λιθοβολιστικῷ. I. λιθοβολησίμῳ. Gr. Florr. octo. λιθολευστικῷ. Gu.

443. κᾆτ' οὐχί: εἶτα οὐ φεύγεις, ὑπερβαλὼν καὶ ἐκφυγὼν τοὺς ὅρους τῆς γῆς; I. γῆς: τῆς γῆς, τῆς σῆς δηλονότι, ἤγουν τῆς πατρίδος σου. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὑπερβαλών: ὑπερβὰς, παρελθών. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

444. κύκλῳ γάρ; οὐ δύναμαι φυγεῖν δηλονότι· κύκλῳ γὰρ εἱλισσόμεθα παγχάλκοις ὅπλοις, ἀντὶ τοῦ ἀνδράσιν ὡπλισμένοις. I. ἑλισσόμεθα: τουτέστι φυλασσόμεθα ὑπὸ ἀνδρῶν ὡπλισμένων, ἵνα, εἰ βουληθείημεν φυγεῖν, μὴ σχῶμεν ἄδειαν. Gu. I.

445. ἰδίᾳ πρὸς ἐχθρῶν: τουτέστι κοινῇ φρουρήσει φυλάττῃ ἢ ἰδίᾳ, τουτέστι παρά τινων ἐχθρῶν φυλάττῃ ἢ παρὰ τῆς πόλεως ὅλης. C. κατ' ἰδίαν καὶ χωρὶς παρὰ τῶν ἐχθρῶν, ἤγουν τῶν ἀπὸ τοῦ Αἰγίσθου, ἢ παρὰ τῆς Ἀργείας δυνάμεως. I.

446. πάντων πρὸς ἀστῶν: παρὰ πάντων τῶν πολιτῶν, ἵνα θάνω· βραχὺς καὶ σύντομος λόγος. I. τοῦτο καθ' ἑαυτό. βραχέως, φησὶ, καὶ συντόμως εἴρηκα ὅπερ ἔδει. B.M.

447. ὦ μέλεος: ὦ ἄθλιος, ἦλθες πρὸς τὸ ἔσχατον τῆς συμφορᾶς. I.

448. ἐς σ' ἐλπίς: ἡ ἐμὴ ἐλπὶς εἰς σὲ ἔχει τὴν καταφυγὴν ἕνεκα τῶν κακῶν. ἀλλ' ἐλθὼν εὐτυχὴς μετάδος τοῖς σοῖς φίλοις, τουτέστιν ἡμῖν τοῖς δυστυχοῦσι, τῆς σῆς εὐπραξίας, καὶ μὴ ἀπολαβὼν ἔχε μόνος τὸ ἀγαθὸν, ἀλλ' ἐν τῷ μέρει ἀντιλάζου, καὶ ἀντιλαμβάνου, τῶν πόνων, ἐκτίνων καὶ ἀποδιδοὺς τὰς πατρῴας χάριτας, ἤτοι ἃς ὁ πατὴρ ἐποίησεν εἰς σὲ, εἰς οὓς δεῖ καὶ πρέπει, τουτέστιν εἰς ἡμᾶς. ὄνομα γὰρ, μόνον δηλονότι, ἔργον δὲ οὐκ ἔχουσιν οἱ φίλοι, οἱ μὴ ὄντες φίλοι ἐν ταῖς συμφοραῖς. I. καταφυγάς: ἐλευθερίαν. Fl. 33. ἀντὶ τοῦ καταφυγήν. Gr.

449. πράσσουσιν: διακειμένοις. Gr. Fl. 6 9. 17. 21. 56. 59.

16. φυλάττῃ] φυλάττει C. 22. εἴρηκα ὅπερ ἔδει om. M.

76. δείκνυσι διὰ τούτων ὁ ποιητὴς ὅτι δεῖ πω νοεῖσθαι τοὺς εὐτυχοῦντας τῶν δυστυχούντων αὐτῶν συγγενῶν. Fl. 6.

450. μετάδος: μετασχεῖν δός. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

451. καὶ μὴ μόνος: Ἀττικῶς ἀντὶ τοῦ ἀπόλαβε τὰ κατὰ σαυτὸν μόνον φυλάσσων. ὅμοιόν ἐστι τῷ "εὐφημίαν μὲν πρῶτα κηρύξας ἔχω," ἀντὶ τοῦ ἐκήρυξα. A.B.M. τὸ χρηστόν: τὴν εὐπραξίαν. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. τὴν εὐπραγίαν. Gr. Fl. 34. τὴν εὐδαιμονίαν. Gu.

452. ἀντιλάζου: ἀντιλαμβάνου. M. τὸ ἀντιλαμβάνεσθαι λέγεται, ὅταν τι διώκῃ καὶ ἅπτηταί τινος δεόμενον ἢ καὶ καθ' ἕτερόν τινα τρόπον, τὸ δὲ ἀναδέχηται καὶ οὐκ ἀποστρέφηται. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

454. ὄνομα: ἐπεὶ οἱ συγγενεῖς εἶπεν. οἱ φίλοι οἱ μὴ ἐπὶ ταῖς συμφοραῖς τῶν φίλων ὄντες φίλοι οὐκ εἰσὶ φίλοι, ἀλλὰ λόγῳ μέν εἰσιν, ἔργῳ δ' οὔ. B.M. οὐ γὰρ τὸ ὄνομα τὴν ἐνέργειαν παριστᾷ, ἀλλ' ἡ ἐνέργεια τὸ ὄνομα· τοῦτο δὲ καὶ ἐπὶ πατρὸς καὶ ἀδελφοῦ καὶ μητρὸς καὶ παντὸς συγγενοῦς. Fl. 6. φίλοι: καὶ συγγενεῖς. Fl. 10.

456. καὶ μήν: τὸ ἑξῆς, γέροντι ποδὶ βαδίζει ἐνταῦθα. B.C.M. καὶ μὴν ὁ ἀπὸ τῆς Σπάρτης Τυνδάρεως μετὰ σπουδῆς ἔρχεται δεῦρο μελανείμων ἐν ποδὶ γεροντικῷ, τὴν κόμην ἀφῃρημένος ἐν κουρᾷ πενθίμῳ ἕνεκα τῆς θυγατρός. I.

457. ὁ Σπαρτιάτης: Οἰβάλου τοῦ Περιήρους παῖδες οὗτοι, Τυνδάρεως, Ἴκαρος, Ἄρνη, καὶ νόθος ἐκ Στρατονίκης Ἱπποκόων. οὗτοι

5. ἀντὶ τοῦ om. M. In A. totum scholion sic scriptum, καὶ μὴ μόνος τὸ χρηστόν: μὴ μόνος ἀπόλαυε τὰ κατὰ σαυτὸν φυλάσσων. ὅμοιον δέ ἐστιν τὸ εὐφημίας μὲν πρῶτα κηρύξας ἀνακεκηρυχέναι. ἀπολαβὼν ἔχε ἀντὶ τοῦ ἀπολάμβανε: — Versum Sophoclis (fragm. 764.) εὐφημίαν—ἔχω affert schol. ad Med. 33.

ib. ἀπόλαβε] ἀπολάμβανε B.

6. τῷ] τὸ M.

14. ἐπεὶ (hoc dubium) οἱ συγγενεῖς—δ' οὔ B. οἱ φίλοι εἰ μὴ ἐπὶ ταῖς σ. τ. φ. εἰσὶ φίλοι, ὥστε οὐδὲ εἰσὶ φίλοι, ἀλλὰ—δ' οὔ M.

24. Οἰβάλου A.M. et codex Kingii. βάλου B.I. relicto in B. spatio.

ib. Περιήρους] περιήρου A.

ib. οὗτοι] οἵδε A. αἵδε C.

25. Ἴκαρος] ἰκάριος Cant. Sed Ἴκαρος ap. Eustath. ad Il. B. p. 293, 10. et schol. Ven. p. 77. v. 83. MATTH.

ib. Ἄρνη] Sic etiam Eustath. et schol. Homeri l. c. Ἀρήνη apud Apollod. 3, 10, 3. MATTH.

μετὰ θάνατον Οἰβάλου ἐστασίασαν περὶ τῆς ἀρχῆς. Ἴκαρος δὲ συνθέμενος μετὰ Ἱπποκόωντος ἐξελαύνει τὸν Τυνδάρεων τῆς Σπάρτης. ὁ δὲ οἰκεῖ ἐν τοῖς ἐσχάτοις τῆς Αἰτωλίας καὶ γαμεῖ Λήδαν τὴν Θεστίου τοῦ Αἰτωλοῦ, ἐξ ἧς ἔσχε Κάστορα καὶ Πολυδεύκην καὶ Τιμάνδραν καὶ Κλυταιμνήστραν καὶ Ἑλένην. ὕστερον δὲ Ἡρακλῆς ἐπὶ τῷ φόνῳ τοῦ Οἰωνοῦ φονεύσας Ἱπποκόωντα ἅμα τοῖς παισὶ, καὶ καταγαγὼν τὸν Τυνδάρεων ἀπὸ Φρίξης καὶ Πέλλης, ἐγχειρίζει αὐτῷ τὴν ἀρχὴν τῆς Σπάρτης. ἐγάμει γὰρ Ἡρακλῆς Δηϊάνειραν τὴν Λήδας ἀδελφήν. A.B.C.M.I.

458. *κουρᾷ τε θυγατρὸς πενθίμῳ: τῇ γεγονυίᾳ ἐπὶ τῷ πένθει.* C. *δοτικὴ κεῖται τῇ κουρᾷ ὅτι ἐπὶ τῷ πένθει ἐξύρηται.* A.C.

p. 142. l. 25. καὶ νόθος ἐκ A.B.C. καὶ νῆθος ἐκ M. καὶ νῆθος καὶ ἐκ Cant. καὶ ἐκ, omisso νόθος vel νῆθος, I.

ib. στρατονίκης A.C. νικοστράτης B.M.

ib. Ἱπποκόων] ἱπποκόον C.

ib. οὗτοι—ἐστασίασαν] οὗτος—ἐστασίασε C. Idem et A. om. τῆς.

1. μετὰ—ἐξελαύνει] Cant. ἀποθανόντος δὲ τοῦ Οἰβάλλου, ἐστασίασαν περὶ τῆς ἀρχῆς οἱ παῖδες. Ἰκάριος δὲ συνθέμενος εἰς τὸν Ἱπποκόωντα ἐξελ. Verba Ἱπποκόων—συνθέμενος μετὰ om. M.

ib. Οἰβάλου A. Cant. βάλου B.I.

2. Ἱπποκόωντος] ἱπποκόοντος A.B.C. et infra ἱπποκόοντα.

ib. τῆς] ἐκ τῆς C.

3. οἰκεῖ ἐν τοῖς ἐσχάτοις—γαμεῖ] ᾤκει ἐν ἐσχάτοις—ἐγάμει A. ᾤκει ἐν ἐσχατιᾷ—ἐγάμει C.

ib. Αἰτωλίας] Λακεδαιμονίας A.B.C.M. " Cant. ὁ δὲ οἰκεῖ ἐν Λακεδαίμονι, ὅπου ἔφυγε, male, siquidem pulsus Tyndareus et Icarius φεύγουσι πρὸς Θέστιον, Apoll. 3, 10. 5. τὸν τῶν Πλευρωνίων ἄρχοντα. Strabo 10. p. 708. In seqq. cod. om. καὶ Τιμάνδραν, quam inter liberos Tyndarei memorat Apoll. 3, 10, 6." MATTH.

ib. Λήδαν—Αἰτωλοῦ] λήδα—αἰτωλῶν A.

4. Πολυδεύκην—Ἑλένην] πολυδεύκην τιμάνδραν καὶ ἑλένην A. verbis τιμάνδραν καὶ ἑλένην a m. recentiore scriptis. Idem postremam partem scholii ὕστερον δὲ—Λήδας ἀδελφήν omittit. Verba καὶ Τιμάνδραν usque ad finem scholii omittit etiam C.

6. τῷ φόνῳ] τὸν φόνον M. " ἐπὶ τῷ φόνῳ τοῦ υἱωνοῦ om. Cant. tum pro καταγαγών habet ἀπαγαγών, et omissis verbis ἀπὸ Φρίξης καὶ Πέλλης, ἐγχείρισον αὐτῷ. Pro υἱωνοῦ Meurs. Misc. Lac. 4. 8, 16. conj. Οἰωνοῦ, quod recepit Barn. recte. vid. Heyne ad Apoll. 2, 7, 3. Φρίξα ap. Steph. Byz. est urbs Peloponnesi τῆς Ὀλυμπίας ἀπέχουσα στάδια λ'. Φερεκύδης δὲ Ἀρκαδίας αὐτὴν γράφει. Pro Πέλλης fortasse verius est Πελλάνης. Paus. 3, 1. p. 204. Hippocoon Τυνδάρεων ἠνάγκασεν ἀποχωρῆσαι δείσαντα, ὡς μὲν Λακεδαιμόνιοι φασὶν, ἐς Πελλάναν. quae fortasse eadem urbs est ac τὰ Πελλάνα Laconicae ap. Strab. 8. p. 593. Πελλήνης conj. Meursius l. c. quod recepit Barn. Pro τὴν Λήδας ἀδελφήν rectius Barn. ἀδελφιδῆν." MATTH. υἱωνοῦ B.M.

10. κουρᾷ τε θυγατρός (θυγατρὶ A.)] κουρᾶται θυγατρὸς καὶ C.

ib. πενθίμῳ—πένθει] Haec inserui ex l. 2. ubi C. ἱπποκόοντος τῇ γεγονυίᾳ ἐπὶ ἐξελαύνει τῷ πένθει:—τὸν τυνδάρεων etc.

11. ἐπὶ τῷ πένθει] ἐπὶ πένθων C.

ib. ἐξύρηται] ἐξεύρηται A.C.

459. ἀπωλόμην, Μενέλαε: ὁ Τυνδάρεως ὅδε ἔρχεται πρὸς ἡμᾶς, οὗ ἐλθεῖν εἰς ὄψιν αἰδοῦμαι διὰ τὰ ἡμαρτημένα ἐμοί· καὶ γὰρ ἀνέθρεψεν ἐμὲ μικρὸν ὄντα, πολλὰ δὲ φιλήματα ἐξεπλήρωσε, τουτέστιν ἔδωκε, περιφέρων καὶ βαστάζων ἐμὲ, ἅμα τε τῇ Λήδᾳ, τιμῶντες ἐμὲ οὐδὲν ἔλαττον τοῖς Διοσκόροις, τῷ Κάστορι καὶ τῷ Πολυδεύκει, οἷς, τῷ Τυνδάρεῳ καὶ τῇ Λήδᾳ, ὦ τάλαινα ψυχὴ ἐμὴ, οὐ καλὰς ἀντιδόσεις ἀπέδωκα· τίνα σκότον λάβω ἐν τῷ προσώπῳ, ποῖον νέφος θῶμαι ἔμπροσθεν, φεύγων τὰς κόρας τῶν ὀμμάτων τοῦ γέροντος; I.

463. πολλὰ δὲ φιλήματ' ἐξέπλησε: ἀντὶ τοῦ πολλῶν φιλημάτων με ἐξεπλήρωσεν, ὡς τὸ "διά τ' ἔντεα καὶ μέλαν αἷμα." Ἄλλως. ἀντὶ τοῦ τὴν ἐπιθυμίαν τῶν φιλημάτων εἰς ἐμὲ ἐτέλεσε τὸν Ἀγαμέμνονος παῖδα. ὡς περὶ ἑτέρου δέ φησιν, ἀντὶ τοῦ εἰπεῖν περιφέρων ἐμὲ, εἶπε τὸν Ἀγαμέμνονος, ἀντὶ τοῦ ἐμὲ παῖδα ὄντα. τιμῶντε δὲ οὐδὲν ἧσσον, τιμῶντέ με οὐδὲν ἧττον. Ἀττικὴ δὲ ἡ σύνταξις, ἀντὶ τοῦ οὐκ ἔλαττον τῶν Διοσκούρων. A.B.C.M.I.

τιμῶντέ μ' οὐδὲν ἧσσον: ἅμα τῇ Λήδᾳ τιμῶντές με οὐδὲν ἔλαττον ἢ τοὺς Διοσκούρους τὸν Κάστορα καὶ τὸν Πολυδεύκην. I. ὁ Ζεὺς κύκνος γενόμενος καὶ συγγενόμενος Λήδᾳ τῇ Τυνδάρεω γυναικὶ, ἐποίησεν αὐτὴν δύο ὠὰ τεκεῖν, τὸ μὲν μονολέκυθον, τὸ δὲ διλέκυθον. καὶ ἐκ μὲν τοῦ ἕνα ἔχοντος λέκυθον γενέσθαι φασὶ τὴν Ἑλένην, ἐκ δὲ τοῦ δύο ἔχοντος Κάστορα καὶ Πολυδεύκην, οἱ παρ' ἡμέραν ἔζων. τὸ δ' αἴτιον τῆς τοιαύτης ζωῆς ἦν τοῦτο· ὅσον μὲν γὰρ ἦν ἐν τῷ διλεκύθῳ ὠῷ ἀπὸ τῆς Τυνδάρεω σπορᾶς Κάστωρ ἐγένετο, καὶ διὰ τοῦτο ἦν θνητὸς, ἅτε θνητοῦ υἱὸς τοῦ Τυνδάρεω, ὅσον δὲ ἀπὸ τῆς τοῦ Διὸς

4. περιφέρων Matth. pro προφέρων.

9. φιλήματ' ἐξέπλησε et φιλημάτων με ἐξεπλήρωσε om. A. qui post αἷμα pergit ἐξηριθμήσατο καὶ ἐπλήρωσε τὴν ἐπιθυμίαν. ὁ δὲ λόγος περιφέρων καὶ περιάγων ἐμέ. φιλήματ' ἐξέπλησε (ἐξέπλησε om. C.) ἀντὶ τοῦ εἰς ἐμὲ τὴν ἐπιθυμίαν τῶν φιλημάτων ἐτέλεσεν :— Sic etiam C. in quo scholion incipit πολλὰ δὲ ἀντὶ τοῦ πολλῶν δὲ ὡς τὸ etc.

ib. πολλῶν] ὑπὸ πολλῶν A.

10. με om. B.I.

ib. ὡς τὸ] Hom. Il. 10, 298.

ib. Ἄλλως om. M.

12. παῖδα et ὡς om. M.

13. δὲ οὐδὲν ἧσσον—ἀντὶ] δὲ οὐχ ἧττον ἢ τοὺς διοσκούρους. ἀττικὴ δὲ ἡ σύνταξις ἀντὶ B. et I., nisi quod I. omittit verba Ἀττικὴ δὲ ἡ σύνταξις. In C. διοσκούρω. ἀττικὴ ἡ σύνταξις etc. Versus ipse in textu codicis excidit, sed additus est in fine paginae (fol. 22b.) praefixo στίχος, quod versibus in textu omissis praescribere solent librarii.

17. ὁ Ζεὺς] ὁ om. I.

20. λέκυθον] Frequens in libris scriptura pro λέκιθον.

22. ἦν post ὠῷ I.

σπορᾶς Πολυδεύκης ἐγένετο, καὶ διὰ τοῦτο ἦν ἀθάνατος. μέλλοντος οὖν Κάστορος τελευτᾶν, ἐδεήθη Πολυδεύκης Διὸς ἵνα Κάστορα κοινωνὸν τῆς αὐτοῦ λάβῃ ἀθανασίας καὶ αὐτὸς συμμετάσχῃ τῆς ἐκείνου θνητότητος. διὰ ταῦτα οὖν παρ' ἡμέραν ἔζων ἀμφότεροι, οὓς καὶ ἀλληγοροῦσιν εἰς ἡμέραν καὶ νύκτα. Gu. I.

467. τίνα σκότον λάβω: ποίαν Ἄϊδος κυνέην, ἢ ποῖον νέφος προβάλωμαι, ἵνα μὴ ὁρῶμαι ὑπὸ τοῦ γέροντος; B.M.I. ἀορασίαν. Gu.

468. ἐπίπροσθεν θῶμαι: ἐν προσώπῳ θῶμαι. M.

469. φεύγων κόρας: θεαθῆναι ὑπ' αὐτοῦ. Fl. 6.

470.—473. ποῦ ποῦ ἴδω τὸν Μενέλαον, τὸν ἄνδρα τῆς ἐμῆς θυγατρός; ἐπὶ γὰρ τῷ τάφῳ τῆς Κλυταιμνήστρας τὰς ἐπὶ τοῖς νεκροῖς τελουμένας θυσίας ποιῶν ἤκουσα ὅτι ἦλθεν εἰς τὴν Ναυπλίαν, γῆν δηλονότι, διὰ πολλῶν ἐτῶν σεσωσμένος. I.

470. ποῦ ποῦ θυγατρὸς—πόσιν: οὐκ ἐπιζητεῖ τὴν Ἑλένην, δυσαρεστῶν τοῖς πεπραγμένοις αὐτῇ. εὐοικονομήτως δὲ ἐποίησε τὸν Τυνδάρεων ἀπὸ τῆς Σπάρτης διὰ τὰς χοὰς τῆς θυγατρὸς ἐληλυθέναι, ἵνα εὐκαίρως τῷ Μενελάῳ καὶ τῷ Ὀρέστῃ διαλεχθῇ. A.B.M.I.

472. χοὰς χεόμενος: εἰς τὸ ἄγγος. B. τρόπος ἐτυμολογικός. Gu.

473. πολυετής: πολυχρόνιος, ἤγουν μετὰ πολλὰ ἔτη, διὰ πολλοῦ χρόνου. Gu.

474. ἄγετέ με: θέλω γὰρ στὰς πρὸς τὴν δεξιὰν αὐτοῦ, χεῖρα δηλονότι, ἀσπάσασθαι, ἰδὼν φίλον βραδέως καὶ μετὰ πολὺν χρόνον ἐλθόντα. I. ἄγετέ με: ὦ θεράποντες. Gu. Fl. 6. δεξιάν: τιμιώτερος γὰρ ἦν ὁ Τυνδάρεως. Fl. 21.

475. ἀσπάσασθαι: χαιρετίσαι αὐτόν. B. Gu.

476. Ζηνὸς ὁμόλεκτρον κάρα: κάρα ὁμότιμον τοῦ Διὸς, ἤτοι ὁ ἔχων ἅμα τῷ Διὶ τὴν κοίτην, χαῖρε. I. ὁμόκοιτον, τουτέστιν ἅμα τῷ Διὶ τὴν κοίτην ἔχον. Gu.

477. χαῖρε καὶ σύ, Μενέλαε, ἐπιγάμβρευμα ἐμόν. I. κήδευμ' ἐμόν: κηδεστὰ ἐμέ. B.

6. ἢ ποῖον] καὶ ποῖον M.I.
7. προβάλωμαι] προβάλλομαι B.M.
ib. ὑπὸ τοῦ γέροντος] ὑπ' αὐτοῦ M.
14. οὐκ ἐπιζητεῖ — διαλεχθῇ] οὐκ ἐπιζητεῖ τὴν ἑλένην τυνδάρεως δυσαρεστῶν οἷον ἔπραξεν αὐτῇ. οἰκονομικῶς δὲ ἀπὸ τῆς σπάρτης ποιεῖται τὸν τυνδάρεω ἐληλυθότα, ἵνα χοὰς τῆς κλυταιμνήστρας καὶ συντύχῃ μενελάῳ καὶ ὀρέστῃ A.
15. εὐοικονομήτως δὲ (δὲ om. M.)] Usitatius οἰκονομικῶς praebet A. Illo usus est Eustath. p. 1950, 25.
16. Σπάρτης] πάτρης I.
25. αὐτόν om. B.

478. ἔα, τὸ μέλλον: λίαν ἐστὶ κακὸν τὸ μὴ εἰδέναι τὸ μέλλον. περὶ ἑαυτοῦ τοῦτο λέγει ὁ Τυνδάρεως· μὴ εἰδὼς γὰρ ὅτι μετὰ τοῦ Μενελάου εὑρήσει τὸν Ὀρέστην ἦλθεν. I.

ἔα, τὸ μέλλον ὡς κακὸν τὸ μὴ εἰδέναι: εἰ γὰρ ᾔδειν παρόντα Ὀρέστην, ἥκιστα ἂν ἐληλύθειν. ἔοικε δὲ τῷ ὄντι, φησὶ, κακὸν εἶναι τὸ μὴ εἰδέναι τὸ μέλλον. καὶ γὰρ ἂν οὐκ ἦλθον, εἰ τοῦτο προσεδόκων ἐνθάδε. A.B.M.I. ἔα: ἐπὶ ἐκπλήξεως. Gr. Florr.

479. ὁ μητροφόντης: ὁ τῆς μητρὸς φονεὺς δράκων ὅδε, ὁ ὑπ' ἐμοῦ μεμισημένος, στίλβει καὶ ἀποπέμπει ἔμπροσθεν τῶν δωμάτων ἀστραπὰς νοσώδεις καὶ μανιώδεις. I.

δράκων: εἶδος ἀντὶ γένους ἔλαβεν· γένος μὲν γὰρ ὁ ὄφις, εἶδος δὲ ὁ δράκων καὶ ἔχις καὶ τὰ λοιπὰ τῶν ὄφεων. νῦν δὲ δράκων ἀντὶ τοῦ ἔχις. οὗτοι γὰρ οὐκ ἐξ ᾠῶν γεννῶνται, ἀλλὰ ζωοτοκοῦνται, καὶ τικτόμενοι διαρρηγνύουσι τὰς τῶν μητέρων γαστέρας, ὥς φησι Νίκανδρος "γαστέρ' ἀναβρώσαντες ἀμήτορες ἐξεγένοντο." διὸ ἔχιν αὐτὸν ὡς μητροκτόνον φησίν. A.B.M.I. Ἄλλως. ἀντὶ τοῦ ἄγριος ὡς δράκων, ὅτι ὠμῶς ἔπραξεν. ἐλλείπει δὲ τὸ ὡς, ἵν' ᾖ ὡς δράκων. A.B.I. δράκων: δράκοντα εἶπε τὸν Ὀρέστην ὡς μητροκτόνον, ἐπεὶ καὶ αἱ ἔχιδναι κτείνουσι τὰς ἑαυτῶν μητέρας, τιτρώσκουσαι τὰς γαστέρας αὐτῶν, ὅτε εἰς φῶς προελθεῖν μέλλουσιν. Gu.

480. στίλβει νοσώδεις ἀστραπάς: τὴν μανίαν λέγει. M. νόσον δηλονότι, ὅ ἐστιν ὠδίνει. A.M. ἀντὶ τοῦ νοσεῖ, τὴν μανίαν δὲ λέγει νόσον. B. νοσώδεις: μανιώδεις. Gr. μανικάς. Gu.

5. ἔοικε δὲ τῷ ὄντι, φησὶ] ἔοικε, φησὶ τῷ ὄντι B.I. in quibus scholion totum sic est conformatum, τὸ μέλλον ὡς κακόν (ἔα τὸ μέλλον lemma in I.): ἔοικε, φησὶ, τῷ ὄντι κακὸν εἶναι τὸ μὴ εἰδέναι τὸ μέλλον· εἰ γὰρ ᾔδειν παρόντα ὀρέστην, ἥκιστα ἂν ἐληλύθειν :—In A. est, ἔα τὸ μέλλον: εἰ γὰρ ᾔδειν—ἐληλύθειν. ἔοικε, φησὶ, τῷ ὄντι κακὸν—τὸ μέλλον. ἢ γὰρ ἂν οὐκ ἦλθον εἰ τοῦτο προσεδόκων ἐνθάδε :—

6. καὶ] ἢ (sic) M.

11. εἶδος—] ἄλλως praefixum in A in quo scholion alterum ἄγριος ὡς δράκων— ἵν' ᾖ ὡς δράκων praecedit, quod incipit πρὸ δωμάτων δράκων: ἀντὶ τοῦ etc.

ib. γένους] εἴδους B.M., sed γένους B. a m. multo recentiore.

13. τοῦ ἔχις] τοῦ om. I.

ib. ἐξ ᾠῶν] ἐκ ζώων B.M.

ib. γεννῶνται] ται A. omissis literis γεννῶν.

ib. ζωοτοκοῦνται καὶ om. M.

14. διαρρηγνύουσι] διαρρήγνυσι A.

ib. Νίκανδρος] Ther. 134.

15. γαστέρ' A. γαστέρων B.M.I.

ib. ἀναβρώσαντες] ἀναβράξαντες M.

ib. αὐτὸν et hic et post μητροκτόνον habet B.

16. ἀντὶ τοῦ om. I.

ib. ὡς] ὡς ὁ I. Gl. ἀντὶ τοῦ ἄγριος ὡς δράκων est etiam in M.

17. ἐλλείπει] ἐνλείπει A. λείπει I.

στίλβει: στίλβω τὸ λαμπηδόνα πέμπω, στιλβῶ δὲ τὸ ξίφος μεταβατικῶς αἰτιατικῇ. I. ἀποπάλλει. Gr. πέμπει ἐκ τῶν ὀμμάτων. Gu. στύγημ' ἐμόν: ἤγουν ὁ ὑπ' ἐμοῦ μεμισημένος. Gr.

481. Μενέλαε, προσφθέγγῃ αὐτὸν, τὴν ἀνοσίαν κεφαλήν· ἔθος γὰρ ἦν μὴ διαλέγεσθαι τοῖς ἐναγέσι. γράφεται δὲ καὶ ἀκάθαρτον κάρα. εἶπε δὲ τοῦτο, ὅτι οὐκ ἦν καθαρός. B.M.I.

482. τί γάρ: οὐ προσφθέγγομαι δηλονότι; φίλου μοι πατρὸς ὑπάρχει υἱός. I. δέον εἰπεῖν ὅτι τοῦ ἀδελφοῦ μου υἱός ἐστι, φησὶ τοῦ πατρός μου ἔκγονός ἐστιν. ἔκγονος γὰρ τοῦ Ἀτρέως Ὀρέστης. A.B.M.I. Ἄλλως. πατρὸς φίλου μοι: συγγενοῦς μοι πατρὸς υἱός. πάλιν δὲ τὸ κακόηθες τοῦ ἀνδρὸς δείκνυται, ὅτι τὸν ἀδελφὸν φίλον εἶπε. B.M.I.

483. κείνου γάρ: ἐξ ἐκείνου οὗτος ὑπάρχει υἱὸς τοιοῦτος, ἤγουν φονεὺς γεγονώς. I.

484. πέφυκε: ναὶ ὑπάρχει. εἰ δὲ δυστυχεῖ, ἄξιον τιμᾶν αὐτόν. I.

485. βεβαρβάρωσαι χρόνιος ὢν ἐν βαρβάροις: γράφεται ἀφ' Ἑλλάδος. εἰς παροιμίαν δὲ ὁ στίχος οὗτος ἐχώρησεν. M. βάρβαρος ἀπὸ τοῦ βαρέως αἴρειν τὴν βοήν. C.

βεβαρβάρωσαι: ἐβαρβαρώθης πολυετὴς ὑπάρχων ἐν τοῖς βαρβάροις. I. Ἄλλως. ἤθη καὶ νόμους βαρβαρικοὺς μεμάθηκας, πολὺν χρόνον ὢν ἐν βαρβάροις, καὶ τῆς τάξεως ἐπελάθου τῶν Ἑλλήνων. πρὸς ὃ ἀπαντᾷ "Ἑλληνικόν τι τὸν ὁμόθεν τιμᾶν ἀεί," ἤτοι Ἑλληνικὸν ὑπάρχει τὸν ἀπὸ τοῦ ὁμοίου γένους τιμᾶν διόλου, πρὸς ὃ πάλιν ὁ Τυνδάρεως, Ἑλληνικόν τι δηλονότι, καὶ τὸ μὴ θέλειν εἶναι

1. στιλβῶ] στιλβείω δὲ στιλβῶ τὸ ξίφος, ἀντὶ τοῦ στίλβον ποιῶ Fl. 21.

4. π.—μὴ] π. νιν: ἔθος ἦν A.

ib. ἔθος—ἐναγέσι etiam in A.

7. οὐ π.] διὰ τί οὐ προσφθέγξομαι Fl. 6.

8. δέον] δεῖν M.

9. μου] μοι B.I. In A. est, τί γὰρ φίλου μου πατρός. ἔστι δὲ εἰπεῖν (corrige πατρός ἐστι: δέον εἰπεῖν) τοῦ ἀδελφοῦ μου. οὗτος δέ φησι τοῦ πατρός μου ἔκγονος. ἔκγονος γὰρ τοῦ ἀτρέως ὀρέστης. Verba ἔκγονός ἐστιν om. M.

10. Ἄλλως et πατρὸς om. I.

ib. πατρὸς om. B.I.

13. υἱὸς add. Gr. ἤγουν φονεύς add. Gu.

18. εἰς παροιμίαν—ἐχώρησεν] In B. ad v. 486. annotatum est τὸν ὁμόθεν: τὸν πρὸς γένους συγγενῆ. εἰς παροιμίαν δὲ ὁ στίχος ἀπεχώρει.

21. Totum hoc post ἄλλως scriptum est in Gr. in margine. Ex eo ἤθη scripsi pro ἔθη, quomodo etiam habet Gu. in glossa interlineari: τὰ βαρβάρων ἤθη μεμάθηκας. MATTH.

23. ἤτοι—διόλου om. Gr.

ἰσχυρότερον τῶν νόμων, ὅπερ δηλονότι ποιεῖς σὺ, τιμῶν τοῦτον, ὃν οἱ νόμοι ἀπόβλητον ἔχουσιν. Gr. I.

χρόνιος ὤν: οὐ μόνον χρόνιος φαμὲν ἦλθον ἀντὶ τοῦ μετὰ χρόνον πολὺν, ἀλλὰ καὶ χρόνιος ἦν ἐν τῷδε τῷ τόπῳ ἀντὶ τοῦ ἐπὶ χρόνον πολύν. Gu. Fl. 21.

486. τὸν ὁμόθεν: τὸν ἀπὸ μιᾶς ῥίζης, ἤγουν τὸν κατὰ γένος προσήκοντα. Gr. Fl. 9. 17. 21. 56. 76. ἤγουν τὸν ἐκ ταὐτοῦ γένους, ἤτοι τὸν συγγενῆ. Gu.

487. καὶ τῶν νόμων γε μὴ πρότερον εἶναι θέλειν: σὺ τοίνυν ἀδικεῖς τοὺς νόμους ἀγαπῶν τὸν μιαιφόνον. ὁ δέ φησιν ὅτι ἀναγκάζει με τὸ συγγενές. Ἄλλως. ἐπεὶ Ὀρέστης καὶ παρὰ νόμους καὶ παρὰ φύσιν τὴν μητέρα ἀνεῖλε, καίτοι, φησὶν, Ἑλληνικόν ἐστι τὸ μὴ κρείττονα τῶν νόμων ἐθέλειν εἶναι τῇ τούτων βουλήσει. B.M.

πρότερον: τιμιώτερον. Fl. 33. ὑπέρτερον, προτιμότερον, ἰσχυρότερον. ἀλλ' ἔστι καὶ τοῦτο Ἑλληνικὸν τὸ μὴ εἶναί τινα ὑπέρτερον τῶν νόμων. Gu.

488. πᾶν τοὐξ ἀνάγκης: εἰπόντος τοῦ Μενελάου πρὸς τὸν τοῦ Τυνδάρεω λόγον τὸ "βεβαρβάρωσαι χρόνιος ὢν ἐν βαρβάροις," ὡς ἄρα Ἑλληνικὸν τὸ τιμᾶν τοὺς συγγενεῖς, φησὶν ὁ Τυνδάρεως, ναὶ, ὃ λέγεις Ἑλληνικόν ἐστιν, ἀλλ' ἔστι καὶ τοῦτο Ἑλληνικὸν τὸ μὴ εἶναί τινα ὑπέρτερον τῶν νόμων. σὺ οὖν, ὦ Μενέλαε, παρανομεῖς φονέα προσφθεγγόμενος· ἀπαγορεύουσι γὰρ οἱ νόμοι τὴν μετ' αὐτῶν συνοίκησίν τε καὶ συνουσίαν. πρὸς ὃ ἀπαντᾷ ὁ Μενέλαος ὅτι πᾶν τὸ ἐξ ἀνάγκης γινόμενον δοῦλον ἐν τοῖς σοφοῖς ἐστι, τουτέστι, πάντες καὶ παλαιοὶ καὶ νέοι ποιηταὶ, φιλόσοφοι, συγγραφεῖς, ῥήτορες, τρανῶς ἄνω καὶ κάτω τοῖς λόγοις διακηρύττονται ὡς ἄρα πάντες ἀνάγκης εἰσὶ δοῦλοι, καὶ πάντων αὕτη κρατεῖ, καὶ οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ μέχρι θεῶν ἐξάγει τὸ κράτος. ἀνάγκᾳ γὰρ οὐδὲ θεοὶ, φασὶ, μάχονται. ἔγωγ' οὖν εἰ καὶ παρανομεῖν σοι δοκῶ μητροκτόνῳ συνὼν καὶ φθεγγόμενος, ἀλλ' ἐκ τῆς φύσεως ἀναγκαζόμενος τοῦτο ποιῶ. ὥστε

4. ἐπὶ om. Gu.
11. Ἄλλως] ἢ καὶ ἄλλως B.
19. Ἑλληνικὸν] ὂν add. I.
23. συνοίκησίν τε καὶ om. Gu.
24. τουτέστι, πάντες] τουτέστιν ὅτι πάντες I.
25. παλαιοὶ] οἱ παλαιοὶ Gu.
26. ἀνάγκης] ἐξ ἀνάγκης I.
27. μόνον] μόνων I.
28. οὐδὲ θεοὶ] οὐδὲ οἱ θεοὶ I. οὐδὲ θεοὶ etiam ap. Plat. Protag. p. 345 d. ubi v. Heindorf. Est sententia Simonidis.
29. ἔγωγ' οὖν] ἐγὼ γοῦν Gu.

τὴν τοιαύτην ἀνάγκην ᾧ προεβάλου νόμῳ παρεξετάσας μείζω ταύτην εὑρήσεις δυναμένην τοῦ νόμου. οἱ δὲ λέγοντες τὸ δοῦλον ἀντὶ τοῦ δουλοποιὸν οὐ καλῶς λέγουσιν. ἢ πρὸς τὸ ἐξ ἀνάγκης ὑποστικτέον οὕτω· πᾶν τὸ ἐξ ἀνάγκης ὑπάρχον ἐν τοῖς σοφοῖς ἐστι δοῦλον, τουτέστι πάντα τὰ ἐξ ἀνάγκης δουλείαν οἱ σοφοὶ κρίνουσιν. Gu. I. οἷον ἡ συγγενικὴ φιλία καὶ στοργὴ, ἢ ἕτερόν τι τοιοῦτον, ἐπεὶ ἐξ ἀνάγκης φυσικῆς ἐστι, δούλη ἐστὶ, καὶ διὰ τοῦτο οὐκ ἀμβλύνεται, οὐδὲ ἄλλως γενέσθαι δύναται ὃ τὰ ἐλευθέρως καὶ χωρὶς ἀνάγκης γινόμενα δύναται. Gr. I.

πᾶν τοὐξ ἀνάγκης: ἡ τῆς φύσεως ἀνάγκη, ὅ ἐστιν ἡ συγγένεια, πάντα δουλοῖ, κατά τε τὴν κρίσιν τῶν νόμων καὶ τῶν σοφῶν. δοῦλον οὖν ἀντὶ τοῦ δουλοποιόν. οὐχ οἷόν τε γὰρ παραιτήσασθαι τὴν συγγένειαν. Ἄλλως. δοῦλον, δουλοποιόν· τουτέστι παρὰ τοῖς φρονίμοις ἡ ἀνάγκη νικᾷ. καὶ τιμῶμεν οὖν τὸν Ὀρέστην διὰ τὴν συγγένειαν, καὶ δουλεύομεν τῇ ἀνάγκῃ ταύτῃ. B.M.I. Ἄλλως. πᾶν τὸ ἐξ ἀνάγκης δοῦλόν ἐστι καὶ ὑπήκοον, οἷον πάντα κατ' ἀνάγκην ποιοῦμεν καὶ κατὰ τὴν τῶν σοφῶν κρίσιν πάντα τὰ ὑπ' ἀνάγκης δουλοῖ καὶ ὑπηκόους ποιεῖται τοὺς ἀνθρώπους. καθὸ ἐπὶ τοῦ Ὀρέστου εἶπεν " εἰ δὲ

3. οὐ καλῶς λέγουσιν] ἀμαθεῖς ταμάλιστα I.

6. οἷον om. I.

8. ὃ τὰ—δύναται] ὅτι ἐλευθέρως καὶ χωρὶς ἀνάγκης γίνεται I.

10. ἡ τῆς φύσεως—] In C. ἐν τοῖς νόμοις ἡ τῆς φύσεως ἀνάγκη ἡ συγγένεια :—

ib. ἡ σ. πάντα] συγγένεια πάντας A.

13. Ἄλλως. δοῦλον—τῇ ἀνάγκῃ ταύτῃ om. I. Neque habet A. qui post τὴν συγγένειαν sic pergit, ἄλλως. σὺ τοίνυν ἀδικεῖς τοὺς νόμους ἀγαπῶν τὸν μιαιφόνον. ὁ δέ φησι ὅτι ἀναγκάζει με τὸ συγγενές. ἀλλὰ καὶ τοῦτο φησὶν ἑλληνικὸν τὸ μὴ κρείττονα τῶν νόμων ἐθέλειν εἶναι καὶ φθάνειν τὴν τούτων βούλησιν. οὗτος δὲ καὶ παρὰ νόμους τὴν μητέρα ἀνεῖλεν. ἄλλως. δοῦλον ἀντὶ τοῦ δουλοποιὸν, τουτέστιν παρὰ φρονίμων ἡ ἀνάγκη νικᾷ. τιμῶμεν οὖν τὸν ὀρέστην διὰ τὴν συγγένειαν καὶ δουλεύομεν τῇ ἀνάγκῃ ταύτῃ. δύναται δὲ καὶ οὕτως, πᾶν τὸ ἐξ ἀνάγκης δοῦλόν ἐστι καὶ ὑπήκοον, οἷον πᾶν τὸ κατὰ ἀνάγκην γινόμενον δουλοῖ τοὺς ἀνθρώπους καὶ κατὰ τὴν τῶν σοφῶν κρίσιν πάντα τὰ ἀπὸ ἀνάγκης δουλοῖ καὶ ὑπηκόους ποιεῖ τοὺς ἀνθρώπους. καθὸ εἶπεν ἐπὶ τοῦ ὀρέστου, εἰ δὲ δυστυχεῖ, τιμητέος, διὰ τοῦτο καὶ νῦν προείρηται. ἔστι δ' ὁ λόγος, ὅθεν τιμᾶν τὸν ὀρέστην ἀναγκαῖον διὰ τὴν συγγένειαν. ὁ δὲ ἀριστάρχης φησὶ πᾶν τὸ ἐξ ἀνάγκης γινόμενον δουλοῖ τοὺς ἀνθρώπους, οἷον ταπεινοῖ—δοῦλόν ἐστιν, οἷον ὑπήκοον καὶ πάντα κατὰ ἀνάγκην ποιοῦμεν, διότι δουλοῖ πᾶν. τουτέστιν παρὰ φρονίμοις ἡ ἀνάγκη κρατεῖ, οἷον τιμῶμεν τὸν ὀρέστην καὶ τὴν συγγένειαν τῇ ἀνάγκῃ ταῦτα (sic). δύναται δὲ καὶ ὅτι πᾶν τὸ ἐξ ἀνάγκης δοῦλόν ἐστι καὶ ὑπήκοον, οἷον πάντα κατὰ ἀνάγκην ποιοῦμεν :—

ib. Ἄλλως scripsi ex A. pro ἀλλά.

16. οἷον] ἤγουν I.

ib. πάντα M. πάντα τὰ B.I.

17. τῶν addidi ex A.

18. ποιεῖται M. ποιεῖ B.I.

ib. εἶπεν—Ὀρέστην om. M.

δυστυχεῖ, τιμητέος," διὰ τοῦτο καὶ νῦν προείρηκεν. ἔστι γὰρ ὁ λόγος ὅτι τιμᾶν ἀναγκαῖον τὸν Ὀρέστην διὰ τὴν συγγένειαν. ταῦτα δὲ ἐν ὑποκρίσει λέγει, οὐ σπουδῇ. ὁ δὲ Ἀριστοφάνης φησὶ, πᾶν τὸ ἐξ ἀνάγκης γινόμενον δουλοῖ, οἷον ταπεινοῖ κατὰ τὴν τῶν σοφῶν κρίσιν. δύναται καὶ οὕτως, πᾶν τὸ ἀναγκαῖον δοῦλόν ἐστιν, οἷον ὑπήκοον, καὶ πάντα κατὰ ἀνάγκην ποιοῦμεν, διότι δουλοῖ πᾶν. A.B.M.I.

489. κέκτησο: ὑπολάμβανε. Fl. 21. τοῦτ': τουτέστι τὸ Ἑλληνικὸν φρόνημα. B. τὸ ὑπείκειν τῇ ἀνάγκῃ. Gu. Fl. 9. 21. 56. 59. 76. τὸ ὑπεῖκον τοῖς σοφοῖς. Fl. 17. 34.

490. ὀργὴ γὰρ ἅμα: πρὸς τῷ εἶναί σε γέροντα καὶ ὀργίλος εἶ. διὰ τοῦτο, φησὶ, παραιτῇ τὰ αὐτὰ τοῖς σοφοῖς φρονεῖν, ἐπεὶ συνελθοῦσα τῷ γήρᾳ σου ἡ ὀργὴ ἀπαίδευτόν σε ποιεῖ· ὡς καὶ Σοφοκλῆς

ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπὶς
ἐν χειρὶ θήγει, σὺν τάχει δ' ἀμβλύνεται.

Ἄλλως. ἡ ὀργή σου καὶ τὸ γῆράς σου ἅμα γεγονότα οὐ σοφόν σε ποιεῖ· αὐτὸ γὰρ καθ' ἑαυτὸ τὸ γῆρας μελαγχολικώτερόν ἐστι τῆς νεότητος· εἰ δὲ συμβῇ τοὺς γέροντας ὀργισθῆναι, διπλάσιον γίνεται τὸ κακόν. τὸ γῆράς σου οὖν, φησὶν, ἅμα ὀργῇ γεγονὸς οὐ σκοπεῖ τὸ δέον. A.B.M.I.

1. διὰ τοῦτο καὶ νῦν προείρηκεν (προείρηται A.) addidi ex A.B.
2. ὅτι] ἔθεν A.B.
ib. ἀναγκαῖον τὸν ὀρέστην B. τὸν ὀρέστην ἀναγκαῖον A.I.
ib. διὰ τὴν] τὴν om. M.
ib. ταῦτα M. τοῦτο B.I.
3. λέγει] λέγ cum compendio syllabae ων M.
5. οἷον ὑπήκοον om. I.
6. καὶ πάντα A.M. καὶ πᾶν τὸ B. ἤτοι πᾶν ὃ I.
ib. διότι δουλοῖ πᾶν om. B.I.
8. τὸ ὑπείκειν] τὸ ὑπεῖκον Florr.
10. τῷ Matth. pro τό.
11. παραιτῇ τὰ] παραιτεῖται A.M.
12. τῷ γήρᾳ σου A. σου τῷ γήρᾳ I. σου om. B. et qui τὸ γῆρας M.
ib. ἡ ὀργὴ] ἡ om. B.I.
ib. ὡς καὶ] ὡς om. B.I.
13. Σοφοκλῆς] Fragm. 761.
14. κοπὶς B. (ut Valcken. ad Hippol. 240.) κόπις A. κώπις M. νοτίς I.
15. θήγει] Pro θήγεται dictum, de quo usu vide Brunck. ad Soph. O. C. 74. ad Eur. Or. 296. Bacch. 1041. Erfurdt. ad Soph. O.T. 153. MATTH.
ib. σὺν Matthiae pro ἐν.
16. σου om. B.I. hic et post γῆρας. In A. ἡ ὀργή σου ὅτι τὸ γῆρας ἅμα etc.
17. αὐτὸ γὰρ] γὰρ om. M. In A. ποιεῖ. καὶ τὸ γῆρας οὐ σοφόν. οὐ τὸ καθ' αὐτὸ etc.
ib. ἑαυτὸ] αὐτὸ A.B.I.
18. διπλάσιον] διπλὸν A.
19. σου om. A. Post σκοπεῖ τὸ δέον pergit A. ἐπεὶ δὲ εἶπεν ὁ μενέλαος—πλημμέλημα, quae vide in scholio v. 491.
ib. ὀργῇ] τῇ ὀργῇ I.

ὀργὴ γάρ: εἰκότως οὐ κτήσῃ. Gu. ἅμα: συνελθόντα. Gu. σοφόν: φρόνιμον. Gr. σε ποιεῖ, ἀλλ' ἀνόητον καὶ τὸν τοῦ προσήκοντος λόγον οὐ ποιούμενον· σοφοῦ γὰρ ἀνδρὸς τὸ τιμᾶν τοὺς προσήκοντας. Gu.

491. πρὸς τόνδ' ἀγών: οἷον ἡ περὶ τὸν Ὀρέστην μητροκτονία οὐ δεῖται ἀγῶνος σοφίας· προὖπτος γὰρ ἡ κρίσις· ὥστε μάτην ἡμᾶς οὐ σοφοὺς ἀπεκάλεσας. οὐ σοφισμάτων γὰρ προσδεῖται ἡ κρίσις, τουτέστιν, οὐ καιρὸς ἡμᾶς περὶ σοφίας ἀγωνίζεσθαι· περὶ γὰρ μητροκτονίας ἐστὶν ὁ λόγος· ὥστε μάτην ἡμᾶς σοφοὺς ἀπεκάλεσας. Ἄλλως. ἐπεὶ εἶπεν ὁ Μενέλαος, καὶ τὸ γῆρας οὐ σοφὸν, φησὶν ὁ Τυνδάρεως ὅτι τίς χρεία ὅλως σοφίας, ὅπου γε προφανὲς τοῦ Ὀρέστου τὸ πλημμέλημα; A.B.M.I. πρὸς τόνδε: τὸν Μενέλαον. Gr. ἢ τὸν Ὀρέστην. ἤγουν τί δεῖ πρὸς τοῦτον φονέα ὄντα ἀγωνίζεσθαι καὶ σπουδάζειν. Gu.

493. τούτου: τοῦ Ὀρέστου. Gr. Fl. ἀσυνετώτερος: ἀνοητότερος. Gr. Fl. 9. 17. 21. 56. 59. 76. μωρότερος. Fl. 33.

494. ἐσκέψατο: οὐ κατενόησεν, οὐ κατέμαθεν. B. ἐνόησε. Gr. Fl. 9. 17. 21. 56. 59. 76.

495. οὐδ' ἦλθεν ἐπὶ τὸν κοινόν: ὡς ἐπὶ ὁδοῦ, οὐκ ἐβάδισε κατὰ τὸν Ἑλληνικὸν νόμον· ὁ γὰρ νόμος οὐκ ἐπιτρέπει αὐτόχειρά τινα γίνεσθαι. A.B.M.I. κοινὸν νόμον: οὐκ ἦλθεν ἐπὶ τὸν κοινὸν νόμον τῶν Ἑλλήνων, ἤγουν ἐφ' ᾧ πάντες οἱ Ἕλληνες ὁμογνωμονοῦσιν. Gr. I. κοινὸς γὰρ νόμος Ἑλληνικὸς τὸ τὸν φονέα τῆς χώρας ἐκβάλλειν πρὸς ἑτέραν, ἄχρις ἂν ἐκεῖ κάθαρσιν ἔλαβε καὶ ἀπεπλύνθη τὸν φόνον. Gu.

496. ἐπεὶ γάρ: ἀφ' οὗ ἐξέπνευσε τὴν ζωὴν ὁ Ἀγαμέμνων, κάκιστον ἔργον παθὼν δηλονότι, — οὐ γὰρ ἐπαινέσω ποτὲ, — ἔπρεπεν αὐτὸν τὸν Ὀρέστην ἐπιθεῖναι δικαίαν τιμωρίαν τοῦ αἵματος. πρέπουσαν δὲ καὶ ὁσίαν δίκην φησὶ τὸ φυγαδεῦσαι μόνον. I.

5. οἷον om. I. In A. οἷον εἰς τὸν περὶ τῆς μητροκτονίας λόγον οὐκ ἔστιν ἀγὼν τῆς σοφίας, τουτέστιν οὐ καιρὸς νῦν ἡμᾶς—ὁ λόγος: —Nam reliqua ἐπεὶ δὲ εἶπεν ὁ Μενέλαος etc. versui 490. sunt adscripta.

8. καιρὸς] καλὸν B.I.

9. ὥστε—ἀπεκάλεσας addidi ex A.

10. ἐπεὶ] ἐπειδὴ I.

ib. φησὶν et ὅτι om. A.

11. τίς χρεία ὅλως σοφίας A. σοφίας om. M. τίς χρεία ἐστὶ σοφίας B.I.

ib. τοῦ Ὀ. τὸ] τὸ τοῦ ὀρέστου A.

19. ἐπὶ ὁδοῦ οὐκ] πρὸ ὁ.... A.

21. 22. οὐκ ἦλθεν et οἱ om. Gr. Idem ἐπὶ τὸν ν. τῶν ἑ. τὸν κ.

497. *πληγείς*: *οὐκ εἶπεν ὑπὸ Αἰγίσθου, ἀλλὰ τὴν δοῦσαν τὴν ἀρχὴν αἰτίαν ἡγήσατο, ὅπερ ἔχθιστον ἔργον, πληγῆναι τὸν Ἀγαμέμνονα ὑπὸ τῆς ἰδίας γαμετῆς*. A.B.C.M. *θυγατρός*: *ὑπό*. B. *ὑπὲρ κάρα*: *ὑπεράνω τοῦ κάρα*. Gu.

500. *αἵματος*: *ἕνεκα τοῦ φόνου*. Gr. Fl. 9. 17. 21. 56. 59. 76. *τοῦ φόνου τοῦ πατρικοῦ*. Gu.

501. *ὁσίαν*: *ἀντὶ τοῦ πρέπουσαν. ταύτην ὁσίαν δίκην φησὶ τὸ φυγαδεῦσαι μόνον αὐτήν*. B. *ἔννομον*. Gu. *δικαίαν*. Fl. 56. *πρέπουσαν*. Fl. 21.

ὁσίαν διώκοντα: *ἀντὶ τοῦ κατηγοροῦντα. καὶ οὕτως δέ, φησί, τοῦ κακοῦ τὸ σῶφρον ἐπελέξατο διώκων καὶ μὴ φονεύων, καὶ τὴν πρέπουσαν τιμωρίαν ἀπῄτησεν ἂν ἐκβαλὼν τὴν μητέρα, καὶ νόμῳ πειθαρχῶν ἐφαίνετο, ἢ ὅτι ἀνθ' ἧς ὑπέμεινε συμφορᾶς ἔδοξεν εἶναι σώφρων*. A.B. C.M.I.

διώκοντ': *ἐξορίζοντα*. Gr. Fl. 9. 17. 21. 34. 56. 59. 76. *κατηγοροῦντα*. Gu. *ἐκβαλεῖν*: *ἀπώσασθαι*. Gu. Fl. 9. 17. 21. 56. 59. 76.

502. *τὸ σῶφρόν τ' ἂν ἔλαβε*: *τουτέστι καὶ σωφρόνως καὶ ἐγκρατῶς ἔμελλε τὰ τῆς συμφορᾶς τιμωρεῖσθαι, ἢ σῶφρον εἶπε τὸ μέτριον, συμφορὰν δὲ τὴν τιμωρίαν, ἵν' ᾖ, μετρίως γὰρ ἂν τὴν τιμωρίαν ἐλάμβανε φυγῇ ζημιώσας αὐτήν· μετριωτέρα γὰρ αὕτη ἡ τιμωρία τοῦ θανάτου*. A.B.C.M.I. *Ἄλλως. εἰ τοιαύτῃ συμφορᾷ ἦν προστρεψά-*

1. *οὐκ εἶπεν ὑπὸ αἰγίσθου* A. *οὐκ ἐπειδὴ ὑπὸ αἰγίσθου* B.M. *οὐκ εἶπεν τοῦ αἰγίσθου* C. qui, ut A., prima tantum scholii verba habet usque ad *ἡγήσατο*.

10. *ὁσίαν διώκοντα*] *διώκοντα δὲ* B.I.

ib. *οὕτως δὲ*] *οὕτως ἂν* A.B.I. *οὗτος ἂν* C.

11. *ἐπελέξατο*] *ἀπελέξατο* A.

ib. *καὶ* (*καὶ* om. C.) *μὴ φονεύων* om. I. *ὁ γὰρ φονεύων* A.

12. *ἂν ἐκβαλὼν*] *ἀνελὼν* C.

ib. *καὶ νόμῳ*] *νόμοις* C. et *ἐφένετο* pro *ἐφαίνετο*.

13. Post *ἐφαίνετο* pergunt B.I. *ἄλλως. εἰ φυγῇ* et reliqua quae v. in scholio ad v. 502.

ib. *ἢ ὅτι ἀνθ' ἧς—σώφρων* addidi ex A.B.C.M. post quae M. pergit *ἄλλως. εἰ φυγῇ* etc., C. vero *καὶ ἄλλως. ὁσίαν: δικαίαν. τὸ φυγαδεῦσαι μόνον αὐτήν:—τὸ σῶφρον τουτέστι καὶ σωφρόνως καὶ ἀκρατῶς* etc.

17. *τουτέστι* addidi ex A.C.

ib. *σωφρόνως*] *σῶφρον* A.

ib. *ἐγκρατῶς*] *ἀκρατῶς* C.

18. *τὰ τῆς*] *ταύτης* C.

19. *μ. γὰρ* (*γ'* A.) *ἂν*] *μετρίως ἂν* C.

ib. *τιμωρίαν, ἵν'—ζημιώσας*] *τιμωρίαν, ἣν ἐλάμβανε ζημιώσας* I.

ib. *ἐλάμβανε φυγῇ*] *ἐλάμβανεν ἐν φυγῇ* A.

20. *ἡ τιμωρία* om. C.

21. *Ἄλλως. εἰ—οὕτως ἂν* (*ἂν* om. A.) *ἔδοξε* A. *εἰ φυγῇ μόνον ἦν ζημιώσας τὴν μητέρα, οὕτως ἂν ἔδοξε* ceteri.

μενος φυγῇ τε ζημιώσας τὴν μητέρα, οὕτως ἂν ἔδοξε σωφρόνως κεχρῆσθαι τῇ τιμωρίᾳ τῇ περὶ τῆς συμφορᾶς τοῦ πατρὸς ἢ τῆς μητρός. A.B.M.I.

τὸ σῶφρον: τὸ μέτριον. Gr. Fl. 9. 17. 21. 34. 56. 59. 76. *τὸ φρόνιμον.* Gu. *τῆς συμφορᾶς: τοῦ συμβεβηκότος.* Gr. Fl. 9. 17. 21. 56. 59. 76. *τῆς μανίας, τιμωρίας.* Gu.

503. *καὶ τοῦ νόμου τ' ἄν: ὡς νόμοις πειθαρχῶν.* I. *εἴχετ': ἥπτετο.* Gr. Fl. 9. 17. 21. 34. 56. 59. 76. *ἤγουν κατὰ τοὺς νόμους ἂν ἔπραττεν.* Gu. *εὐσεβής: ἀσέβεια γὰρ τὸ μητροκτονεῖν, ὥσπερ εὐσέβεια τὸ ταύτην αἰδεῖσθαι.* Gu.

504.—507. *νῦν δ' εἰς τὸν αὐτόν: νῦν δὲ εἰς τὴν αὐτὴν τύχην ἦλθε τῇ τύχῃ τῆς μητρός· κακὴν γὰρ νομίζων δικαίως αὐτὴν αὐτὸς χείρων ἐγένετο φονεύσας τὴν μητέρα. ἐρωτήσω δὲ τοσοῦτόν σε, ὦ Μενέλαε.* I.

505. *νῦν δ' εἰς τὸν αὐτόν: εἰς τὴν αὐτὴν ἁμαρτίαν· καὶ γὰρ παρανόμως ἐφόνευσε. πλέον δὲ τοῦτο κακόν· οὐ γὰρ ἴσον ἐστὶ τὸ γυναῖκα φονεῦσαι ἄνδρα καὶ υἱὸν μητέρα· ὁ μὲν γὰρ φύσει ἐστὶν υἱός, ὁ δὲ ἀνὴρ συγγενής.* A.B.I.

508. *εἰ τόνδε: καθ' ὑπόθεσίν ἐστιν ὁ λόγος, καὶ ὡς ἐν παραδείγματι ταῦτά φησι, τὸν τυχόντα τιθεὶς εἰς παράδειγμα.* B.M.I. *ἀντὶ τοῦ εἴ τινα. τοῦτον δὲ ὡρισμένον ἔλαβεν ἀντὶ ἀορίστου τοῦ τινά.* B.I. *εἰ τοῦτον φονεύσειεν ὁμόκοιτος γυνή, καὶ ὁ τούτου παῖς πάλιν ἀνταποκτενεῖ τὴν μητέρα, κἄπειτα ὁ ἐξ ἐκείνου γεννηθεὶς διὰ φόνου τὸν φόνον λύσει καὶ ἐλευθερώσει, ποῦ τῶν κακῶν προχωρήσει τὸ τέλος;* I.

509. *μητέρ' ἀνταποκτενεῖ: εἶτα ὁ ἐξ ἐκείνου γενόμενος ἐκδικήσει τὸ προγονικὸν αἷμα.* A.B.M.

2. *περὶ* A. *κατὰ* ceteri.
ib. *τῆς συμφορᾶς τοῦ πατρὸς*] *τῆς τοῦ πατρὸς συμφορᾶς* A.
3. *μητρός*] Sequitur in B.I. *ἄλλως* (hoc om. I.) *τὸ σῶφρόν τ' ἂν ἔλαβε: καὶ σωφρόνως καὶ ἐγκρατῶς* et reliqua quae supra leguntur.
15. *νῦν δ' εἰς τὸν αὐτόν*] *αὐτὸς κακίων ἐγένετο* A.
16. *πλέον δὲ τούτου κακόν—συγγενής*] *πλέον κακός. οὐ γὰρ δίκαιόν ἐστι γυναικὶ πρὸς ἄνδρα ὅσον υἱὸν πρὸς μητέρα· ὁ μὲν γὰρ—ἀνὴρ κατὰ συγγενής* A.
19. *ἐστιν*] *δὲ* I.
ib. *καὶ ὡς*] *καὶ* om. M. Simile scholion in Gr. *καθ' ὑπόθεσιν ταῦτα λέγει, τὸν τυχόντα προτιθεὶς εἰς παράδειγμα.* Sic etiam Flor. 9. 17. 21. 56. 59. 76.
21. *ἀντὶ τοῦ εἴ τινα* et *δὲ* om. I.
ib. *ἀορίστου*] *τοῦ ἀορίστου* B.
23. *φόνου*] *φόνον* I.

511. πέρας δὲ ποῖ κακῶν: τὸ δὲ ποῖ ἀντὶ τοῦ δή. A.

512.—515. καλῶς ἔθεντο: καλῶς ἐνομοθέτησαν ταῦτα οἱ ἔκπαλαι νομοθέται· οὐ συνεχώρουν ἐλθεῖν εἰς ὄψιν καὶ θέαν, οὐδ' εἰς ἀπάντησιν τὸν ἀποκτείναντά τινα, φυγαῖσι δ' ὡσίουν, ἀντὶ τοῦ ἐκάθαιρον, ὁσίους καὶ καθαροὺς ἐποίουν· τὸ γὰρ μὴ ἀνταποκτείνειν ὅσιον ἐνόμιζον. οἱ γράφοντες ἀνταποκτείνειν ἀγνοοῦσι τὰ μέτρα. διὸ ἀποκτείνειν γράφων οὕτω λέγε· ὡσίουν δὲ καὶ ἐκάθαιρον ἐκεῖνον ἐν φυγαῖς, οὐκ ἐν τῷ ἀποκτείνειν δέ. τὸ μή ἀντὶ τοῦ οὐ. I.

514. αἷμ' ἔχων κυρεῖ: ἀντὶ τοῦ ἔνοχος αἵματος. εὐκτικὸν δέ ἐστι κυροίμι κυροῖς κυροῖ. B.M. ἔγκλημα φόνου ὑπάρχει ἔχων, ἤγουν ἔχει. Gr. Fl. 9. 17. 21. 34. 56. 59. 76.

515. φυγαῖσι: ἀντὶ τοῦ ἐκάθαιρον, ὁσίους καὶ καθαροὺς ἐποίουν. M. ἀντὶ τοῦ ἐνωσίουν, χωρὶς αἵματος ὡσίουν, ἐκάθαιρον, ὁσίους καὶ καθαροὺς ἐποίουν. τὸ δὲ μὴ ἀνταποκτείνειν ὅσιον εἶναι ἐνόμιζον. A.C. φυγαῖσι δ' ὁσιοῦν: ὅσιον νομίζειν. ἀπὸ κοινοῦ τὸ ὅσιον. M. ἀντὶ τοῦ φυγῇ, ἤγουν ἐξορίᾳ. Gr. ὡσίουν: ἐκάθαιρον. Gr. ἐδικαίουν, ἐτίμων. Gu. ἄξιον ἔκρινον. Fl. 33. ἀνταποκτείνειν: ἐν τῷ. Gu. οὐχὶ δὲ τὸ ἀνταποκτείνειν. Gr. οὐχ ὡσίουν. Gu.

516. ἀεὶ γάρ: διόλου γὰρ ὁ ὕστερος ἀπέκειτο ἐνέξεσθαι, ἤγουν ἔνοχος ἔσεσθαι τοῦ φονευθῆναι. I. ἕξεσθαι: ἀντὶ τοῦ ἐνέξεσθαι. M.

517. τὸ λοίσθιον: τὸ ἔσχατον, τὸ ἀφ' ἑτέρου εἰς ἕτερον μεταβαῖνον. Ὅμηρος "λοῖσθος ἀνὴρ ὤριστος." εἷς δὲ, φησὶν, ὁ πρὸς τῷ τέλει ἤμελλεν εἶναι μεμιασμένος ὕστερος, ὁ μηκέτι ἔχων ἕτερον μεθ'

1. τοῦ δή] Sequuntur in A. εἶτα ὁ ἐξ ἐκείνου etc. quae v. ad v. 509.

4. φυγαῖσι—] Pars hujus scholii est in B. τὸ δὲ φυγαῖσι δ' ὡσίουν ἀντὶ —ὅσιον ἐνόμιζον.

6. οἱ γράφοντες—] Annotatio Triclinii.

9. κυροῖ. εὐκτικόν ἐστι — κυροῖ] Haec etiam in A.

13. ἀντὶ τοῦ—ἐνόμιζον] ἀντὶ τοῦ ὡσίωσαν ἐκάθαρον (sic) ὁσίους—τὸ γὰρ μὴ—ἐνόμιζον C. Post quae aliud scholion sequitur, ἐξορείαις κατέκρινον ἐδικαίουν. φυγαῖσι δ' ὁσίουν, ἀνταποκτεῖναι δὲ μή. οὐχ ὁσίουν δὲ καὶ δίκαιον ἔκρινον:—

14. ὅσιον] ὁσίους A.

22. μεταβαῖνον] διαβαῖνον A.M.

23. Ὅμηρος] Il. 23, 536.

ib. ὤριστος] ὤριστο I., compendio codicis ὤρισ (ut scriptum in B.) non intellecto. ἐλαύνει μώνυχας ἵππους addit C.

ib. εἷς] εἰς ὢν A.C.

ib. ὁ πρὸς] ὃς πρὸς C.

24. ἤμελλεν] ἔμελλεν A.B.I.

ib. ὕστερος] ὁ ὕστερος M.

ib. ἕτερον μεθ' ἑαυτὸν] μεθ' ἑαυτὸν ἄλλον B.I.

ἑαυτὸν, οἷον εἷς ἕνα φονέα κατὰ διαδοχήν. καὶ οὐδείς ἐστι μύσους αἴτιος ἐν ᾧ φονεύεσθαι μέλλει, εἰ μὴ εἷς. ἐκεῖνος μέντοι ὁ μὴ φονευθησόμενος μεμιασμένος ἐστὶν ὁ πρὸς τῷ τέλει. A.B.C.M.I. τὸ λοίσθιον: τὸ ἔσχατον μίασμα λαμβάνων διὰ τῶν χειρῶν, ἤγουν ἔσχατος φονεύων. Gr. Fl. 9. 17. 21. 56. 76.

518.—525. Ἐγὼ δὲ μισῶ τὰς ἀνοσίους καὶ ἀδίκους γυναῖκας, μισῶ δὲ πρώτην τὴν ἐμὴν θυγατέρα, ἣ τὸν ἑαυτῆς ἐφόνευσεν ἄνδρα, καὶ τὴν Ἑλένην, τὴν σὴν γυναῖκα, οὐδέποτ' ἐπαινέσω, οὐδὲ προσλαλήσαιμι· οὐδὲ σὲ ἐπαινῶ ἐλθόντα εἰς Τροίαν κακῆς γυναικὸς χάριν. βοηθήσω δ' ὅσον δύναμαι τῷ νόμῳ, τὴν θηριωδίαν καὶ μιαιφονίαν ταύτην καταπαύων, ἣ γῆν τε καὶ πόλεις διόλου διαφθείρει. I.

521. οὐδὲ σὲ ζηλῶ: ζηλῶ τὸ μακαρίζω· ἐνταῦθα δὲ ἀντὶ τοῦ ἐπαινῶ. ἐπεὶ γὰρ πλησιάζουσιν ἀλλήλοις τρόπον τινὰ τὸ ἐπαινεῖν καὶ τὸ μακαρίζειν, οὐκ ὀκνεῖ λαμβάνειν τὸ ἕτερον ἀντὶ τοῦ ἑτέρου. Gr. I.

523. ἀμυνῶ δ' ὅσον: ἐπειδὴ γὰρ νόμος ἦν μὴ δι' ἑτέρου φόνου τοὺς φονεῖς κολάζειν, ἀλλὰ φυγῇ, οὗτος δὲ παραβὰς τὸν νόμον ἀπέκτεινε τὴν μητέρα τὸν ἴδιον ἄνδρα φονεύσασαν, ἀμυνῶ καὶ βοηθήσω αὐτὸς τῷ παραβαθέντι ὑπ' αὐτοῦ νόμῳ. ἐξ ὧν γὰρ θέλω τοῦτον τιμωρηθῆναι, παύω τοὺς ἄλλους τῶν ἴσων. Gu. οὐ χρὴ δὲ γράφειν ἀμύνω ἐπὶ ἐνεστῶτος, (μακρὰ γάρ ἐστιν ἐπὶ τοῦ ἐνεστῶτος τὰ διὰ τοῦ υνω ῥήματα) ἀλλ' ἀμυνῶ ἐπὶ μέλλοντος· οὕτω γὰρ ἁρμόζεται τῷ μέτρῳ. ὁ γὰρ μέλλων τῆς ε' συζυγίας τῶν βαρυτόνων τὰ ἀμετάβολα, φασὶ, τηρεῖ μετὰ συστολῆς τῆς παραληγούσης καὶ περισπωμένου τοῦ τόνου. I.

524. τὸ θηριῶδες τοῦτο: τοῦτο διὰ τὸ λεγόμενον περὶ τῶν ἐχιδνῶν ὅτι μετὰ τὴν συνουσίαν φονεύει τὸν ἄρρενα ἡ ἔχιδνα, οἱ δὲ γεννώμενοι, ὥσπερ τιμωρούμενοι τὸν τοῦ πατρὸς φόνον, διατρήσαντες

1. εἷς Barnes. pro εἰς.
ib. μύσους] μίσους I. Quae post αἴτιος sequuntur om. C.
2. ᾧ] ὅσῳ A.
ib. φονεύεσθαι] σωφρονεύεσθαι M.
ib. εἰ μὴ εἷς om. A.
3. ἐστὶν A.M. δὲ B.I.
17. τοὺς φονεῖς om. Gu.
18. παραβαθέντι] παραβάντι I.
19. οὐ χρὴ—φασὶ—τόνου] Scholion Triclinii, cujus similis est de futuro ἀροῦμεν annotatio ad Aesch. Pers. 795. φασὶ scripsi pro φησὶ, quod est in I. et scholio Aeschyleo.
25. τοῦτο—Κλυταιμνήστραν] ἰστέον ὅτι κατὰ τὴν συνουσίαν—γενησόμενοι πατρὸς φόνον ῥήσσουσι τὴν τῆς μητρὸς κοιλίαν καὶ φονεύσαντες αὐτὴν, ὥς φησι νίκανδρος, γεννῶνται. τοιοῦτον οὖν ἐστι καὶ τὸ κατὰ ὀρέστην καὶ κλυταιμνήστραν Gu.
ib. τοῦτο alterum et τῶν om. A.

τὴν κοιλίαν τῆς μητρὸς καὶ φονεύσαντες αὐτὴν γεννῶνται, ὥς φησι Νίκανδρος ἐν τοῖς Θηριακοῖς· οἷς ὅμοιόν ἐστι καὶ τὸ κατὰ τὸν Ὀρέστην καὶ τὴν Κλυταιμνήστραν. A.B.M.I.

526. ἐπεί: εἰ δὲ μὴ, τίνα ψυχὴν εἶχες, ὦ τάλας, τότε, ὁπότε ἡ μήτηρ ἐξέβαλε τὸν μαστὸν παρακαλοῦσά σε; ἐγὼ μὲν οὐ θεασάμενος τὰ ἐκεῖ γενόμενα κακὰ διὰ δακρύων δαμάζω τὸν γεροντικὸν ὀφθαλμὸν ὁ ἄθλιος. I.

ἐπεὶ τίν' εἶχες: ἀποστροφὴ τὸ σχῆμα. I. πρὸς τὸν Ὀρέστην ἰδίως ἀπέστρεψε τὸν λόγον, καὶ διαλέγεται πρὸς αὐτὸν ὁ περὶ τούτου πρὸ ὀλίγου ἐγκαλῶν τῷ Μενελάῳ. B.I.

528. οὐκ ἰδών: καίπερ, φησὶν, ἐγὼ μηδὲ γενόμενος θεατὴς τῶν κακῶν τούτων ὅμως δακρύω, σὺ δὲ θαυμαστὸς εἶ τῆς ἀπηνείας ὁ καὶ πρὸς τὴν θέαν ἀντισχών. A.B.C.

530. ἐν οὖν λόγοισι: ὅ ἐστι κεφάλαιον ἔχω προσθεῖναι τοῖς ἐμοῖς λόγοις. ὁμορροθεῖ δὲ ἀντὶ τοῦ ἀκολουθεῖ καὶ συμφωνεῖ. θέλει δὲ εἰπεῖν ὅτι τοῖς ἐμοῖς λόγοις ἐκεῖνο ἔχω προσθεῖναι τὸ κεφάλαιον, τὸ ὑπὸ θεῶν μισεῖσθαί σε πλανώμενον. A.B.C.M.I.

λόγοισι τοῖς ἐμοῖς: οἷς νῦν κατὰ σοῦ χρῶμαι. Gu. ὁμορροθεῖ: ὁμολογεῖ. Gr. συνεισέρχεται, συνᾴδει καὶ ἀποφαίνει τούτους εὐλόγους. Gu. ὁμολογεῖ, συνᾴδει, δηλονότι ὅτι ἐγώ φημί σε ἀδίκως πρᾶξαι. Fl. 21. 34. ἐπέρχεται, ὁμοφωνεῖ. Fl. 33.

531. μητρὸς δίκας: τὰς ὑπὲρ τῆς μητρός. Gr. Fl. 9. 17. 21. 56. 59. 76.

532. μανίαις: ὑπὸ μανιῶν. Gr. ἀλαίνων: πλανώμενος. Gr. I. φόβοις: φόβων. Gr. τί: κατὰ τί. Gr.

2. ἐν τοῖς Θηριακοῖς addidi ex A.
ib. οἷς om. B.I.
3. τὸν et τὴν om. B.M.I.
8. πρὸς τὸν Ὀρέστην om. B. In C. nihil praeter πρὸς τὸν ὀρέστην ὁ λόγος.
10. πρὸ ὀλίγου om. I.
ib. τῷ Μενελάῳ] τὸν μενέλαον I.
11. καίπερ—] In A. μήτηρ ἐγὼ φησὶν ἐγὼ μὴ γενόμενος θεατὴς τούτων τῶν κακῶν ἐπιδακρύω, σὺ δὲ θαυμαστὸς τῆς ἀπηνείας—ἀντισχών :—In C. καίπερ φησὶν ἐγὼ μὴ γενόμενος θεατὴς τούτων τῶν κακῶν ὅμως δακρύω, σὺ δὲ θαυμαστὸς τῆς—ἀντισχών :—
14. ὃ—προσθεῖναι] ἀντὶ τοῦ ἓν ἔχω προσθεῖναι κεφάλαιον B.I. Omissa haec usque ad λόγοις in A.C.
15. δὲ om. A.C.M.
16. τοῖς ἐμοῖς—κεφάλαιον] τοῖς νόμοις (ἓν addit A., quod ἑνὸ scriptum in C. quasi ἓν ὃ voluerit) ἐκεῖνο κεφάλαιον ἔχω προσθεῖναι A.C.M.
17. σε om. B.I., ante μ. habent A.C.
ib. πλανώμενον] καὶ μαινόμενον addunt B.I.

τί μαρτύρων: ἀντὶ τοῦ οὐ δεῖ με πλείονας ζητεῖν μάρτυρας· αὐτὰ δυνατὸν καθορᾶν τὰ πράγματα. A.C. τουτέστιν οὐ δεῖ με ζητεῖν μάρτυρας τοῦ μισεῖσθαί σε παρὰ τῶν θεῶν ὡς ἀνόσια δεδρακότα· βλέπω γάρ σε μαινόμενον, ὅπερ παρὰ τῶν θεῶν ἐπιόν σοι δείκνυσι πᾶσιν, ὡς, εἰ μὴ κακὸν εἰργάσω, οὐκ ἂν εἰς τοιαύτην δυστυχίαν ἐνέπεσες. Gu.

534—537. *ὡς οὖν ἂν εἰδῇς*: ἀντὶ τοῦ ἵνα οὖν μάθῃς. B.M. ἵνα δὲ μάθῃς, ὦ Μενέλαε, μὴ θέλε πράσσειν ἐναντία τοῖς θεοῖς, χρήζων ὠφελεῖν τὸν Ὀρέστην, ἀλλ' ἄφες αὐτὸν διὰ πετρῶν ὑπὸ τῶν πολιτῶν φονευθῆναι, ἤ, εἰ μὴ ποιήσεις τοῦτο, ὅπερ σοι λέγω δηλονότι, μὴ διέρχου διὰ τῆς τῶν Λακεδαιμονίων γῆς. I.

537. *Σπαρτιάτιδος*: Σπάρτη ἡ προηγουμένη πόλις τῆς Λακεδαιμονίας. ὁ ἀπὸ ταύτης Σπαρτιάτης, καὶ ἐπὶ θηλυκοῦ ἡ Σπαρτιᾶτις διὰ τοῦ ι, ὃ κλίνεται τῆς Σπαρτιάτιδος. σπάρτον δὲ τὸ σχοινίον, ὡς παρ' Ὁμήρῳ "σπάρτα λέλυνται" καὶ ἡ σπάρτος ἐπὶ θηλυκοῦ. ἀφ' οὗ τὸ "κόσμει ἂν ἔλαχες σπάρτον" καὶ "τὴν λίθον ποτὶ τὰν σπάρτον ἄγε." Gr. I. *Σπαρτιάτιδος χθονός*: ἥν αὐτός σε κηδεύσας εἰς προῖκα ἔδωκα. Gu.

538. *θυγάτηρ δ' ἐμή*: ἡ δὲ ἐμὴ θυγάτηρ ἀποθανοῦσα ἔπαθε δικαίως. ἀλλ' οὐ παρὰ τούτου πρέπον ἦν τὴν Κλυταιμνήστραν ἀποθανεῖν. ἐγὼ δὲ κατὰ τὰ ἄλλα μακαριστὸς ὑπάρχω ἀνήρ, χωρὶς εἰς τὰς θυγατέρας· κατὰ τοῦτο δὲ οὐκ εὐτυχῶ. I.

ἔπραξεν ἔνδικα: ἔπαθε μὲν δίκαια, καθὸ ἀπέθανε, καὶ δικαίαν τιμωρίαν δέδωκε· καθὸ δὲ ὑπὸ τούτου ἀπέθανεν, ἠδίκηται. A.B.M.I.

540. *μακάριος*: εὐγενής, πλούσιος, τίμιος πᾶσι καὶ πρὸς ἔσχατον γήρως ἰών. Gu. Fl. 6. *πέφυκα*: γέγονα. Gr. Florr.

541. *τοῦτο*: ἀντὶ τοῦ εἰς τοῦτο. M. πλὴν εἰς τοῦτο. B.

2. καθορᾶν τὰ π.] τὰ π. καθορᾶν C.
14. διὰ τοῦ ι om. I.
15. Ὁμήρῳ] Il. 2, 135.
16. σπάρταν (sic) post κόσμει I. Recta proverbii forma est Σπάρταν ἔλαχες, κείναν κόσμει. Vid. Diogenian. 8, 16. Ἣν ἔλαχες Σπάρταν κόσμει est ib. 46. Aliorum scriptorum locos collegit Nauck. ad Eurip. fragm. 722. Fuit autem Euripidis in Telepho versus, Σπάρτην ἔλαχες· κείνην κόσμει, | τὰς δὲ Μυκήνας ἡμεῖς ἰδίᾳ. In altero proverbio σπάρτον etiam in I. scriptum est, non σπάρταν.
17. ἄγε om. Gr.
23. ἔπαθε] ἀντὶ τοῦ ἔπαθε A.
ib. καὶ et δέδωκε om. A.

542. ζηλωτὸς ὅστις: μακαριστὸς ὁποῖος εὐτύχησεν εἰς τέκνα, καὶ μὴ μεγάλας καὶ φανερὰς καὶ ὁμολογουμένας βλάβας ἔλαβε. I.

543. ἐπισήμους: μεγάλας ἢ φανερὰς καὶ ὡμολογημένας. B. M. διαδήλους. Gr. φοβερὰς, μεγάλας. Gu. ἐκτήσατο: ἀπὸ τούτων. Gu.

544. ὦ γέρον: ἐγὼ φοβοῦμαι λέγειν πρὸς σὲ, ὅπου μέλλω σε καὶ τὴν σὴν φρένα καὶ διάνοιαν λυπήσειν. ἐγὼ μὲν φονεύσας τὴν μητέρα ἀνόσιος ὑπάρχω, τιμωρῶν δὲ τῷ πατρὶ ὅσιός εἰμι, καθ' ἕτερον ὄνομα τοῦ ἀνοσίου (ἐπεὶ ἐναντίον τοῦ ἀνοσίου τὸ ὅσιον). ἀνόσιος μέν εἰμι τὴν μητέρα κτανὼν, τετύχηκα δὲ τοῦ ὁσίου ὀνόματος καθ' ἕτερον μέρος, τὸν πατέρα ἐκδικήσας. I. Ἄλλως. ἐγὼ μὲν κτανὼν τὴν μητέρα ἀνόσιός εἰμι, τιμωρῶν δὲ τῷ πατρὶ πάλιν ὅσιός εἰμι, ἕτερον ὄνομα τοῦ ἀνοσίου. Gr. I.

δειμαίνω: δέδοικα λέγειν· ἴσως γάρ σε λυπήσω. M.

545. ὅπου; ἀντὶ τοῦ ὁπότε, τοπικὸν ἀντὶ χρονικοῦ. Gr. Fl. 6. 9. 21. 56. 59. 76. ἐπειδὴ, ἢ ἐν ᾧ Gu.

547. ἕτερον ὄνομα: καθ' ἕτερον ὄνομα, οἷον κατὰ τὸ ἐναντίον τοῦ ἀνοσίου τὸ ὅσιον, ἀνόσιος μέν εἰμι τὴν μητέρα κτανὼν, τετύχηκα δὲ τοῦ ὁσίου ὀνόματος καθ' ἕτερον τρόπον, ἢ τὸν πατέρα ἐκδικήσας. A.B.C.M. τιμωρῶν: βοηθῶν. Gu. Fl. 6. 9. 17. 21. 59. 76. ἐκδικῶν, βοηθῶν. Fl. 56.

548.—554. ἀπελθέτω δὴ τοῖς λόγοισι: ὅ ἐστιν ἀπόστα καὶ δεόντως ἀπολογήσομαι. A.C.M. Ἄλλως. ἀντὶ τοῦ σὺ ἀναχώρει, καὶ τὰς ἀληθείας ἐρῶ, καὶ δεόντως ἀπολογήσομαι. A.B.C.M.I. ἀπίτω μακρὰν τοῖς ἐμοῖς λόγοις τὸ σὸν γῆρας, ὅ με κωλύει τοῦ λέγειν, καὶ τότε κατὰ τάξιν ἐλεύσομαι· νῦν δὲ φοβοῦμαι τὸ σὸν γῆρας. τί με ποιῆσαι ἔπρεπε; δύο γάρ τινα πράγμασιν ἀντίθες δυσίν· ὁ μὲν πατὴρ ἔσπειρέ με, ἡ σὴ δὲ παῖς ἐγέννησεν, ὡς ἄρουρα τὸ σπέρμα παρ' ἄλλου λαβοῦσα· τέκνον δὲ χωρὶς πατρὸς οὔποτ' ἂν εἴη. I.

11. Ἄλλως om. Gr.
17. οἷον] ποῖον A. ποιῶν C., qui proxima κατὰ—τὸ ὅσιον om.
ib. τοῦ ἀνοσίου — ἐκδικήσας] τοῦ ὁσίου ὀνόματος τὸ ὅσιον οἷον ἀνόσιος — ὀνόματος καθ' ἕτερον ὄνομα :— A.
19. τρόπον ἢ] μέρος B.C. ut I. l. 11.
ib. ἢ—ἐκδικήσας om. C.
22. ὅ ἐστιν ἀπόστα] ἤγουν ἀπίτω A. ὅ ἐστι ἀπῆτο C.
23. Ἄλλως om. B.I.
ib. ἀντὶ τοῦ om. A.C.
24. καὶ δ. ἀπολογήσομαι hic om. A.C.M.

549. ἐκπλήσσει: ἐξίστησι. Gr. ἀντὶ τοῦ ἐξίστησι τοῦ λέγειν. M. ἐξίστησι. Gr. μετὰ φόβου. Gu. ἐξίστησι, ἐκβάλλει μετὰ φόβου. Fl. 6. 9. 10. 17. 21. 34. 56. 59. 76. λόγου: λογισμοῦ. Gu.

550. καθ' ὁδὸν εἶμι: κατὰ τάξιν (τοῦ λόγου add. Gu.) πορεύσομαι (ἤγουν διηγήσομαι add. Gu.). Gr. ἤγουν κατὰ μέρος λέξω. Fl. 21. τῷ λόγῳ προβαίνω. B.M. Fl. 10. τρίχα: τὴν πολιάν. Gu. Fl. 33.

551. δύο γὰρ ἀντίθες δυοῖν: δύο πράγματα δυσὶ πράγμασιν ἀντίθες, τῷ πατρὶ μὲν τὸ σπέρμα, τῇ μητρὶ δὲ τὴν ἄρουραν. A.C. παράθες. Gr. Fl. 6. 9. 17. 34. 56. 59. 76. ἤγουν τὸν πατέρα καὶ τὸ σπέρμα, καὶ τὴν μητέρα καὶ τὴν γένναν. Fl. 6.

552. ἐφύτευσεν: ἐγέννησεν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τίκτει, ἀντὶ τοῦ ἔτεκε. Gr. Florr. iidem.

553. ἄρουρα: ἡ ἠροτριασμένη γῆ. χέρσος δὲ ἡ ἀνήροτος καὶ ἀνέργαστος. Gr. Fl. 6. 9. 17. 34. 56. 59. 76.

554. ἄνευ δὲ πατρός; λέγεταί τις αὐτοῦ εἰπόντος τοῦτο εἰρηκέναι "ἄνευ δὲ μητρὸς, ὦ κάθαρμ' Εὐριπίδη;" A.B.C.M.I. ἄνευ δὲ πατρός: τιθεὶς τὸν πατέρα καὶ τὴν μητέρα, καὶ ἀντιτιθεὶς αὐτοῖς τῷ μὲν τὴν σπορὰν, τῇ δὲ τὸν τόκον, δείκνυσι τὸν πατέρα μείζονα τῆς μητρὸς διὰ τὸ πρωταίτιον τούτου εἶναι τῆς εἰς φῶς αὐτῷ προαγωγῆς. δέον τῆς ὑποστάσης γονὰς εἰπεῖν, τροφὰς εἶπεν. Gu. I.

556. ὑποστάσης: ἀπὸ μεταφορᾶς τῶν κιόνων. καὶ γὰρ ὑφίσταται τὸ βάρος. C.

557. ἡ σὴ δὲ θυγάτηρ:—αἰσχύνομαι γὰρ μητέρα λέγειν ἐμὴν—ἰδίοις γάμοις, ἤγουν λαθραίοις, καὶ οὐ νενομισμένοις ἦλθεν εἰς ἀνδρὸς κοίτην. I.

558. ἰδίοισιν: τοῖς οὐ νενομισμένοις, τοῖς λαθραίοις. A.B. κρυφίοις. Gr. κεκρυμμένοις, λαθραίοις, ἑταιρικοῖς. Gu.

559. εἰς ἀνδρὸς ἤει λέκτρα: τὸ ἀνδρὸς διπλῶς νοητέον, ἢ τοῦ

6. προβαίνω] προβαίνων M.

7. δύο—] Prima verba δύο πράγματα δύο (sic) π. σι ἀ. etiam in M., reliqua (omisso μέν) in Fl. 10. 21.

16. ἄνευ δὲ—] Cant. ap. King. ἄνευ δὲ μητρὸς πῶς, κάθαρμ' Εὐρ. Eustath. ad Od. p. 1498. 57. οὐκ εἴωθε σχηματίζειν πατρωνυμίαν ὁ ποιητὴς ἐκ μητέρων, ἀλλ' ἐκ πατέρων——ὅπερ Εὐριπίδης ἐκλαλῆσαι θελήσας καὶ τὴν Ὁμηρικὴν σκιαγραφίαν ἐκφανέστερον χρῶσαι, ἐν οἷς φησιν· ἄνευ δὲ πατρὸς τέκνον οὐκ ἂν γένοιτ' ἂν, περιεσυρίχθη θεατρικῶς, ἀκούσας τὸ ᾀδόμενον τὸ, ἄνευ δὲ μητρὸς, ὦ κάθαρμ' Εὐριπίδη; MATTH.

17. ἀντιτιθεὶς] ἀντιθεὶς I.

19. τῆς et τούτου om. I.

20. δέον—εἶπεν] δέον δὲ τῆς ὑποστ. τροφὰς εἰπεῖν, γονὰς εἶπεν I.

25. τοῖς λ.] καὶ λ. A.

Αἰγίσθου, ἢ τοῦ Ἀγαμέμνονος. καὶ ἐπὶ μὲν τοῦ Αἰγίσθου οὕτως· ἡ σὴ θυγάτηρ, ὦ Τυνδάρεως, εἰς ἀνδρὸς ἧει λέκτρα ἐν λαθραίοις γάμοις, τουτέστι συνῆν λαθραίως Αἰγίσθῳ μοιχευομένη· ἐπὶ δὲ τοῦ Ἀγαμέμνονος οὕτως· ἡ σὴ θυγάτηρ ἐν ἰδίοις ὑμεναίοις, καὶ οὐχὶ σώφροσι, τουτέστι λαθραίως μοιχευομένη Αἰγίσθῳ, εἰς λέκτρα τοῦ Ἀγαμέμνονος ἧκεν, ὅτε ἐπανῆκεν ἐκ Τροίας καὶ οὐκ ᾔδεῖτο. Gu. I.

562. ἐμαυτὸν ἣν λέγω: ἐὰν ἐκείνην, φησὶ, λέγω κακῶς, ἐμαυτὸν ἐρῶ κακῶς· λέξω δ' ὅμως. A.B.C.M.I. ἐμαυτὸν ἐξερῶ κακῶς, ἀντὶ τοῦ ἐρῶ, ἣν λέγω ἐκείνην κακῶς. Gr.

ἐπὶ δ' ἔθυσα: ἀπρεπῶς ἔφρασεν ἔθυσα δὲ καὶ ἐπὶ τούτῳ τὴν μητέρα, ἢ τάχα ἵνα δείξῃ ὅτι εὐσεβῶς διεπράξατο φονεύσας αὐτὴν, ἔφη τὸ ἔθυσα. τὸν Αἴγισθον μὲν ἔκτεινα, ἐπὶ τούτῳ δὲ καὶ τὴν μητέρα ἔθυσα. A.B.C.M.I. ἐπὶ δ' ἔθυσα: οὐ καλῶς λέγεις· πρῶτον γὰρ ἐκείνην ἔκτεινεν, εἶτα καὶ τὸν Αἴγισθον, ἐξ ἀγρῶν ἐπανελθόντα, καθά φησι Σοφοκλῆς. Gu. Bar. ἐπί: αὕτη ἡ ἐπί λύπην σημαίνει, οἷον ἔπραξα ἓν αἰσχρὸν, καὶ οὐκ ἤρκει τοῦτο, ἀλλ' ἐπὶ τούτῳ ἔπραξα καὶ ἄλλον. Fl. 21. ἐφόνευσα. Gu. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

563. τιμωρῶν: βοηθῶν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

564. ἐφ' οἷς δ' ἀπειλεῖς: τὸ σχῆμα κατὰ ἀντίστασιν. I. ἐφ' οἷς: δι' ἅ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. πετρωθῆναι: λίθοις βληθῆναι. Gr. Florr. iidem. λιθασθῆναι. Gu.

566. ἐς τόδ' ἥξουσιν θράσους: εἰς τὴν θρασύτητα ταύτην. (ἤγουν τὸ ἀποκτείνειν τοὺς ἀλόχους add. Florr.) Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

567. ἄνδρας φονεύειν: λέγω εἰς τὸ φονεύειν τοὺς ἄνδρας. Gr. Florr. iidem. καταφυγάς: ἵνα μὴ ὑπ' αὐτῶν φονευθεῖεν. Gu. Fl. 6. ἐὰν μὴ ἀποκτείνουσιν αὐτάς. Fl. 21.

3. τουτέστι] ἤγουν Gu.
ib. Αἰγίσθῳ] τῷ αἰγίσθῳ I.
6. καὶ οὐκ ᾔδεῖτο om. I.
8. λέξω δ' ὅμως om. B.M. et una cum κακῶς A.C. In C. in marg. hujus versus ἀντίστασις, ἀντέγκλημα, μετάστασις, συγγνώμη.
10. ἀπρεπῶς—] ἀπρεπῶς τὸ ἔθυσα. τάχα δὲ δείξει ὅτι etc. B.I.
11. μητέρα, ἢ] μητέρα. ἀπρεπῶς τὸ ἔθυσα. ἢ C.M.
ib. διεπράξατο] διέπραξε B.I.
ib. δείξῃ C. δείξει ceteri.
ib. εὐσεβῶς] εὐσεβὲς A. Verba ὅτι εὐσεβῶς—αὐτὴν om. C.
12. ἔφη] καὶ ἔφη B.I.
ib. καὶ τὴν] καὶ om. M.
13. λέγεις] λέγει I.
15. Σοφοκλῆς] In Electra. v. 313.
16. τούτῳ Matth. pro τοῦτο.
17. ἄλλον] Leg. ἄλλον, nisi φόνον excidit. MATTH.

568. ἔλεον: ὡς σὺ φῂς, ὅτι χρὴ ποιεῖν. Fl. 21. θηρώμεναι: λαμβάνουσαι. Gr. Fl. 6. 9. 17. 21. 33. 56. 59. 76. ἀγρεύουσαι, ἕλκουσαι. Gu.

569. παρ' οὐδὲν αὐταῖς ἦν: ἐν ὀλίγῃ προφάσει καὶ πάρεργον ἦν αὐταῖς τοὺς ἰδίους ἄνδρας φονεύειν. A.B.C.M.I. εἴπερ ἔμελλεν αὐταῖς, φησὶν, εἰς ἔγκλημα μόνον περιίστασθαι τὰ τῆς τιμωρίας, ἀκωλύτως ἂν ἐχώρουν κατὰ τῶν ἀνδρῶν. A.B.M.I. παρ' οὐδέν: κατ' οὐδὲν, ἐν οὐδενὸς μοίρᾳ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐν ὀλίγῃ προφάσει. Fl. 10. ἤγουν οὐ μέγα νομίζοιεν ἂν ἀποκτείνειν τοὺς πόσεις. Fl. 21. ἦν ἄν: ἀντὶ τοῦ εἴη ἄν. Gr. Florr. iidem. ὀλλύναι: φθείρειν. iid. πόσεις: τοὺς ἄνδρας. iid.

570. ἐπίκλημ': ἀντὶ τοῦ ἔγκλημα, τουτέστιν ἐγκαλουμέναις αὐταῖς προβαλλομέναις καὶ προφασιζομέναις ὅ τι δήποτε· καὶ αὕτη γὰρ προεφασίζετο τὰ κατὰ τὴν Ἰφιγένειαν, ὅτι διὰ τοῦτο ἀνεῖλεν αὐτὸν, ὅτι ἐν Αὐλίδι ἐσφαγίασεν Ἰφιγένειαν. A.B.M.I. ἔγκλημα. Gr. κατηγόρημα, κατηγορίαν αὐτῶν. Gu. ὅ τι τύχοι: διὰ τὴν τυχοῦσαν αἰτίαν. Gr.

571. δεινά: χαλεπά. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. κομπεῖς: μεγαλορρημονεῖς. I. μετὰ τύφου προφέρεις. Gu. Fl. 6. μεγαλαυχεῖς. Fl. 21. λέγεις. Gu. τόνδε τὸν νόμον: τὸ μὴ τοὺς ἄνδρας φονεύειν διά τινα πρόφασιν. Gu. Fl. 6. νόμον: τὴν τάξιν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. συνήθειαν. Gu.

572. μισῶν δέ: ἐνδίκως δὲ μισῶν τὴν μητέρα ἀπώλεσα. Gr. Florr. iidem.

4. ἐν (ἀντὶ τοῦ ἐν A.) ὀλίγῃ] ἐν ἰδίᾳ I.

ib. προφάσει καὶ] φράσει A.C. sine καί.

5. φονεύειν (τὸ φονεύειν A.) ante τοὺς ἰδίους ἄνδρας A.B.I.

ib. εἴπερ] In A.M. lemma praefixum ἐπίκλημ' ἐχούσαις, in B. ἄλλως. Scholion ipsum in A. sic scriptum εἴπερ ἦν αὐταῖς φησὶν εἰς ἔγκλημα περιίστασθαι τὰ τῆς τιμωρίας, ἀκωλύτως ἂν ἐχώρουν κατὰ τῶν ἀνδρῶν:—

6. μόνον] μόνου I.

ib. τὰ τῆς] τὰ om. I.

7. ἂν] οὖν I.

12. ἀντὶ τοῦ — δήποτε] Sic M., nisi quod ἄλλως praefixum habet, quia haec post verba κατὰ τῶν ἀνδρῶν (schol. ad v. 569.) sequuntur, et διαβαλλουμέναις (sic) pro προβαλλομέναις scriptum est. In A. ἀντὶ τοῦ ἔγκλημα, τουτέστιν ἐγκαλουμέναις ἐφ' ᾧτινι δεῖ, ἢ αὐταῖς ἐγκαλούσαις καὶ προφασιζομέναις ὅ τι δήποτε. In I. ἀφορμὴν, αἰτίαν, προβαλλομέναις καὶ προφασιζομέναις ὅτι τύχοι καὶ ὅτι δήποτε. Et sic B. quoque, nisi quod verba ἀφορμὴν, αἰτίαν omittit.

13. αὕτη] αὐτὴ A.

ib. προεφασίζετο] προυφασίζετο I.

573. μεθ' ὅπλων: μετὰ τοῦ στρατοῦ. Gr. μετὰ στρατείας. ὁπλίτην. Gu.

574. πάσης ὑπὲρ γῆς: ἡ γὰρ ἁρπαγὴ τῆς Ἑλένης πάσης τῆς Ἑλλάδος ἦν ἀτιμία. Gu. στρατηλάτην: στρατοπεδεύοντα. Gu.

575. προὔδωκε: κατέλιπε. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. ἔσωσεν: ἐφύλαξεν. Gr. Florr. iidem. ἀκήρατον: ἄφθαρτον. Gu. ἀμίαντον. Gr. Florr. iidem.

576. ἐπεὶ δ' ἁμαρτοῦσα: ἐπεὶ δὲ ᾔσθετο μοιχευθεῖσα, οὐχ ἑαυτὴν ἐτιμωρήσατο, δέον τοῦτο ποιεῖν, ἀλλ' ἵνα μὴ δίκας ἀπαιτηθῇ τῆς μοιχείας, προτέρα ἐφόνευσε. A.B.C.M.I.

ἐπεὶ δ' ἁμαρτοῦσα: ἀφ' οὗ ἁμαρτίαν ποιήσασα ἐνόησε. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. διὰ τῆς μοιχείας. Gu. δίκην: τιμωρίαν. Gr. Florr. iidem.

577. ὡς μὴ δίκην: ἤγουν ἵνα μὴ ὑπὸ τοῦ ἀνδρὸς κολασθείη. (κολασθῇ Gr.) Gr. Florr. iidem.

578. ἐζημίωσε: ἁρμοδίως καὶ οἰκείως ἡ λέξις ἐνταῦθα κεῖται· εἰ γὰρ ἡ ζημία ζωῆς ἐστι μείωσις καὶ ἐλάττωσις, εἰκότως ζημιοῦν τινὰ λέγεται ὁ θανάτῳ τὴν ζωὴν αὐτοῦ ἀφελόμενος. I. ἐζημίωσε: ἠδίκησε. Gr. Florr. iidem. πρωθύστερον. Fl. 6.

579. πρὸς θεῶν: ἄκουσον δηλονότι·—ἐν οὐ καλῷ μὲν καιρῷ ἐμνήσθην τῶν θεῶν ἕνεκα φόνου κρινόμενος·—εἰ μετὰ σιωπῆς ἐπῄνουν τὰ τῆς μητρὸς, τί ἄν με ἔδρασεν ὁ ἀποθανὼν πατὴρ ἐμός; οὐκ ἂν με μισῶν ἀνετάραττε διὰ τῶν Ἐριννύων; ἢ τῇ μητρὶ παρυπάρχουσι σύμμαχοι αἱ Ἐριννύες, τῷ πατρὶ δὲ τῷ πλέον ἠδικημένῳ οὐ παρυπάρχουσι; I.

580. φόνον δικάζων: περὶ τοῦ φόνου δικαζόμενος. M.

581. σιγῶν ἐπῄνουν: διὰ τὸ σιγᾶν ἐπῄνουν. Gr. Florr. iidem. πᾶς γὰρ ὁ ἀκούων τι κακὸν αὐτοῦ καὶ σιγῶν δοκεῖ ἐπαινεῖν τοῦτο. Fl. 21.

582. ἀνεχόρευ': ἐτάρασσεν. Gr. ἀνεβάκχευε καὶ ἀνέτρεπεν, ἀνεκίνει, παρηνώχλει. Gu. παρεδίδου εἰς μανίαν. M. Fl. 21.

9. ἐπεὶ δὲ—μοιχευθεῖσα om. A.B. C.M., quorum A. in lemmate ἐπεὶ δ' ἁμαρτοῦσ' ᾔσθετ' (οὐκ αὐτὴ δίκην ἐπέθηκεν M.), tum τουτέστιν οὐχ ἑαυτὴν etc.

10. ποιεῖν] εἰπεῖν C.M. et qui post δέον (τὸ δέον C.) ponit A.

11. προτέρα (πρότερον C.) ἐ.] ἐ. πρῶτον (αὐτὴ αὐτὸν add. m. rec.) A.

585.—604. *σύ τοι φυτεύσας*: Ὁμηρικὸν, ὡς τὸ "σοὶ πάντες μαχόμεσθα· σὺ γὰρ τέκες ἄφρονα κούρην." A.B.C.M.I. ὦ γέρον, σὺ γεννήσας θυγατέρα κακὴν, τὴν Κλυταιμνήστραν, ἔφθειρας ἐμέ. διὰ γὰρ τὴν ἐκείνης θρασύτητα πατρὸς ἐγὼ στερηθεὶς μητρὸς ἐγενόμην φονεύς. βλέπεις τὴν Ὀδυσσέως γυναῖκα Πηνελόπην. οὐ κατέκτανε Τηλέμαχος ὁ υἱὸς αὐτῆς· οὐ γὰρ ἐπεγάμβρευεν ἀνδρὶ ἄνδρα· μένει δ' ἐν οἴκοις ἀμίαντον καὶ σῶφρον τὸ εὐναστήριον. ὁρᾷς τὸν Ἀπόλλωνα, ὃς τὰς μεσομφάλους καθέδρας οἰκῶν τοῖς ἀνθρώποις σαφῆ μαντείαν δίδωσιν, ᾧτινι Ἀπόλλωνι πειθόμεθα κατὰ πάνθ' ὅσα ἂν λέγῃ ἐκεῖνος· τούτῳ πειθόμενος ἐγὼ τὴν μητέρ' ἐφόνευσα. ἐκεῖνον τὸν Ἀπόλλωνα νομίσατε ἄδικον καὶ φονεύσατε. ὁ Ἀπόλλων ἔσφαλεν, οὐκ ἐγώ. τί δεῖ με πράττειν; ἢ οὐκ ἔντιμος καὶ ἄξιος ὁ Ἀπόλλων λῦσαί μοι τὸ μίασμα εἰς ἐκεῖνον ἀναφέροντι; ποῦ τις λοιπὸν τράποιτ' ἂν, εἰ μὴ ὁ κελεύσας θεὸς ῥύσηταί με, ὥστε μὴ ἀποθανεῖν; ἀλλ' ὅτι μὲν οὐ καλῶς εἴργασται ταῦτα μὴ λέγε, λέγε δ' ὡς οὐκ εὐτυχῶς ἡμῖν τοῖς δεδρακόσιν. ὅσοις δὲ τῶν ἀνθρώπων οἱ γάμοι συμπίπτουσιν, ἀντὶ τοῦ ἀπαντῶσι καλῶς, ὁ βίος ὑπάρχει μακαριστός· οἵστισι δὲ μὴ διάκεινται καλῶς, καὶ κατὰ τὰ ἔνδον καὶ τὰ ἐκτὸς ἀτυχεῖς ὑπάρχουσιν. I.

585. *φυτεύσας*: γεννήσας. Gr. *σπείρας*. Fl. 33. *κακήν*: κακότροπον. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

589. *ἐπεγάμει*: οὐ γὰρ ἐπὶ τῷ πόσει πόσιν ἕτερον εἰς γάμον ἑαυτῆς ἦγεν. Gr. Florr. iidem. καὶ εἰς γάμον ἐλάμβανεν. Fl. 59. ἤγουν οὐκ ἔλαβεν εἰς γάμους πόσιν ἐπὶ ἑτέρῳ πόσει· καὶ γὰρ ἔζη ὁ ἀνὴρ αὐτῆς. Fl. 21. ἐμίγνυτο ἀπ' ἀνδρὸς εἰς ἄνδρα. Fl. 33.

590. *μένει*: καὶ ἀπόντι τῷ Ὀδυσσεῖ. Gu. Fl. 6. *ὑγιές*: ἀντὶ τοῦ ἀμίαντον, σῶφρον. A.B.C.M. τὴν γὰρ κοίτην τοῦ ἀνδρὸς ἀπαράθραυστον διετήρησεν. A.C. ἀδιάφθορον. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀμίαντον, ἄφθαρτον. Gu. *εὐναστήριον*: θάλαμος. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

591. *ἕδρας*: καθέδρας, κατασκηνώσεις. Gr. Fl. 6. 9. 17. 56. 59. 76.

592. *στόμα σαφές*: ἀντὶ τοῦ χρησμοὺς ἀληθεστάτους. Gr.

1. Ὁμηρικὸν] Il. 5. 875. ib. ὡς τὸ A.C. τὸ M. τοῦτο I., om. B. 2. ἄφρονα κούρην om. A.C. 14. ῥύσηται Barnes. ῥύσητε I.

Fl. 6. 9. 17. 21. 56. 59. 76. νέμει: διαδίδωσιν. M. δίδωσιν. Gr. παρέχει. Gu. Florr. iidem.

594. τούτῳ πιθόμενος: διὰ τοῦ ι ἐνταῦθα τὸ πιθόμενος. ὅτι δὲ καὶ οὕτω γράφεται παρὰ τοῖς ποιηταῖς δῆλον καὶ ἀπὸ τούτων·

Ἡ λίθος ἔστ' ἀμέθυστος· ἐγὼ δ' ὁ πότης Διόνυσος.
ἢ πιθέτω νήφειν, ἢ μαθέτω μεθύειν.—Gr. I.

596. χρῆν: πρέπον ἦν. Gr. Fl. 6. 9. 17. 56. 59. 76. ἀντὶ τοῦ δεῖ με ὑπὲρ τούτου ἀγωνίζεσθαι ἢ δειλιᾶν. C.

597. ἢ οὐκ ἀξιόχρεως: εἴπερ ὁ θεὸς, εἰς ὃν ἀναφέρω τὴν αἰτίαν τοῦ μύσους, οὐκ ἔστιν ἱκανὸς καὶ ἀξιόπιστος, ἐχέγγυος τοῦ λῦσαί με τοῦ μιάσματος, ποῖ φύγω; A.B.C.M. Cant. ἀξιόχρεως: ἱκανὸς ἔλεγχος, ἀξιόπιστος. M. ἔντιμος. Gr. ἀξιόπιστος, ἱκανὸς, ἄξιος, δυνατός. Gu.

598. φύγοι: ἀντὶ τοῦ καταφύγοι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. διὰ τούτου ἐκφοβεῖ αὐτόν. Fl. 21.

599. εἰ μὴ ὁ κελεύσας: ποῖ φύγω, εἰ μὴ ὁ κελεύσας ῥύσεταί με τὸ μὴ θανεῖν; A.B.M. ὁ προστάξας. Gr. τοῦτο ποιῆσαι, ἤγουν φονεῦσαι. Gu. μὴ θανεῖν: περιττὸν τὸ σχῆμα· διὸ καὶ τὸ χ. περισσὸν γὰρ τὸ ἓν μή, καὶ ἔστιν Ἀττικόν. A.B.M.

600. ἀλλ' ὡς μὲν οὐκ εὖ: ἀλλ' ὡς μὲν οὐκ εὖ τάδε εἴργασται μὴ λέγε. B.M. ἀλλὰ μὴ λέγε ὅτι οὐ καλῶς ἐφόνευσα τὴν μητέρα. C. ἀλλ' ὅτι μὲν οὐ καλῶς πεποίηται ταῦτα, μὴ λέγε· καλῶς μὲν

4. δὲ καὶ] καὶ e Gr. addidi. In Gr. et Florr. 6. 9. 17. 21. 56. 59. 76. pro ἀμέθυστος est ἀμέθυσος. MATTH. Est Platonis junioris in Anth. Pal. 9. 748. ubi cod. Pal. ά—ἀμέθυσος—πότας—ἢ νείψειν πείσει μ' (alio loco ἢ πεισάτω νήφειν) etc.

9. εἴπερ] ἢ B. et Cant.

10. μύσους A. μίσους ceteri.

ib. ἱκανὸς—μιάσματος B. ἱκανὸς λαι με (sic) M. ἱκανὸς καὶ ἀξιόπιστος τοῦ λῦσαι τὴν αἰτίαν τοῦ μιάσματος Cant. In A.C. est οὐκ ἔστιν (οὐκῖσται C.) ἱκανὸς λῦσαι τὴν αἰτίαν (τὴν αἰτίαν om. C.:—omisso τοῦ μιάσματος.

11. ποῖ φύγω om. B.

16. ποῖ—θανεῖν] In B. ἄλλως. εἰ μὴ ὁ κελεύσας ποῖ φύγω εἰ μὴ ῥύσεταί με μὴ θανεῖν. περί (hoc accentu) τὸ σχῆμα etc. In A.M. haec cum scholio l. 18. confusa.

18. περιττὸν τὸ] περὶ τὸ A.B.M.

ib. διὸ] δὲ B.: om. A.M. Post χ M. addit π (i. e. περὶ) γὰρ ῥύσεται μὴ θανεῖν θανεῖται. In A. est καὶ τὸ χ παράκειται γὰρ ῥύσεται αὐτὸν μὴ θανεῖν. περισσὸν δὲ τὸ ἐν (i. e. ἓν, cum aliquot literarum lacuna: excidit μή) καὶ ἔστιν ἀττικὸν τὸ τοιοῦτον:—

19. γὰρ] δὲ M. et om. καί.

ib. ἓν μή] ἓν om. B.

20. ὡς (alterum)] ὅτι B.

22. πεποίηται] πέπρακται gl. Gu.

γὰρ δηλονότι πέπρακται· οὐκ εὐδαιμόνως δὲ, ἤγουν εὐτυχῶς, ἡμῖν τοῖς δράσασιν. Gr. οὐκ εὖ εἴργασται· ὑπὸ γὰρ ἄλλων ἔδει πεπρᾶχθαι. Gu.

602. εὖ καθεστᾶσιν: καλῶς διάκεινται, καλῶς ἔχουσιν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

603. μακάριος αἰών: τούτοις δηλονότι μακάριος ὁ αἰὼν, ἤγουν ὁ βίος, ἀντὶ τοῦ οὗτοι ἀπολαύουσι βίου, δι' ὃν μακαρίζονται. ὡς γὰρ μακάριον τέλος λέγεται οὗ ὁ τυχὼν μακαρίζεται, οὕτω καὶ μακάριος βίος οὗ ὁ ἀπολαύων μακαρίζεται. τὸ γὰρ ἀπολαῦον ἀγαθοῦ τινος εἰκότως ἂν μακαρίζοιτο διὰ τὴν ἀπόλαυσιν. μακαρίζεται γάρ τις ἐφ' οἷς ἔχει καλοῖς, ἢ ἐφ' οἷς ἀπολαύει. τὸ δὲ παρέχον τὴν ἀπόλαυσιν, ἤγουν ἐκεῖνο οὗ ἀπολαύει τις, οὐκ ἔχει λόγον μακαρίζεσθαι. ὥστε ὅτε τοιοῦτό τι λέγεται μακάριον, οὐ δι' ἑαυτὸ οὕτω λέγεται, ἀλλὰ διὰ τὸ ἀπολαῦον αὐτοῦ. Gr. I.

οἷς δὲ μὴ πίπτουσιν εὖ: ἀντὶ τοῦ ἀπαντῶσιν. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν κύβων. καὶ Σοφοκλῆς "ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι." A.B.C.M.I.

604. τά τ' ἔνδον: οὗτοι κατὰ τὰ ἔνδον καὶ κατὰ τὰ ἐκτός εἰσι δυστυχεῖς. Gr. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76. ὁ γὰρ γυναῖκα μοιχευομένην ἔχων οὐ μόνον αὐτὸς διὰ τὴν μοιχείαν λυπεῖται, καὶ τὴν γυναῖκα ἐπιβουλεύουσαν ἀεὶ ἔχει καὶ μαχομένην, ἀλλὰ καὶ τοῖς ἁπάντων μυκτηρίζεται στόμασιν. Gu. Bar. θύραζε: ἔξω τῶν θυρῶν, ἤγουν τῆς οἰκίας. Gu.

605. ἀεὶ γυναῖκες: ἀεὶ τὸ τῶν γυναικῶν γένος συμφοραῖς καὶ δυστυχίαις ὑποκείμενον ἐμπόδιον γίνεται τῶν ἀνδρῶν εἰς δυστυχίαν, τουτέστι τοὺς ἰδίους ἄνδρας ταῖς σφετέραις αὐτῶν κακίαις εὐτυχίας ἀφιστῶσαι πρὸς δυστυχίαν ἐπάγουσιν· ὃ καὶ Κλυταιμνήστρα πεποίηκεν. Gu. I.

ἀεὶ γυναῖκες: ἀεὶ, φησὶν, αἱ γυναῖκες ταῖς ἰδίαις δυστυχίαις

6. ἤγουν] ἤτοι I.
10. ἐφ' οἷς ἔχει—ἢ] ἐφ' οἷς ἂν ἔχοι—ἤγουν I.
13. ὅτε] ὅτι I.
15. ἀπὸ] ἐκ A.
16. κύβων καὶ] πεσσῶν A., omisso καί.
ib. Σοφοκλῆς] Fragm. 762. ubi v. quae annotavi. In A. σοφὸς, sed superscripto σοφοκλῆς a m. rec.
ib. ἀεὶ] αἰεὶ C. δεῖ A.
ib. εὖ πίπτουσιν] ἐμπίπτουσιν A.
24. τῶν om. I.
29. ἀεὶ, φησὶν] ἄλλως praef. in I.

ἐμποδίζουσι ταῖς εὐτυχίαις τῶν ἀνδρῶν. Ἄλλως. ἀεὶ γυναῖκες ἐμποδίζουσι ταῖς ἀγαθαῖς συντυχίαις καὶ πρὸς τὸ δυστυχεῖν ἄγουσι τοὺς ἄνδρας. συμφορὰς δὲ νῦν τὰς συντυχίας καλεῖ. πεφύκασι, φησὶν, αἱ γυναῖκες ἐμποδίζειν τοῖς ἀνδράσι, καὶ ἐν ταῖς πρὸς τούτους συντυχίαις καὶ κοινωνίαις ἄγειν αὐτοὺς πρὸς τὸ δυστυχέστερον. ἢ οὕτως· πεφύκασιν αἱ γυναῖκες ἐμποδίζειν ταῖς παρ' ἑαυτῶν συμφοραῖς τοὺς ἄνδρας ἐν τοῖς καλοῖς καὶ πρὸς τὸ δυστυχέστερον αὐτοὺς ἄγειν. A.B.M.I.

ἀεὶ γυναῖκες: συμφορά ἐστιν ἀκούσιον σύμπτωμα. οὐ συμφωνεῖ δὲ ἐνταῦθα τῇ ἀγανακτήσει τοῦ χοροῦ τὸ τὰς γυναῖκας τοῖς ἰδίοις συμπτώμασι τοῖς ἀκουσίοις ἐμποδὼν καθίστασθαι τοῖς ἀνδράσιν· τοῦτο γὰρ σχεδὸν τὰς γυναῖκας ἔξω αἰτίας ποιεῖ. ἄλλως τε οὐδὲ ἡ Κλυταιμνήστρα ἀκουσίῳ ἑαυτῆς συμπτώματι ἐμποδὼν τῷ ἀνδρὶ ἐγένετο, καὶ τὸ αἰεί δὲ οὐ καταλλήλως ἔχει πρὸς τὸ ἔφυσαν. δοκεῖ δὲ τὸ πᾶν οὕτως ἔχειν· αἱ γυναῖκες ἐγεννήθησαν ἐμποδὼν ἀεὶ εἶναι τοῖς ἀνδράσι δηλονότι· τοῦτο γὰρ συνυπακούεται ἀπὸ τοῦ ἐπαγομένου ἐπὶ ταῖς συμφοραῖσι τῶν ἀνδρῶν, ὥσπερ εἰ εἶπεν ἐπὶ τῷ κακῷ τῶν ἀνδρῶν, τουτέστι χάριν τῶν συμφορῶν τῶν ἀνδρῶν, ἐφ' ἃς αὐτοὺς δηλονότι αὗται ἐμβαλοῦσιν αὐτῶν, οὐχ ὥστε αὐτοῖς μετρίως ἐπιθέσθαι αὐτὰς, ἀλλὰ πρὸς τὸ δυσκολώτατον. Gr. Fl. 6. 9. 34. 59. 76.

605. συμφοραῖς: ταῖς αὐτῶν δυστυχίαις. συμφορὰ λέγεται πολλῶν πραγμάτων συνδρομὴ, φορὰ δὲ ἡ κίνησις. Gu. συγκράσεσιν. B.

1. ταῖς εὐτυχίαις] τὰς δυστυχίας A., sed corr. a m. rec. τὰς εὐτυχίας. In C. est τοὺς εὐτυχοῦντας. Idem post τῶν ἀνδρῶν pergit ἐν ταῖς αὐτῶν τῶν γυναικῶν ἐν ταῖς ἰδίαις παρανομίαις :—

ib. γυναῖκες] αἱ γυναῖκες B.I. Post γ. ἐμποδίζουσι A. pergit ταῖς συντυχίαις τῶν ἀνδρῶν. συμφέροι δὲ νῦν λέγειν τὰς συντυχίας. πεφύκασι αἱ γυναῖκες ἐμποδίζειν etc.

3. συμφορὰς δὲ] ἄλλως. συμφοράς I. omisso δέ.

ib. καλεῖ om. M.

6. ἢ οὕτως] καὶ οὕτως I.

ib. αἱ γ. ἐ.] ἐ. αἱ γ. B.I. Proxima παρ' ἑαυτῶν—τοῖς κακοῖς (sic pro καλοῖς) A. a m. rec. habet. Porro in A. fragmentum scholii est ταῖς ἀγαθαῖς κοινωνίαις εἰς τὸ δυστυχέστερον (ἄγειν αὐτούς add. rec.) Et a m. recentiore, ἀεὶ αἱ γυναῖκες ἐμποδίζουσι ταῖς ἀγαθαῖς συντυχίαις καὶ πρὸς τὸ συντυχεῖν ἄγουσι τοὺς ἄνδρας. συμφορὰς νῦν λέγει τὰς συντυχίας. Et a m. recentissima, ἀεὶ αἱ γυναῖκες ἐν ταῖς συμφοραῖς ταῖς οἰκείαις ἔφυσαν ἐμπόδιον ταῖς εὐτυχίαις τῶν ἀνδρῶν ἄγουσαι πρὸς τὸ δυστυχεῖν. . . .

7. τοὺς ἄνδρας] τοῖς ἀνδράσιν A. M.I.

ib. δυστυχέστερον] δυστυχέστατον M.

606. ἔφυσαν: φυσικῶς εἰσὶ διὰ τὴν χαυνότητα, ἐγεννήθησαν. Gu. δυστυχέστατον: δυσκολώτατον. Gu. Fl. 25.

607. θρασύνει: ἀναιδὴς φαίνῃ. Gu. ὑποστέλλει: ὑποπίπτεις, ὑποκλίνεις, ὑποτάσσῃ, ταπεινῇ, μετριάζῃ. Gu. λόγῳ: ὁμιλίᾳ, κατὰ τὸν λόγον. Gu.

608. ἀμείβει: ἀνταποκρίνῃ, ἀποκρίνῃ. Gu. ἀλγῆσαι: λυπηθῆναι. Gu.

609. ἀνάξεις: παρορμήσεις. κινήσεις. B. ἀνάψεις: ἐγείρεις, παρακινήσεις, παρορμήσεις, ἀναπτερώσεις. Gu. ἐξελθεῖν: περισσὴ ἡ ἐξ. Gu. Fl. 6. 9. 17. 56. 59. 76.

610. καλὸν πάρεργον: ποιήσομαι αὐτὸ, τὸ φονεῦσαί σε δηλονότι, καλὸν πάρεργον τῶν πόνων, ἤγουν ἔργον ἔξω τοῦ σκοποῦ τῶν πόνων, ὧν οὕνεκ' ἦλθον, λέγω κοσμήσων τὸν τάφον τῆς θυγατρός. Gr. I.

καλὸν πάρεργον: ἀντὶ τοῦ σπουδαῖον, τῶν ἐμῶν πόνων καλὸν ἡγήσομαι αὐτὸ πάρεργον. πόνων δὲ λέγει τῶν κατὰ τὸν τάφον θυσιῶν. ὡς ἐν παρέργῳ δὲ τὸν κατὰ Ὀρέστου λόγον ποιεῖται. καὶ τὸ πάρεργον ὡς ἔργον, φησὶ, θήσομαι. Ἄλλως. καὶ ἐγὼ μὲν, φησὶν, ἦλθον τὰ πρὸς τὴν θυσίαν ἐκπονήσων τῇ θυγατρί· νῦν δὲ ὑπὸ σοῦ παροξυνθεὶς διὰ σπουδῆς καὶ τοῦτο θήσομαι τὸ ἔργον, τὸ σὲ φονευθῆναι. καὶ παραγενόμενος εἰς τὴν ἐκκλησίαν ἤδη παροξυνῶ πάντας κατὰ σοῦ καὶ μὴ βουλομένους. πάρεργον δὲ εἶπεν, ἐπεὶ οὐ τοῦτο ἦν αὐτῷ τὸ προκείμενον. A.B.M.I.

611. κοσμήσων: διὰ τῶν θυσιῶν καὶ τῶν ἀναθημάτων. θυσιάσων. Gu.

612. ἔκκλητον: ἤγουν εἰς τὴν συνάθροισιν τῶν Ἀργείων. Gr.

4. ὑποκλίνεις] ὑποκλίνῃ, ὑποπίπτῃς habet etiam Fl. 34. μετριάζεις, ταπεινῇ 6. 9. 17. 25. 56. 59. 76.

ib. ταπεινῇ] Immo ταπεινοῖ.

8. ἐγείρεις] Corrige ἐγερεῖς.

9. ἀνακινήσεις habet Fl. 6. ἢ ἀνάξεις ἤγουν παρορμήσεις 21. ἀναπτερώσεις 6. 9. 17. 21. 25. 34. 56. 59. 76. MATTH.

11. σε post φονεῦσαι e Gr. addidi. Tum pro καὶ οὐ πάρ. dedi καλὸν π. ex eodem cod. qui legit: θήσομαι δὲ ἤγουν ποιήσω αὐτὸ, τουτέστι τὸ φονεῦσαί σε, καλὸν πάρεργον τῶν πόνων etc. MATTH.

12. ὧν addidit Matth.

15. αὐτὸ om. B.I.

ib. δὲ λέγει] λέγων A. δὲ λέγων M.

ib. τὸν τάφον] τάφῳ M., omisso τόν.

16. Ὀρέστου] τοῦ ὀρέστου A.

17. Ἄλλως om. A.M.

ib. καὶ om. B.I.

18. ἐκπονήσων] ἐκπονῆσαι B.I.

20. παραγενόμενος] παραγενάμενος M.

συνηθροισμένον, τὸν ἐκκλησιάζοντα. τὸν συνεδριάζοντα ἐν τῇ ἐκκλησίᾳ. Gu.

613. *ἀνασείσω: παρακινήσω.* Gr. *ἐφορμήσω, ἐπάξω.* Gu. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76.

614. *σοὶ σῇ τ' ἀδελφῇ; κατὰ σοῦ καὶ τῆς σῆς ἀδελφῆς, ὥστε δοῦναι ὑμᾶς δίκην διὰ λίθων. μᾶλλον γὰρ σοῦ ἐκείνη, ἤγουν ἡ ἀδελφή σου, ἐστὶν ἀξία θανεῖν, ἣ κατὰ τῆς τεκούσης σε ἄγριον καὶ χαλεπὸν ἐποίησε, ἀεὶ πέμπουσα μύθους εἰς τὸ οὖς, ἤγουν ψιθύρους λόγους πέμπουσα ἐπὶ τὸ δυσμενέστερον, ἤγουν ἐχθρωδέστερον, βλέποντας δηλονότι.* Gr. I.

618. *τἀγαμέμνονος: ἃ ὁ Ἀγαμέμνων δῆθεν ἔπεμψεν.* Gr. *ἃ δι' ἐκεῖνον ἑώρα.* Gu. *ἃ περὶ τοῦ Ἀγαμέμνονος ἐφαντάζετο.* Fl. 6. 9. 17. 21. 56. 59. 76.

619. *καὶ τοὖθ' ὅ: τὴν μοιχείαν λέγει. κατὰ κοινοῦ δὲ τὸ ἀπαγγέλλουσα, ἵν' ᾖ καὶ τὸ Αἰγίσθου λέχος ἀπαγγέλλουσα.* A.B.C.M.I. *ὃ μισήσειαν: ἐπειδὴ περὶ τεθνεῶτος διαλέγεται, διὰ τοῦτο εἶπεν, οἱ νέρτεροι θεοὶ μισήσειαν.* B.M.I. *μισήσειαν: εἴθε.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

620. *καὶ γὰρ ἐνθάδ' ἦν: καὶ γὰρ ἐνταῦθα τοῦ ἔργου πικρὸν ἦν, φησὶ, τὸ πραττόμενον ὑπὸ ταύτης, τουτέστι, κατ' αὐτὸ γὰρ τοῦτο μάλιστα πικρότατον ἦν αὐτῇ συνεχῶς τὸ λέχος, καὶ τὴν μοιχείαν ὀνομάζουσα, κἀκ τούτου παροξύνουσα τὸν ἀδελφόν. ἢ οὕτως. καὶ γὰρ κατ' αὐτὸ τοῦτο πικρὸν ἦν τὸ πρᾶγμα, ὅτι μοιχεία ἦν.* A.B.

1. *τὸν ἐκκλησιάζοντα* etiam B.M.
6. *γὰρ*] *δὲ* Gr.
7. Verba *ἣ κατὰ—ἐποίησε* e Cant. addidit King. e quibus glossemata *κατὰ τῆς τεκούσης* in Gr. *ἄγριον καὶ χαλ. ἐπ.* in Gu. *ἀεὶ—δηλονότι* leguntur etiam in Gr. et Flor. 6. 9. 17. 21. 56. 59. 76. MATTH.
14. *τὴν μ. λέγει* om. C.
ib. *κατὰ*] *ἀπὸ* B.C.I.
ib. *δὲ τὸ*] *δὲ* om. C., *τὸ* om. I.
15. *ᾖ καὶ* om. C.M.
ib. *ἀπαγγέλλουσα*] *ὃ μισήσειαν οἱ πάντες θεοί:—* A. *ὃ μισήσειαν οἱ θεοί:* —M.
16. *ἐπειδὴ*] *ἐπεὶ δὲ* B. *ἐπεὶ* I.
ib. *τεθνεῶτος*] *τεθνεώτων* M.I.
ib. *διαλέγεται*] *εἶπε* I.
ib. *διὰ—μισήσειαν*] *νερτέρους εἶπεν* M.
20. *φησὶ* om. A.I., post *ἐνταῦθα* collocat C.
ib. *ταύτης*] *γὰρ* add. A.
ib. *τοῦτο*] *τὸ* C.
21. *ἦν* om. C.
22. *κἀκ τούτου*] *κἀκ τούτων* I. *κατὰ τοῦτο* C.
ib. *παροξύνουσα*] *παροξύνουσι* A.
ib. *ἢ οὕτως*] *ἄλλως* A. In C. *οὕτω γὰρ κατ' αὐτὸ τοῦτο πικρότατον τὸ πρᾶγμα ὅτι μοιχὸς ἦν:—*

C.M.I. ἢ τὸ ἐνθάδε ἀντὶ τοῦ κατὰ τὸν ἐν τῷ ζῆν βίον. οἷον αὕτη σε ἐξηγρίωσεν ὀνομάζουσα τὸ ἐκείνης λέχος, καὶ τὴν μοιχείαν Αἰγίσθου, ἵν' εἴη καὶ τοὺς χθονίους μισεῖσθαι θεοὺς καὶ τὰς τῶν κατοιχομένων ψυχάς. καὶ γὰρ τοῖς ζῶσι πικρὸν ἡ μοιχεία. A.B.M.I. ἐνθάδ': ἤγουν ἐν τοῖς ἄνω. Gr. εἰς τοσοῦτον. Gu. καὶ γάρ: καὶ γὰρ πικρότατον ἦν μέχρις ὅτου ἐμίσγετο ὁ Αἴγισθος τῇ Κλυταιμνήστρᾳ καὶ ἦν αἰτία τῇ Ἠλέκτρᾳ κατηγορεῖν. Fl. 21. πικρόν: ἀντὶ τοῦ ἀλγεινόν. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76. αἰσχρὸν γὰρ ἦν ἐν τοῖς ἀνθρώποις μοιχὸν εἶναι τὴν τοῦ ἄνακτος ἄλοχον. Fl. 21.

621. ἕως ὑφῆψε: ἐπεὶ μεταφορᾷ χρώμενος εἶπεν ὑφῆψε δῶμα, οἷον ἀπώλεσεν, ἐπήνεγκεν ἀνηφαίστῳ πυρὶ, δηλονότι ἄνευ πυρὸς διέφθειρε τὸν οἶκον. A.B.M.I. ἀνηφαίστῳ: τῷ ὕλην μὴ ἔχοντι. B.I. πυρὶ εἰπὼν ἐπάγει ἀνηφαίστῳ, ἵνα δηλώσῃ ὅτι οὐ τοῦτο λέγει τὸ πῦρ, τὸ τὰ ξύλα καὶ τὴν ὕλην ἀναλίσκον, ἀλλ' ἕτερον μέν τι, ὁμοίως δὲ τούτῳ φθαρτικὸν καὶ ἀναλωτικόν. Gr. I. Ἄλλως. ἐπεὶ τὸ ὑφῆψεν εἶπεν ἀντὶ τοῦ ἀπώλεσεν, προσέθηκεν εἰκότως καὶ τὸ δίχα πυρός. B.M.I. ὑφῆψε: ἔκαυσεν, ἠφάνισεν. Gu. ἀνηφαίστῳ πυρί: τουτέστιν ἐν συμφορᾷ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τοῦτο γὰρ ἀνέτρεχε τὸν οἶκον τῶν ἐνοικούντων ἀθλίως φονευθέντων. Gu. τὸ λέχος τοῦ Αἰγίσθου καλεῖ ἀνήφαιστον πῦρ, ὡς τῇ δυνάμει ἴσον κατεργασάμενον· ἀναλωτικώτερον γὰρ τῶν ἄλλων τὸ πῦρ. Fl. 59.

622. λέγω: ἐγκαλῶ. B. πρός: σὺν τούτῳ. B. πρὸς τῷ λέγειν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

623. τοὐμὸν ἔχθος: τὴν ἐμὴν ἔχθραν. Gr. ὃ πρὸς αὐτοὺς ἔχω. Gu. ἐναριθμῇ δὲ ἀντὶ τοῦ φροντίζῃ καὶ ἐν φροντίδι ἔχεις. οἷον εἰ

1. ἢ τὸ] ἢ om. A.

ib. οἷον—ἡ μοιχεία] οἷον αὐτή σε ἐξηγρίωσε (ἐζώγρησεν B.I.) ὀνομάζουσα τὸν ἐκείνης λόγον καὶ τὴν μοιχείαν (omisso Αἰγίσθου), ἵν'—θεοὺς μισῆσθαι καὶ κατοιχομένων ψυχάς:— A.

4. ἡ] ἦν M.

5. εἰς τοσοῦτον] Florr. 6. 9. 17. 21. 25. 56. 59. 76. ἢ ἐπὶ τοσοῦτον. MATTH.

10. ὑφῆψε A. ἀνῆψε ceteri.

11. δηλονότι] δηλῶν ὅτι A. ut videtur. Idem διεφθάρη, omisso τὸν οἶκον.

13. ἐπάγει] τῷ add. I.

ib. δηλώσῃ] δηλονότι δηλώσῃ I.

15. φθαρτικὸν καὶ ἀναλωτικόν] ἀναλυτικὸν (sic) καὶ φθαρτικὸν I. ἀναλωτικὸν γὰρ τὸ πῦρ est etiam in Fl. 59.

ib. Ἄλλως om. A.M. in quibus hoc scholion superiori est praepositum.

16. προσέθηκεν post πυρός habent B.I.

ib. εἰκότως καὶ om. A.

25. φροντίζῃ καὶ om. B., ut A.C., qui partem hujus scholii habent usque ad συγγένειαν καὶ φιλίαν (καὶ φιλίαν om. A.). A. incipit τοὐμὸν

ἐφορᾷς τὸ παρ' ἐμοῦ πρὸς αὐτὸν μῖσος, καὶ τὴν ἐμὴν συγγένειαν καὶ φιλίαν, ὅρα μὴ θελήσῃς ἀμύνειν καὶ βοηθεῖν τῷδε, εἰς φόνον ἐναντίον ἤτοι μισητὸν τοῖς θεοῖς. ἔα δὲ καταφονευθῆναι ὑπὸ τῶν πολιτῶν, διὰ τῶν πετρῶν. εἰ δὲ μή, μὴ ἐπίβαινε τῆς Σπαρτιάτιδος γῆς. I. ἤτοι εὐνοϊκῶς διάκεισαι πρὸς ἐμὲ καὶ τοὺς μισοῦντάς με μισεῖς καὶ τοὺς φιλοῦντάς με φιλεῖς μὴ βοηθήσειν ταύτῃ. A. rec. ἐν ἀριθμῷ τάττεις, ἀξιοῖς λόγου. Gr. Fl. 6. 9. 17. 56. 59. 76. κῆδος: γάμβρευμα. B. ἡ συγγένεια, ἡ λύπη καὶ ἡ φροντίς. Gu. κῆδος ἡ συγγένεια καὶ ἡ λύπη. σημαίνει δὲ καὶ ἄλλα, ὅτε γράφεται διὰ τοῦ η. Fl. 21.

624. ἀμύνειν: μὴ λάβῃς εἰς τὸ ἀμύνειν θέλε, ὥς τινες, ἀλλ' ἔστι πρὸς τὸ σοὶ δ' ἐγὼ τάδε λέγω. Gu. I. φόνον: κατὰ τὸν φόνον τὸν ἐναντίον τοῖς θεοῖς· οἱ γὰρ θεοὶ μισοῦσιν αὐτὸν τοιαῦτα ποιήσαντα. Gu. Fl. 6. 21. φόνον: εἰς. Gr. ἐναντίον: ἐξεναντίου. Gu.

625. καταφονευθῆναι: περισσὴ ἡ κατά. Gr. Fl. 6. 9. 17. 56. 59. 76. πέτροις: διὰ πέτρων. ἡ εὐθεῖα ὁ πέτρος Ἀττικῶς. Gu. Florr. iidem.

626. ἤ: εἰ δὲ μή. Gu. ἢ μὴ ἐπίβαινε Σπαρτιάτιδος χθονός: ταύτην γὰρ αὐτῷ εἰς προῖκα ἔδωκεν ὁ Τυνδάρεως. B. Λακεδαίμονος πρῶτος ἦρξε Λέλεξ, ἀφ' οὗ καὶ Λέλεγες ὠνομάζοντο. ἔσχε δὲ παῖδας ἐκ Περιδίας Μύλην, Πολύκλωνα, Βωμολόχον, Θεράπνην. τούτων ὁ Μύλης ἐκ Τηλεδίκης ἴσχει Εὐρώταν καὶ Κηπεδίαν. Εὐρώτας δὲ ἄρξας μετὰ τὸν κατακλυσμὸν, λιμναζόμενον ἐργασάμενος καὶ ποταμὸν ποιήσας Εὐρώταν ὠνόμασεν. οὗτος ἐκ Κλήτας ἴσχει θυγατέρα

κῆδος ἐν φροντίδι—, C. ἐναριθμῇ ἐν φροντίδι—.

1. πρὸς αὐτὸν add. A.

12. κατὰ—θεοῖς om. Gu.

20. πρῶτος] πρῶτον M.

ib. ἀφ' οὗ—] Ad hanc genealogiam cf. Paus. 3, 1. a quo duo tantum Lelegis filii commemorantur Μύλης καὶ νεώτερος Πολυκάων. Quod deinde in scholio est λιμναζόμενον ἐργασάμενος—ὠνόμασεν, ita Paus. extulit: οὗτος τὸ ὕδωρ τὸ λιμνάζον ἐν τῷ πεδίῳ διώρυχι κατήγαγεν ἐπὶ θάλασσαν. ἀπορρυέντος δὲ (ἦν γὰρ δὴ τὸ λοιπὸν ποταμοῦ ῥεῦμα) ὠνόμασεν Εὐρώταν. MATTH.

21. Περιδίας, Μύλην] περι^δ (δ cum compendio quodam) μύλωνα A. Recta scriptura est Μύλητα, Πολυκάονα, ut ap. Pausan. 3, 1, 2. et 20, 2. Suspectum Περιδίας nomen (cui simile Περιδέας ap. Tzetz. ad Lycophr. 804. et Κηπεδίαν. Proxima in A. sic scripta, πολύκλωνα βωμο^ν θερα^πν. τούτων ὁ μύλων ἐκ τιλαια^χ ἴσχει εὐρώταν καὶ παιδιάν.

22. Κηπεδίαν] κηπαιδίαν M.

24. Κλήτας A.B. κλήτης I. κλήτ^ο M. Conf. Pausan. 3, 18, 6. 9, 35, 1.

Σπάρτην· ἣν ἀγαγόμενος Λακεδαίμων ὁ Ταϋγέτης ἄρξας τοὺς μὲν Λέλεγας Λακεδαιμονίους, τὸ δὲ ὄρος Ταΰγετον καὶ πόλιν κτίσας Σπάρτην ὠνόμασε. A.B.M.I.

627. ἴσθι; γίγνωσκε. δηλονότι ὅτι πάντα γενήσεται. Fl. 21. δυσσεβεῖς: τοὺς δυσσεβῶς λέγοντας. Gr. Fl. 6. 9. 17. 56. 59. 76. τὸν Ὀρέστην καὶ τὴν ἀδελφήν. Gu.

628. ἕλῃ: προκρίνῃ. Fl. 17. προκρίνεις. Gr. Fl. 6. 9. 21. 56. 76. προκρίνῃς. Fl. 59. παρώσας: παρωσάμενος. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. παρωσάμην ἀντὶ τοῦ παρέδραμον, ἀπωσάμενος. Gr. Florr. iidem et 34. ἀποπέμψας εἰς οὐδὲν λογισάμενος. Gu. εὐσεβεστέρους: τοὺς εὐσεβῶς λέγοντας. τὸ συγκριτικὸν ἀντὶ ἁπλοῦ. Gr. Cant.

629. πρόσπολοι: δοῦλοι. Gr. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59 76.

630. στεῖχ', ὡς ἀθορύβως: πορεύου, ὅπως ὁ προσελθών μοι λόγος, τοῦ γήρως τοῦ σοῦ ὑπείκοντος, ἀθορύβως πρὸς τὸν Μενέλαον γένηται. A.B.C.M.I. ἀπέρχου, ἵνα ὁ ἐπελθὼν ἡμῖν λόγος ἀφίκηται πρὸς τόνδε, τὸν Μενέλαον δηλονότι, ἀνενοχλήτως, ἀποφυγὼν τὸ σὸν γῆρας, ἤτοι τὴν σὴν ὀργὴν καὶ ἀγανάκτησιν. I.

631. γῆρας—τὸ σόν: ὃ αὐτὸς μὲν αἰδοῦμαι, τὸ δὲ (αὐτὸς δὲ Fl.) πρὸς τοὺς ἐμοὺς λόγους δυσχερῶς (χαλεπῶς Fl.) ἔχει, καὶ οὐκ ἀκούειν ἐθέλει. Gu. Fl. 6.

632. Μενέλαε, ποῖ σόν: ποῖ κυκλεῖς, ἤγουν στρέφεις, τὸν σὸν πόδα ἐπὶ συννοίᾳ, ὧν δηλονότι, ἤγουν ἐν φροντίδι καὶ σκέψει τῇ μετὰ σεαυτοῦ. Gr. I. διττὰς ὁδοὺς ἐρχόμενος διττῆς φροντίδος, τουτέστι διπλοῦν λογισμὸν φροντίδος ἔχων. Gr. I.

Μενέλαε, ποῖ: ὡς τῷ ποδὶ τὸ ἔδαφος περιγράφοντος αὐτοῦ καὶ

1. ἀγαγόμενος] ἀγόμενος A.M.
ib. ταΰγέτης A. ταΐτης ceteri. Conf. Apollod. 3, 10, 3. Pausan. 9, 35, 1.
2. καὶ πόλιν κτίσας A.M. καὶ τὴν πόλιν ἣν ἔκτισε B.I.
15. ὁ προσελθὼν] ὁ μέλλων, ὁ προσελθὼν I.
16. τοῦ γήρως (γήρ...C.) τοῦ σοῦ A. C.M. τοῦ σοῦ γήρως B.I.
ib. ἀθορύβως—γένηται] ἀθόρυβος—γενήσεται A.

23. τὸν σὸν πόδα e Gr. recepi, qui antea κυκλεῖς. In eo vv. διττὰς ὁδοὺς ἐρχ. κ. τ. λ. disjuncta ab his, aliud scholion constituunt, in quo deest in fine ἔχων. MATTH.
27. ὡς τῷ ποδὶ om. M.
ib. τὸ ἔδαφος] τοὔδαφος A., qui, ut C., pergit αὐτοῦ (αὐτοῦ om. C.) περιγράφοντος, ὅπερ ποιοῦσιν οἱ ἀμηχανοῦντες ἐν πράγμασιν. In reliquis, quae non habet C., ἔχοντος καὶ om. A.

διστακτικῶς ἔχοντος καὶ ἀναλογιζομένου εἰ δέοι ταῦτα μαθεῖν, ὅπερ ποιοῦσιν οἱ ἀμηχανοῦντες ἐν πράγματι. A.B.M.I.

633. διπλῆς—ὁδούς: βοηθῆσαι ἢ μή. Gu. διπτύχους ἤγουν διπλᾶς· οἱ γὰρ ἀμφιβάλλοντες ἀμφιρεπεῖς εἰσι, ζητοῦντες ὅπη ἂν τράπωνται. Gu. διγνώμονας. B.

634. συννοούμενος: συλλογιζόμενος. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. σκεπτόμενος. Gu.

635. ἀμηχανῶ: ποῦ τῆς τύχης τράπωμαι, τουτέστιν ἀπορῶ πότερόν σοι συνέλθω ἢ Τυνδάρεῳ. A.B.M.I. ποῦ τῆς τύχης τράπωμαι, τουτέστιν ἀπορῶ τίνι μᾶλλον βοηθήσαιμι, σοὶ ἢ Τυνδάρεῳ. ὁ μὲν γὰρ οὐκ ἐᾷ με σοὶ προσθέσθαι δεινὰ ἐπαπειλούμενος, σὺ δὲ ἀδελφιδοῦς ἐμὸς ὢν ἀναγκαίως δίκαιος εἴης τῆς παρ' ἐμοῦ τυχεῖν βοηθείας. Gu. I. ἀμηχανῶ εἰς ὁποίαν τύχην τράπωμαι. τύχην ἐνταῦθα λέγει προσδοκωμένην, τουτέστιν ἀμηχανῶ ποτέραν μερίδα τῶν προσδοκωμένων συμβήσεσθαι προτιμήσω. Gr. I.

636.—637. μή νυν πέραινε: μηδ' οὖν τὸ δοκοῦν σοι εἰς πέρας ἄγε, πρὶν ἀκούσῃς τοὺς ἐμοὺς λόγους· ἐπεὶ γὰρ ἐν ἐνδοιασμῷ ἦν ἀμηχανῶν διὰ τὴν τύχην ὅποι τράπηται, παραινεῖ αὐτῷ μήπω τῇ δοκήσει πέρας ἐπιτιθέναι πρὶν ἀκοῦσαι τοὺς αὐτοῦ λόγους, καὶ οὕτω βουλεύσασθαι. B.M.I.

πέραινε: πλήρου. Gr. Flor. 6. 9. 17. 21. 56. 59. 76. τὴν δόκησιν: τὴν δόξαν. Gr. Flor. 6. 9. 17. 25. 34. 56. 59. 75.

1. ἔχοντος καὶ om. A.M.
ib. μαθεῖν] ποιεῖν A.B.I.
ib. ὅπερ] ὅπερ καὶ M.
2. οἱ] ὡς M.
ib. πράγματι] πράγμασι A.B.I.
8. τουτέστιν ἀπορῶ om. A.
9. Τυνδάρεῳ] τοῦτο γὰρ δηλῶσαι ἠβούλετο addit I. ubi hoc scholion, praefixo ἄλλως, positum est infra post προτιμήσω.
ib. ποῦ τῆς τ. τ. om. Gu.
10. βοηθήσαιμι] βοηθήσω I.
11. προσθέσθαι Matth. pro προθέσθαι. προσέσθαι Gu.
ib. ἐμὸς ὢν] ὢν ἐμὸς I. In proximis ἄλλως ante ἀμηχανῶ in I.
13. λέγει π.] π. λέγειν (sic) I.
16. μηδ' οὖν] μὴ B.I.
17. ἀκούσῃς] ἀκούσεις B.M.
ib. ἐν ἐνδοιασμῷ (sic B.: ἐν δοιασμῷ I.) ἦν ἀμηχανῶν] ἐν ἑαυτῷ βουλευόμενος M., qui ἀμηχανεῖν (sic) addit post τὴν τύχην.
18. ὅποι] ὅπη B.M.
ib. παραινεῖ—βουλεύεσθαι] Haec pars scholii etiam in C., omisso τῇ. In A. est μὴ νῦν πέραινε τὴν δόκησιν. παραινεῖ—καὶ οὕτω βουλεύεται, ἐπεὶ τὸ ἐν ἑαυτῷ βουλευόμενος φησὶ διὰ τὴν τύχην ἀμηχανεῖν ὅπη τράπηται παραινεῖ αὐτῷ:—
19. ἐπιτιθέναι] ἐπιθεῖναι B.C.I.
20. βουλεύσασθαι] βουλεύσεσθαι I

τὸ σοὶ δόξαν, βούλημα. Gu. τὴν δόξαν, τὴν βούλησιν τὴν σήν. Fl. 21.

638. ἔστι δ' οὗ σιγή: οἷον, ἔστιν ὅπου ἡ σιγὴ κρείσσων τοῦ λόγου, καὶ ἔστιν ὅπου ὁ λόγος τῆς σιγῆς κρείσσων. A.B.I. ἔστι δ' οὗ: ἔστι γὰρ τόπος ὅπου. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. καιρὸς ἢ πρᾶγμά τι. Gu.

640. τὰ μακρά: ἐναντιοῦται τῇ Μενελάου βραχυλογίᾳ τὴν μακρολογίαν τῶν λόγων προκρίνων· οἱ γὰρ Λάκωνες βραχυλόγοι· καὶ Ὅμηρος "παῦρα μὲν, ἀλλὰ μάλα λιγέως." ὁ δὲ νοῦς, ἡ μακρὰ διήγησις καὶ τὸ διὰ πλειόνων ποιεῖσθαι τὴν ἀφήγησιν σαφέστερον παρίστησι τὸ πρᾶγμα τῶν συντόμων λόγων. ἀνάσχου οὖν τῆς ἐμῆς μακρολογίας, ἐπεὶ σαφεστέρα ἐστί. A.B.C.M.I. τὸ δὲ ἐπίπροσθεν ἀντὶ τοῦ προτιμότερά ἐστι τὰ μακρὰ διηγήματα τῶν συντόμων λόγων. ἔνιοι δὲ ἀθετοῦσι τοῦτον καὶ τὸν ἑξῆς στίχον· οὐκ ἔχουσι γὰρ τὸν Εὐριπίδειον χαρακτῆρα. καὶ πεποίηται ὁ νοῦς διὰ τὸν Μενέλαον· οἱ γὰρ Λάκωνες βραχυλόγοι. B.M.I.

τὰ μακρά: τὰ ἐπὶ πολὺ ἐκτεταμένα. Gr. τῶν σμικρῶν: ἀντὶ τοῦ τῶν βραχέων, ἤγουν τῶν ἐπ' ὀλίγον ἐκτεινομένων. Gr. Cant. ἐπίπροσθέν ἐστι: προτιμότερα. Gr. κρείττονα. Gu. σαφῆ: εὔγνωστα. Gu. σαφῆ μᾶλλον: ἀντὶ τοῦ σαφέστερα εἰς τὸ κλύειν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὰ μὲν γὰρ κατὰ λεπτὸν διασαφοῦσι τὴν ὑπόθεσιν, τὰ δ' ὡς οἷόν τε αὐτὴν εἰς ὀλίγον συνάγουσι καὶ διὰ τοῦτο ἀσάφειαν ἔχουσιν. Gu. I. Ἄλλως. τὰ ἐπὶ πολὺ ἐκτεταμένα τῶν λόγων προτιμότερά ἐστι τῶν σμικρῶν, ἀντὶ τοῦ, τῶν βραχέων, ἤγουν τῶν ἐπ' ὀλίγον ἐκτεταμένων. I.

τὰ μακρά: Λακεδαιμόνιος ὁ Μενέλαος, Λακεδαιμόνιοι δὲ οὐχ ἥκιστα τῇ συντομίᾳ χαίρουσι. προθεραπεύει τοίνυν τὸν ἀκροατὴν,

3. οἷον ἔστιν ὅπου] οἷον ἔστι καιρὸς ὅπου I.

4. τῆς σιγῆς κρείσσων] κρείσσων τῆς σιγῆς A.

7. τῇ—βραχυλογίᾳ] πρὸς τὴν—βραχυλογίαν A.

ib. μακρολογίαν] μακρηλογίαν A.

8. τῶν λόγων om. A.B.I.

ib. προκρίνων] προκρίνων ὀρέστης C.

ib. Ὅμηρος] Il. 3, 214.

9. μακρὰ] μικρὰ C.

ib. καὶ τὸ διὰ—ἀφήγησιν om. M.

11. ἀνάσχου—σαφεστέρα ἐστί infra post τῶν συντόμων λόγων habet M.

12. σαφεστέρα] σαφέστερον C.

13. ἔνιοι δὲ] δὲ om. M.

26. Λακεδαιμόνιος] ἐστὶν add. A.

27. προθεραπεύει A.M. προσθεραπεύει Fl.

ἵνα ἀναμείνῃ τὸ μῆκος τῶν λόγων ἀλύπως, ὅτι βραχυλογίαν ἀσκοῦσιν οἱ Λάκωνες. ἀνέχου οὖν, φησὶ, τῆς ἐμῆς μακρολογίας, ἐπεὶ τὰ μακρὰ καὶ σαφέστερα. A.M. Fl. 21. τὰ μεγάλα πράγματα πρόδηλα μᾶλλον καὶ σαφῆ ἀκοῦσαί εἰσι διὰ μικρῶν λόγων ἢ διὰ μακρῶν καὶ ἐκτεταμένων λόγων. 18 Abbat. Flor.

643. ἃ δ' ἔλαβες ἀπόδος: τούτου ῥηθέντος αἴρουσιν οἱ ὑποκριταὶ τὴν χεῖρα, ὡς τοῦ Μενελάου ἀγωνιῶντος μή ποτε λέγει ὅτι παρακαταθήκην ἀργυρίου παρὰ τοῦ πατρὸς πεπίστευται. εὐήθης δέ ἐστιν ὁ τοιαύτης ὑποψίας ἀντιλαμβανόμενος Μενελάου. εἰ γὰρ μήτε τὸν λέγοντα ᾔδει μήτε οὗ ἐστι χρεία, ἴσως ἂν εἶχέ τι πιθανὸν τὸ γινόμενον· ἐπεὶ δὲ ἐπίσταται, περιττὸν καὶ ἄπορον τὸ ὁρώμενον. A.B. C.M.I.

644. οὐ χρήματ' εἶπον: οὐ λέγω, φησὶ, χρήματα, χρυσὸν καὶ ἄργυρον, ἀλλὰ τῷ ὄντι χρήματα εἶπον τὴν ἐμαυτοῦ ψυχὴν, ἥτις ἐστί μοι χρῆμα τιμιώτατον. ἣν ἐὰν σώσῃς, καλὴν ἀμοιβήν μοι δίδως. A. B.M.I. Ἄλλως. οὐ χρυσὸν ὠνόμασα χρήματα, ἀλλὰ χρήματά φημι τὴν σωτηρίαν τῆς ἐμῆς ψυχῆς. M. ἀποδοῦναι ἐμοὶ χρυσὸν ἢ ἄργυρον. Gu. λέγω. Gr. Fl. 6.

645. σώσῃς: φυλάξῃς. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἅπερ μοι φίλτατ' ἐστί: Ἀττικὸν ἀντὶ τοῦ ὅπερ φίλτατόν ἐστιν ἐμοὶ τῶν ἐμῶν. Gr. I. δέον εἰπεῖν ἥπερ πρὸς τὸ ψυχήν, ἅπερ εἶπε πρὸς τὸ χρήματα. οὐδὲν γὰρ ἀνθρώπῳ τιμιώτερον ψυχῆς. Gu. I.

646. ἀδικῶ; λαβεῖν: ἀδικίαν ποιῶ ζητῶν ἀπὸ σοῦ σωτηρίαν, ἤγουν οὐκ εἰμὶ ἄξιος ὥστε ζῆν, πλὴν διὰ τὴν ἀδικίαν ἥντινα ὑπέδειξεν ὁ Ἀγαμέμνων εἰς τοὺς Ἕλληνας διὰ σὲ δεῖ σὲ ῥύειν ἐμὲ ἐκ τοῦ θανά-

1. μῆκος] μὴ ἐκ Fl.
ib. ὅτι—σαφέστερα om. A.
2. μακρολογίας] βραχυλογίας M.
6. αἴρουσι post οἱ ὑποκριταὶ C.
7. ὡς om. C.
8. ἀργυρίου] ἀργύριον C.
ib. παρὰ om. M.
ib. εὐήθης] εὐήθως M. εὐήθης—ὁρώμενον om. C.
9. Μενελάου] μενέλαος A.B.
10. ἂν εἶχε] γὰρ ἔχει A.M.
11. ἐπίσταται] ἐπείγει M.
ib. ὁρώμενον] γιγνόμενον I.
13. χρήματα om. A.
14. ὄντι] φησὶ add. A.
ib. τὴν ἐμαυτοῦ ψυχὴν] τὴν σωτηρίαν τῆς ἐμαυτοῦ ψυχῆς A.
15. μοι δίδως] καὶ τὸ τέλειον χρῆμα δίδως τῷ ἐμῷ. τούτου ῥηθέντος et reliqua quae ad v. 643. leguntur A.
21. δέον—] Gr. secutus sum. In editis inverso ordine legitur: δέον εἰπ. πρὸς τὴν ψ. tum Ἀττικὸν etc. MATTH.
25. ρύειν (sine spiritu) C.

του, κἂν ἀδικίαν ζητῶ. C. ὁμολογῶ ἀδικεῖν. δός τι καὶ σύ μοι ἄδικον καὶ ἀδίκησον δι' ἐμέ. Ἄλλως. ὁμολογῶ ἀδικῆσαι φονεύσας τὴν μητέρα, ἀλλ' ὅμως χρὴ καὶ σὲ ἀδικῆσαι δι' ἐμὲ, ὅτι καὶ ὁ πατήρ μου ἠδίκησε διὰ σέ. A. Ἄλλως. εἰ καὶ ἄδικον ἐποίησα φονεύσας τὴν μητέρα, ἀλλὰ σὺ ἐν τοιούτῳ μοι κακῷ ὄντι παραστῆναι ὀφείλεις, καὶ ὅση δύναμις ὑπὲρ ἐμοῦ ἀγωνίσασθαι· ἐν τούτῳ γὰρ μάλιστα δειχθήσῃ γνήσιος φίλος, ἐπὶ ὁμολογουμένοις κακοῖς μοι συνερχόμενος. εἰ γὰρ τὰ δίκαιά μου παντελῶς ἔρρωτο, τῆς παρ' ἑτέρων ἐπικουρίας οὐκ ἐδεόμην. ἐν ἤθει δὲ ἀναγνωστέον "ἀδικῶ;" καὶ δεῖ στίζειν. εἶτα ἀπ' ἄλλης ἀρχῆς "λαβεῖν χρή μ' ἀντὶ τοῦδε τοῦ κακοῦ," οἷον ἀντὶ τῆς περιεχούσης με δυστυχίας ἄδικόν τι αἰτῶ. "καὶ γὰρ Ἀγαμέμνων ἄναξ ἀδίκως" καὶ τὰ ἑξῆς. τὸ δὲ "ἀντὶ τοῦδε τοῦ κακοῦ" ἀντὶ τῆς περὶ τοῦ πατρὸς βοηθείας. καὶ οὐδὲ εἶπε καθ' ὑπόθεσιν ἀδικῶ, κατὰ συλλογισμόν φησιν, ἀλλὰ λέγει ὅτι ἀδικῶ εἰς ἄδικον ἐπικουρίαν σε περιβαλών. οὐκοῦν καὶ σὺ ἀδίκησον δι' ἐμὲ, ὡς καὶ ὁ πατήρ μου διὰ σὲ ἠδίκησε τοὺς βαρβάρους. δεῖ γάρ με ἀντὶ τῆς ἀδικίας ἐκείνης ἄδικόν τι λαβεῖν παρὰ σοῦ, ὅ ἐστιν, εἰ κρίνεις κακὸν εἶναι τὴν ἐμὴν ἐπικουρίαν, δικαίως ἂν καὶ τὴν ἐπικουρίαν τοῦ ἐμοῦ πατρὸς κακὸν ὀνομάσειας. ἀλλ' οὐκ ἠδίκησεν ὁ πατὴρ ἐν καιρῷ σοι βοηθήσας. οὐκοῦν οὐδὲ σὺ ἀδικήσεις. A.B.I.

ἀδικῶ: ἄδικον ζητῶ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀδίκως αἰτῶ, μητροκτόνος γενόμενος. Gu. ἀντὶ τοῦδε τοῦ κακοῦ: ἀντὶ τοῦ ὑπὲρ τοῦδε τοῦ κακοῦ, ἤγουν ἕνεκα τῆσδε τῆς δυστυχίας. Gr. ἀδικίας, τῆς μητροκτονίας. Gu.

1. ὁμολογῶ] οἷον ὁμολογῶ B. qui haec tantum verba habet οἷον ὁμολογῶ ἀδικεῖν. δός τι καὶ σύ μοι ἄδικον δι' ἐμέ.

2. Ἄλλως addidi ex A.

4. ἐποίησα] ἐστὶ A.

5. παραστῆναι] παραστῆναί μοι I.

9. δὲ et καὶ δεῖ om. A.

ib. εἶτα ἀπ' (ἀπὸ B.I.)] εἶτα om. A. in lacuna.

10. χρή μ' ἀντὶ τοῦδε τοῦ] χρῆμα τοῦ A.

11. ἄδικόν τι] Quae sequuntur om. A. in lacuna ampliore, post quam pergit πτέον τὸ ἐκπονεῖν, ἵν' ᾖ τὸ ἑξῆς et reliqua quae v. ad v. 652.

14. λέγει] λέγεις M. in quo major pars totius scholii vix legi potest.

15. δι' ἐμὲ] περὶ ἐμοῦ I.

16. τοὺς βαρβάρους] τοὺς om. M.

17. ἐκείνης] καὶ τοῦ κακοῦ ἐκείνου add. M.

22. ἀντὶ τοῦδε—] In editis est ἀντὶ τοῦδε τοῦ κακοῦ, ἤγουν ἕνεκα ταύτης τῆς δυστ. βοήθησόν μοι κινδυνεύοντι. ἄδικον δὲ εἶπεν κ. τ. λ. Priora ἀντὶ τοῦ — δυστυχίας, ἤγουν ἀδικίας sunt etiam in Flor. 6. 9. 17. 21. 56. 59. 76. postrema ἄδικον—ποιοῦσι in Fl. 6. MATTH.

647. ἄδικόν τι: τὸ βοηθῆσαί μοι κινδυνεύοντι. Gu. ἄδικον δὲ εἶπεν, ἐπειδὴ οἱ τοῖς ἀδικοῦσι βοηθοῦντες ἄδικόν τι ποιοῦσιν. I.

648. Ἑλλάδ᾽: τοὺς τὴν Ἑλλάδα οἰκοῦντας. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

649. ἐξαμαρτών: ἀδικηθείς. Gu. ἁμαρτίαν: ἁρπαγήν. Gu.

650. ἀδικίαν: καθὸ ἠδικήθης παρὰ Ἀλεξάνδρου. B.I. ἀδικίαν: ἣν αὐτὴ ἠδίκησεν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὴν τοῦ Ἀλεξάνδρου. Gu. ἰώμενος: ἰασόμενος. Gr. θεραπεύων. Gu.

651. ἀνθ᾽ ἑνός: οὗπερ δέδωκέ σοι ὁ πατήρ. Fl. 6. οὗ ἔλαβες. Fl. 33.

652. ἀπέδοτο δ᾽ ὡς χρή: τὸ ἑξῆς, ἀπέδοτο τὸ σῶμα, ὅ ἐστιν ἔκδοτον ἑαυτὸν τοῖς πολεμίοις παρέσχεν, ὡς πρέπει τοῖς γνησίοις φίλοις, καὶ κατατρωθῆναι πᾶν τὸ σῶμα ὅσον ἐφ᾽ ἑαυτὸν διὰ τὴν σὴν γυναῖκα, οἷα χρὴ τοῖς φίλοις τοὺς φίλους. ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ ἐκπονεῖν, ἵν᾽ ᾖ τὸ ἑξῆς, ὡς χρὴ τοὺς ἀληθεῖς φίλους ἐκπονεῖν τοῖς φίλοις ἀπέδοτο τὸ σῶμά σοι παρ᾽ ἀσπίδα ἐκπονῶν αὐτὸ τοῦτο. B. M.I.

Ἄλλως. ἀπέδωκε τὸ σῶμα ἕνεκα σοῦ, ἐκπονῶν παρὰ τὸν πόλεμον ἀληθῶς, ὡς χρὴ τοὺς φίλους ἐκπονεῖν δηλονότι ἕνεκα τῶν φίλων. Gr. I. ἀπέδοτο: ἀντὶ τοῦ ἐπώλησεν ὡς ἐπὶ τὸ πλεῖστον, καὶ ἀπέδοτο ἀντὶ τοῦ ἀπέδωκε, ὅτε μὴ περιττὴ ἡ πρόθεσις. Fl. 6.

653. ἐκπονῶν: κακοπαθῶν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

654. ξυνάορον: σύζυγον. Gr. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76. γυναῖκα. Gu. Fl. 34.

655. ἀπότισον οὖν μοι: ὁ πᾶς λόγος, ἀπόδος μοι τὴν ἴσην χάριν ἧς ἔλαβες ἐν Ἰλίῳ παρὰ τοῦ πατρὸς, καὶ μόνην ἡμέραν ὑπὲρ

11. τὸ ἑξῆς—ἑαυτὸν] ἀντὶ τοῦ ἔκδοτον τὸ σῶμα I. In A. post lacunam, de qua diximus ad v. 646. pergitur πτέον τὸ ἐκπονεῖν ἵν᾽ ᾖ τὸ ἑξῆς ὡς χρὴ τοὺς ἀληθεῖς φίλους ἐκπονεῖν τοῖς φίλοις. ἀπέδοτο τὸ σῶμα . . . . τὸ τοῦτο. λείπει ἡ κατά, ἵν᾽ ᾖ κατ᾽ αὐτὸ τοῦτο δεῖ τοὺς φίλους βοηθεῖν τοῖς φίλοις, ὅ ἐστιν τὸ ᾱ ἀπότισον οὖν δυνατόν:—In C. ἀπέδοτο δὲ τὸ σῶμα ὅ ἐστιν ἔκδοτον ἑαυτὸν τοῖς πολεμίοις παρέσχε ὡς πρέπει τοὺς γνησίους φίλους:—

13. καὶ κατατρωθῆναι πᾶν τὸ σῶμα (τὸ πᾶν σῶμα τὸ M.)] καὶ κατετρώθη I., omissis reliquis.

ib. ἑαυτὸν] ἑαυτὸ M. ἑαυτὸ εἵλετο B.

14. φίλους—ἐκπονεῖν] φίλους ἐκπονεῖν· τοῦτο γὰρ ἀπὸ κοινοῦ ληπτέον B.I. Sequentia ἵν᾽ ᾖ—αὐτὸ τοῦτο solus habet M.

18. ἀπέδωκε] δὲ add. Gr., omisso ἄλλως.

26. ἧς] ἣν A.

ἐμοῦ πόνησον, μηδὲ τὴν θυγατέρα φονεύσῃς, ἐπειδὴ δεῖ σὲ, ὥσπερ πλεονεκτεῖς μου τῆς εὐδαιμονίας, πλεονεκτεῖν καὶ ἐν τῇ ἀμοιβῇ τῆς εὐεργεσίας. A.B.M.I.

657. σωτήριος: ἀντὶ τοῦ σωτήρ. Gr. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76. μὴ δέκ᾽: οὐ δέκα ἔτη ἀνύσας. Gr. πληρώσας, ὥσπερ ἐμὸς πατήρ. Gu. Florr. iidem.

658. ἃ δ᾽ Αὐλίς: τὴν σφαγὴν τῆς ἐμῆς ἀδελφῆς, ἣν ἔλαβεν ἡ Αὐλὶς, ἐῶ σ᾽ ἔχειν ταύτην. Gr. I. ἃ δ᾽ Αὐλίς: ἐν Αὐλίδι, πόλει τῆς Βοιωτίας, θηρεύων Ἀγαμέμνων ἔβαλε τόξοις ἔλαφον καιρίαν πληγήν. καυχησάμενος δὲ ἐν τῇ ἐπιτυχίᾳ, καὶ εἰπὼν ὡς οὐδ᾽ ἂν αὐτὴ ἡ Ἄρτεμις οὕτως ἔβαλεν, ἐπειράθη τῆς θεοῦ ὀργιζομένης καὶ κατεχούσης τοὺς ἀνέμους, ὡς μὴ δύνασθαι αὐτοὺς εἰς Ἴλιον στέλλεσθαι. πέμψας οὖν Ἀγαμέμνων εἰς Δελφοὺς, καὶ μαθὼν παρὰ τοῦ χρησμοῦ ὡς, εἰ βούλοιτο ἐξιλάσκεσθαι Ἄρτεμιν, θυσάτω αὐτῇ τὴν αὐτοῦ θυγατέρα, μεταπέμπεται οἴκοθεν τὴν θυγατέρα Ἰφιγένειαν, τὴν καὶ Ἰφιάνασσαν καλουμένην, πλασάμενος πρὸς τὴν γυναῖκα Κλυταιμνήστραν ὡς Ἀχιλλεῖ ταύτην συνάψειεν. ἐπεὶ δὲ θύειν αὐτὴν ἤρχετο, ἁρπάσασα αὐτὴν ἡ θεὸς, καὶ ἀντ᾽ αὐτῆς ἔλαφον εἰς θυσίαν δοῦσα, ἀπάγει τὴν κόρην ἐν τοῖς Ὑπερβορέοις πρὸς τὸν ἐκεῖ αὐτῆς νεών· ἥτις ἀμυνομένη τοὺς Ἕλληνας, διότι θῦσαι αὐτὴν ἠβουλήθησαν,

1. πόνησον] πολέμησον A.M.
ib. φονεύσῃς] φονεύσας A.B.M.
ib. δεῖ σε ὥσπερ om. M. δεῖ om. A.
2. μου (με A.) εὐδαιμονίας] μοι τὴν εὐδαιμονίαν M.
3. εὐεργεσίας] ἐργασίας A.M.
7. τὴν σφαγὴν] δὲ add. Gr.
9. ἔβαλε] ἔβαλλε I.
10. ἐν τῇ] ἐπὶ τῇ I.
12. μὴ] οὐδ᾽ ἂν Gu.
14. ἐξιλάσκεσθαι] ἐξιλεώσασθαι Cant. I.
ib. αὐτῇ om. I.
15. Verba μεταπέμπεται—θυγατέρα, quae deerant in I. King. e Cant., ego e Gu. addidi, omisso οὖν, quod Cant. post μεταπέμπ. habebat. MATTH.
19. τοῖς Ὑ.] τοῖς om. Gu.
ib. ἐκεῖ] ἐκεῖσε I.
19. τοῖς om. Gu.
20. ἥτις ἀμ. τοὺς Ἑλλ. e Cant. et Gu. accesserunt. In fine scholii κεκλοφότος omittit Cant. Simile scholion est in Flor. 59. Ἱστορία. Αὐλὶς, τόπος ἐν Βοιωτίᾳ, ἔνθα ὁ Ἀγαμέμνων ἀπόπλους ἐγένετο, ὅτε κατὰ τῆς Τροίας ἐστράτευσεν. ἐν αὐτῇ οὖν τῇ ῥηθείσῃ Αὐλίδι τῆς Βοιωτίας τοξεύων ὁ Ἀγαμέμνων ἐλάφους ἐκαυχήσατο, ὡς οὐδὲ ἡ Ἄρτεμις οὕτως· τοξικὴ γὰρ ἡ θεὸς καὶ τοξικῆς ἔφορος. καθὸ καὶ ἡ θεὸς ὀργισθεῖσα τῆς αὐτῶν ὁδοῦ ἄγνοιαν ἐποιήσατο· διὸ καὶ ἐν πολλῇ φροντίδι ὁ Ἀγαμέμνων ἦν. φωνήσας οὖν τοὺς μάντεις, ἠρώτα τούτους πόθεν ἡ ἄγνοια. οἱ δὲ ἐκ τῆς καυχήσεως ἀπεφήναντο τὴν ὀργὴν τῆς θεοῦ, καὶ οὐκ ἄλλως λυθῆναι ταύτην, εἰ μὴ τὴν ἑαυτοῦ θυγατέρα Ἰφιγένειαν θύσει. ὁ δὲ λαβὼν αὐτὴν θύειν ὥρμησεν. ἡ δὲ θεὸς ἐλεήσασα αὐτὴν μὲν ἥρπασεν,

ὁπότε θεάσαιτό τινα αὐτῶν ἐκεῖσε ἰόντα, ἀπέκτεινεν. ὕστερον δὲ ὑπὸ τοῦ Ὀρέστου κεκλοφότος ἐπανῆκεν εἰς Ἄργος. Gu. I.

ἃ δ' Αὐλὶς ἔλαβε: Αὐλὶς πόλις Βοιωτίας. ἐνταῦθα ἐπεσχέθησαν οἱ στρατευσάμενοι εἰς Ἴλιον Ἕλληνες, οὐ πνέοντος οὐρίου ἀνέμου διὰ τὰς καυχήσεις Ἀγαμέμνονος τοξεύσαντος τὴν ἔλαφον, καὶ εἰπόντος μηδ' ἂν τὴν Ἄρτεμιν οὕτω βαλεῖν. νῦν δὲ περὶ Ἰφιγενείας λέγει, ἣν ἔχρησεν ὁ θεὸς, ἀπλοίας ἐπεχούσης τοὺς Ἕλληνας, Ἀρτέμιδι θῦσαι. A.B.C.M.I. σφάγια τὰ σφαζόμενα, καὶ ἡ σφαγὴ, ὡς ἐνταῦθα. Gr. I.

659. Ἑρμιόνην: οὐκ αἰτῶ σε, φησὶ, τὴν σὴν θυγατέρα τὴν Ἑρμιόνην ἀντ' ἐμοῦ δοῦναι πρὸς σφαγὴν, ὥσπερ ὁ ἐμὸς πατὴρ τὴν Ἰφιγένειαν, ἵνα σὺ τὴν γαμετὴν ἀπολάβῃς. ἀλλὰ σὺ τοῦτο μὲν ἔχε πλέον, καὶ κέρδαινε παρὰ τοῦ δαίμονος, ἐπεὶ σοὶ μὲν εὐτυχίας, ἐμοὶ δὲ δυστυχίας καιρός. ἐγὼ δέ σοι χάριν ἕξω σώσαντί με μόνον, κἂν μὴ τῷ αὐτῷ τρόπῳ σώζῃς ἡμᾶς, ἀντ' ἐμοῦ δοὺς τὴν Ἑρμιόνην. ἢ

ἀντ' αὐτῆς δὲ παρέσχεν ἔλαφον, αὐτὴν δὲ περὶ τοὺς ἐν Ταύρῳ Σκύθας ἀπήγαγεν, ἔνθα αὐτὴ τοπλέον ἐτιμᾶτο, οἳ καὶ ἱέρειαν κατέστησαν, ἵνα ξενοκτονεῖν διδαχθῇ καὶ ἀνθρώπους θύειν ἐκεῖσε. μέμνηται δὲ καὶ ταύτης τῆς ἱστορίας ὁ θεῖος Γρηγόριος ἐν τῷ ἐπιταφίῳ ὀνειδίζων τὴν θεὸν, καὶ φησὶν οὕτως· τί γὰρ ὄφελος τῆς ἀντιδόσεως, εἰ σώζει παρθένον, ἵνα ξενοκτονεῖν διδαχθῇ ἀπανθρωπίαν μαθοῦσα φιλανθρωπίας ἀντίδοσιν; Et cod. 21. περὶ Ἰφιγενείας λέγει, ἣν κατέκτεινεν ὁ αὐτῆς πατὴρ, ἤγουν Ἀγαμέμνων, ὅτε εἰς Τροίαν ἔπλει κωλυόμενος ἐν τῇ Αὐλίδι νήσῳ παρὰ τοῦ Φοίβου ἐκεῖθεν ἐξελθεῖν, εἰ μὴ σφάξεις τὴν Ἰφιγένειαν. τοῦτο δ' ἐγένετο διὰ τὸ τοξεῦσαι αὐτόν τινα ἔλαφον καὶ καυχήσασθαι μηδὲ τὴν Ἄρτεμιν οὕτως βάλλειν. MATTH.

2. τοῦ Ὀρέστου] τοῦ om. I.

3. Αὐλὶς πόλις—Ἀρτέμιδι θῦσαι] περὶ ἰφιγενείας ἔλεγεν, ἣν—θῦσαι. αὐλὶς δὲ πόλις βοιωτίας. ἐνταῦθα ἐπεσχέθησαν ἐπιστρατευόμενοι εἰς ἴλιον οὐ πνέοντος οὐρίου διὰ τὰς καυχήσεις ἀγαμέμνονος. τοξεύσαντος γὰρ καὶ εἰπόντος μηδὲ τὴν ἄρτεμιν οὕτως βάλλειν :— M. Similiter in A. ἃ δ' αὐλὶς ἔλαβε. περὶ ἰφιγενείας ἔλεγεν, ἣν—θύσαι. αὐλὶς δὲ πόλις—εἰς ἴλιον. τοξεύσαντος γὰρ ἔλαφον καὶ εἰπόντος οὐδέ τινα οὕτω βαλεῖν οὔριος οὐκ ἔπνευσεν:—In C. (post scholion v. 661.) ἃ δ' αὐλὶς ἔλαβε. πόλις βοιωτίας—ἀρτέμιδι θῦσαι. ἡ γὰρ ἰφιγένεια ἦν παῖς τοῦ ἀγαμέμνονος.

6. νῦν δὲ] νῦν οὖν B.C.

10. τὴν σὴν] σὴν om. M., post θυγατέρα τὴν collocat A.

11. ὥσπερ] ὥσπερ καὶ A.

12. ἵνα σὺ] σὺ om. M. Proxima τὴν γαμετὴν—μὲν ἔχε om. A.

ib. τοῦτο μὲν ἔχε] μὲν ἔχε τοῦτο B.I.

13. κέρδαινε] κέρδαναι M. κερδάναι A.

ib. σοὶ μὲν] σὺ μὲν M.

14. καιρός om. A. in lacuna.

ib. σώσαντί με] με om. A.M.

15. τῷ αὐτῷ τρόπῳ] τὸν αὐτὸν τρόπον B.I. In A. est τῷ αὐτῷ ταῦτ' σώζεις etc.

ib. δοὺς] οὐ M.

ib. ἢ] ὡς A.

συναπτέον τοῦτο πρὸς τὸ ἀπότισον οὖν μοι, καὶ ἔστιν ὁ λόγος οὕτως· ἀπόδος τὴν ἴσην χάριν ἧς ἔλαβες ἐν Ἰλίῳ παρὰ τοῦ πατρὸς, καὶ μίαν ἡμέραν μόνον ὑπὲρ ἐμοῦ πόνησον· προσήκει γάρ σοι, ἐμοῦ δυστυχοῦντος τὰ νῦν, μηχανᾶσθαί τι πρὸς τὸ ἐμὲ σῶσαι, ἐμὲ δὲ χάριν σοι ὁμολογεῖν· ἵνα τὸ μεταξὺ κατ' ἐπένθεσιν γένηται. A.B.M.I.

660. πράσσοντος ὡς πράσσω: δυστυχοῦντος. B.

661. πλέον φέρεσθαι: τουτέστι πλέον ἢ ἐγὼ δύνασαι. ὁ γὰρ εὖ πράσσων τοῦ μὴ πράσσοντος πλέον δύναται λογίζεσθαι τὰ πρὸς σωτηρίαν. A.B.M.I. ἀντὶ τοῦ χάριν ἔχειν καὶ ὁμολογεῖν περὶ τὸ συγγνώμην ἔχειν τῇ γνώμῃ τοῦ εὐεργετοῦντος καὶ συνανέχεσθαι τούτῳ, ἀντὶ τοῦ δεῖ σε, φησὶν, ἐμοῦ δυστυχοῦντος τοῦ πλείονος μετέχειν τὴν δυστυχίαν κἀμὲ ἐφ' οἷς σοι μεταδίδωμι τῆς συμφορᾶς συγγνώμην ἔχειν, ἀντὶ τοῦ χάριν παρὰ τὸ ὁμοῦ συντρέχειν τῇ γνώμῃ τοῦ εὐεργέτου. A.M. Ἄλλως. πλέον τι, φησὶν, ἢ ἔλαβες χάριτος ἀγωνίζεσθαι. A. Ἄλλως. τινὲς οὕτω, δεῖ γάρ σε πλέον φέρεσθαι καὶ λογίζεσθαι εἰς σωτηρίαν εὖ πράσσοντος ἐμοῦ ἢ κακῶς πράσσοντος. οἱ γὰρ εὐδαιμονοῦντες πλέον δύνανται βουλεύεσθαι τῶν κακῶς πρασσόντων. A.C. χάριν σοι, φησὶν, ὁμολογήσω σωζόμενος μόνον παρὰ σοῦ, κἂν μὴ τῷ ὁμοίῳ τρόπῳ σώζῃς ἐμέ. B.M. Fl. 21. εἰς σωτηρίαν· οἱ γὰρ εὐδαιμονοῦντες πλέον δύνανται δουλεύεσθαι. Fl. 10. φέρειν, ἔχειν. Gr. Fl. 6. 9. 17. 34. 56. 59. 76.

662. ψυχὴν δ' ἐμὴν δός: μὴ εἰς Ἅιδου, ἀλλ' εἰς σωτηρίαν· πατρὶ οὖν ἀντὶ τοῦ διὰ τὸν πατέρα. B.M. ἤγουν διὰ τὸν πατέρα μου σῶσον τὴν ἐμὴν ζωήν. Gu. ὑπὲρ ἐκείνου πάσχοντας ἡμᾶς σῶσον. Fl. 6. ἤγουν ὠφέλειαν τοῦ ταλαιπώρου ἕνεκεν τῶν τοσούτων κακῶν πατρός. Fl. 21.

1. ἀπότισον] ἀπόστησον M.
ib. οὖν addidi ex A.
ib. οὕτως] οὗτος I.
2. ἧς] ἣν A.
3. ὑπὲρ ἐμοῦ πόνησον] πόνησον ὑπὲρ ἐμοῦ A.
ib. σοι] σε I.
4. χάριν σοι] σε χάριν A.M.
7. τουτέστι—] Haec cum scholio praecedente cohaerent in B.M.I. omisso lemmate. Disjunxit Kingius. In A. est τὸ οὖν πλέον κατὰ σύγκρισιν τῶν...... ἑαυτὸν εἴρηκε, τουτέστι—σωτηρίαν.
8. λογίζεσθαι] λογίσασθαι I.
9. ἀντὶ τοῦ] οὕτω τὴν A.
ib. περὶ τὸ σ.] π σ. A.
10. ἀντὶ τοῦ—ἐμοῦ] δεῖ γάρ σε φησὶ ἐμοῦ A.
13. παρὰ—εὐεργέτου om. A.
15. Ἄλλως om. C.
16. ἢ om. A.C.
17. δύνανται] δύνασθαι C.
ib. πρασσόντων] πραττόντων C.

ψυχὴν δ' ἐμὴν δός: χάρισαι τὴν ἐμὴν ψυχὴν τῷ ἀθλίῳ μου πατρί. βούλεται γάρ με πάντως ἐκεῖνος σώζεσθαι. A.

664. οἶκον: τὸ γένος. Fl. 21. ὀρφανόν: ἔρημον. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. οὐ γὰρ Ἀγαμέμνονος ἔτ' ἂν καλοῖτο, ἀλλὰ τοῦ λαχόντος. Gu.

665. ἐρεῖς ἀδύνατον: λύσις τοῦ ἀντιπίπτοντος. ἀλλ' εἴποις, φησὶν, ὅτι ἀδύνατον βοηθῆσαι, εἶτα ἔξωθεν προσληπτέον, καθὸ μέγα ἐστὶ καὶ ἀσύγγνωστον τὸ ἁμάρτημα, ὅπερ ἀπεσιώπησεν Ὀρέστης. ἀλλὰ κατὰ τοῦτο, φησὶ, καθὸ ἀδύνατον εἶναι δοκεῖ, βοήθησον· ὁ γὰρ γνήσιος φίλος ἐν τοῖς μεγίστοις κακοῖς δείκνυται. A.B.I. Ἄλλως. ἀλλὰ λέγεις, φησὶν, ὅτι ἀδύνατόν ἐστι τὸ βοηθῆσαί μοι· ἐγὼ δέ σοι ἀντείποιμι ἂν ὡς μάλιστά μοι διὰ τοῦτο ὀφείλεις συμβαλέσθαι, εἰδὼς ὅτι ἐν τοῖς ἀδυνάτοις δεῖ τῶν φίλων. A.B.C.M.I. βοηθῆσαί μοι διὰ τὴν τοῦ ἁμαρτήματος ὑπερβολήν. ἀλλὰ διὰ τὸ ἀδύνατον εἶναι, διὰ τοῦτο ἀξιῶ· εἰ γὰρ ἦν δυνατὸν, οὐκ ἂν ἠξίωσά σε· ὁ γὰρ γνήσιος φίλος ἐν τοῖς μεγίστοις κακοῖς δείκνυται. Gu. αὐτὸ τοῦτο: λύεται τῇ κατά· αὕτη γὰρ λείπει, ἵν' ᾖ κατ' αὐτὸ τοῦτο. B.M.I. δεῖ τοὺς φίλους βοηθεῖν τοῖς φίλοις, ὅ ἐστι τὸ ἀδύνατον. B.M.I. ἔστω δηλονότι. Gu. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

666. ἐν τοῖς κακοῖς: ἤγουν ἐν ταῖς δυστυχίαις. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὠφελεῖν: ἤγουν βοηθεῖν. Gu. Fl. 6. 9. 17. 21. 33. 34. 56. 59. 76.

667. ὁ δαίμων: ἡ τύχη. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὁ θεός. Gu. τί χρὴ φίλων: κατὰ τί ἐστι χρεία τῶν φίλων; ἀντὶ τοῦ κατ' οὐδέν ἐστι χρεία τῶν φίλων. Gr. I.

6. λύσις τοῦ ἀντιπίπτοντος] Haec B. a m. recenti habet superscripta iis quae manus antiquior, etsi non prima, scripserat. In A.C. est ἐρεῖς ἀδύνατον: ἀλλὰ λέγεις, φησὶν, ὅτι ἀδύνατόν ἐστι τὸ βοηθῆσαι μοι (σοι C.), ἐγὼ δέ σοι (σοι om. C.) ἀντείποιμι ἂν ὡς μάλιστα μοι (με A.) διὰ τοῦτο ὀφείλεις συμβάλλεσθαι εἰδὼς ὅτι ἐν τοῖς ἀδυνάτοις δεῖ τῶν φίλων (τοὺς φίλους A.) Tum A. pergit, ἄλλως. ἐρεῖς, φησὶν, ὅτι ἀδύνατόν ἐστι βοηθῆσαι, εἶτα—ὅπερ ἀπεσκόπησεν ὀρέστης, ἀλλὰτ οὕτο, φησὶ, καθὰ δυνατὸν... (lacuna) φησὶ βοήθησον· ὁ γὰρ—δείκνυται:—, in C. vero, ἄλλως. λύεται τῇ κατά, ἵνα ᾖ κατὰ τὸ αὐτὸ τοῦτο δεῖ τοὺς φίλους βοηθεῖν τοῖς φίλοις, ὅ ἐστι κατὰ τὸ ἀδύνατον.

ib. εἴποις] εἴπῃς B.

12. ὀφείλεις συμβαλέσθαι] συμβαλέσθαι ὀφείλεις B. συμβάλλεσθαι ὀφείλεις I.

17. λύεται—γὰρ] Sic B. Nihil praeter λείπει ἡ κατά M.I.

18. κατ' αὐτὸ τοῦτο] κατὰ τοῦτο τοῦτο M.

ib. δεῖ τοὺς—τοῖς φίλοις om. I.

24. κατ' om. I.

669. *φιλεῖν δάμαρτα*: ἀγαπᾶν τὴν γυναῖκα ὑπὸ πάντων τῶν Ἑλλήνων νομίζῃ. καὶ οὐ λέγω τοῦτο ἀπατῶν σε τῇ κολακείᾳ, ἤγουν κολακεύων σε, οὐ κολακείᾳ, ἀλλ' ἀληθείᾳ λέγω. λείπει δὲ τὸ πρὸς ταύτης σε ὁρκῶ. τὸ δὲ ὦ μέλεος, ἠρέμα πρὸς ἑαυτὸν λέγει, ὦ ἄθλιος, εἰς οἷον κακὸν δηλονότι ἥκω. I.

670. *θωπείᾳ λέγω*: οὐ κολακείᾳ, ἀλλ' ἀληθείᾳ. M.

671. *ταύτης ἱκνοῦμαι*: ἀντὶ τοῦ πρὸς ταύτης σε ἱκετεύω. M. ἀντὶ τοῦ πρὸς ταύτης ὁρκῶ βοηθῆσαί μοι. ἢ δέομαί σου πρὸς ταύτης ὅπως ἄν μοι βοηθήσειας εἰς τιμὴν αὐτῆς. τὸ δὲ ἑξῆς ἠρέμα καθ' ἑαυτὸν λέγει, οἰκτείρων ἑαυτὸν ὅτι μέχρι τοσούτου προῆλθεν αὐτῷ τὰ τῆς δυστυχίας, ὡς διὰ τοῦ μεμνῆσθαι τῆς Ἑλένης προσδοκᾶν βοηθείας τυχεῖν. ἀνάξιον γὰρ ἑαυτοῦ ἡγεῖται τὸ καὶ μόνον μεμνῆσθαι τοιαύτης γυναικὸς, μή τί γε καὶ δοκεῖν σώζεσθαι δι' αὐτῆς. B.M.I. δυστυχὴς οὖν, φησὶν, ἐγὼ εἰς τοιοῦτον κακὸν ἐλθών. διὰ γὰρ γυναικὸς τῆς πᾶσιν Ἕλλησι κακῆς σωθήσεσθαι προσδοκῶ. B.I.

672. *εἰς οἷον ἥκω*: κακόν. Gr. εἰς οἷον κακὸν ἥκω τὸ εἰς ἱκεσίαν προβάλλεσθαι τὴν Ἑλένην. ὡς δεῖσθαι καὶ μὴ εἰσακούεσθαι. Gu.

τί δὲ ταλαιπωρεῖν με δεῖ: ἀλλὰ τί, φησὶ, μωραίνω τὸ περὶ ταύτης, σωθήσεσθαι παραιτούμενος; ἀνάγκη γάρ ἐστι καὶ πρὸς τοῦτο καταβαίνειν οἰκτρότητος, καὶ πάντα ὑπομένειν, κἂν αἰσχύνην μοι φέρῃ. οὐ γὰρ ἐγὼ μόνος, ἀλλὰ καὶ πᾶς ὁ οἶκος ὁ ἐμὸς κινδυνεύει. B.M.I. ἔστι δὲ καὶ ἑτέρα ἐκδοχὴ τούτου, συναπτομένου τοῦ "ταύτης ἱκνοῦμαι" πρὸς τὸ "ὑπὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε," εἴτε ὡς τοῦ Μενελάου ἀπεστραμμένου τὴν ἱκεσίαν αὐτὸς δυσφορῶν λέγει, δυστυχὴς ἐγὼ, εἰς ἄπορον ἥκω κακῶν καὶ οὐκ ἔχω

4. λέγει] Flor. 6. addit: ἀναγκασθεὶς προβάλλειν γυναῖκα, ἧς καὶ μόνον τῇ μνήμῃ σχεδὸν ἀπηνθάνετο. (sic.) MATTH. Sola verba ἠρέμα πρὸς ἑαυτόν habet B. τοῦτο πρὸς ἑαυτὸν ἠρέμα M.

10. ἑαυτὸν] αὐτὸν I. ὅτι om. M.

11. δυστυχίας] ἡσυχίας M.

12. ἀνάξιον—δι' αὐτῆς] Haec pars scholii legitur etiam in A. sic scripta, ὦ μέλεος ἐμῶν κακῶν. ἀνάξιον ἑαυτὸν ἡγεῖται—μήτι γε καὶ εἰς σωτηρίαν αὐτὴν προβάλλεσθαι:—Scholia versuum 671—687. leguntur in A. folio 43ª, cujus paginae scholia a manu recentiore scripta sunt.

ib. ἑαυτοῦ ἡγεῖται τὸ] αὐτὸν ἡγεῖτο M.

14. τοιοῦτ' κακ' (i. e. τοιοῦτον κακὸν) B. τοιοῦτο τῶν κακῶν I.

22. μοι φέρῃ om. M.

ib. ὁ οἶκος] ὁ om. M.

23. τούτου] τοῦτο I.

26. οὐκ ἔχω] οὐκ ἔχων B.

οὐδεμίαν καταφυγήν. ὁ πάλιν διαλαβὼν θαρσύνει ἑαυτὸν καὶ φησὶ, τί δεδοίκαμεν τὸν θάνατον; καρτερεῖν δεῖ καὶ φέρειν ἀναγκαίως τὰ παρὰ τοῦ δαίμονος. τί δὲ, φησὶ, παραιτοῦμαι τὴν αἰσχύνην; πάσῃ μοι μηχανῇ ποριστέον τὴν σωτηρίαν. οὐχ ὑπὲρ μικρῶν γάρ μοι ὁ κίνδυνος, ἀλλ' ὑπὲρ παντὸς τοῦ οἴκου ἐστίν. B.I. Ἄλλως. τὸ "τί δὲ ταλαιπωρεῖν" τοῦτο λέγει, τί δὲ δεῖ ταλαιπωρεῖν καὶ κάμνειν ἐμὲ περὶ τὴν δέησιν· οὐ γὰρ ὑπὲρ ἐμοῦ μόνου καὶ τῆς ἐμῆς ἀδελφῆς ποιοῦμαι τὴν δέησιν, ἀλλ' ὑπὲρ τοῦ οἴκου παντὸς, τουτέστι τοῦ γένους παντὸς ἡμῶν. ἀποθανόντος γὰρ ἐμοῦ ἡ ἐκ προγόνων πᾶσα εὐδαιμονία οἰχήσεται, ὡς οὐ διάδοχον σχοῦσα· ὥστε τῆς ζημίας καὶ εἰς σέ πως τεινούσης, ἐπεὶ τοῦ αὐτοῦ γένους τυγχάνεις, οὐχ ἧττον ἐμοῦ δεῖ σὲ σπουδάζειν, ὅπως σωθείην. ἡ αὐτη ἡ κατασκευὴ πρὸς τὸ ἱκνοῦμαι ἐστὶ, τὰ δ' ἄλλα διὰ μέσου. Gu. I. τί δέ: ποιήσω δηλονότι. Gr. ταλαιπωρεῖν: ταλαίπωρα ὑπομένειν. Gr. Cant. παραιτούμενον τὸ σώζεσθαι ὑπ' ἐκείνης. Gu. με δεῖ: γρ. χρή. M.

674. τὸν κατὰ χθονός: δόκει ἀκούειν τάδε τὸν κατὰ χθονὸς θανόντα, ἤγουν νόμιζε, ὅτι πάρεστιν ἐκεῖνος, καὶ ἀκούει τάδε, λέγω τὴν ψυχὴν ἐκείνου ποτωμένην ἐπάνω σου. Gr. I. τὸν κατὰ χθονὸς θανόντα: συνυπακούεται ἐνταῦθα ὑπαρκτικοῦ ῥήματος μετοχὴ, ἣ καὶ ἐκφωνουμένη κακοσύνθετον ποιεῖ τὸν λόγον καὶ ἄχρηστον. ὅτι δὲ αὕτη ἔχει λόγον συνυπακούεσθαι δῆλον οὕτως· κατὰ χθονός ἐστιν ὁ δεῖνα λέγεται, καὶ τὸν κατὰ χθονὸς ὄντα ἐξ ἀνάγκης μετὰ τῆς μετοχῆς τοῦ ὑπαρκτικοῦ οὕτως, ἐπειδὴ καὶ κατὰ χθονός ἐστιν ὁ δεῖνα θανὼν λέγεται. δύναται καὶ καταλλήλως ἔχειν τοῦτο, καὶ μετὰ τῆς μετοχῆς τοῦ ὑπαρκτικοῦ λέγεσθαι μετασχηματιζόμενον. ἐπεὶ δὲ συμβαίνει ἐνταῦθα καὶ ἑτέραν εἶναι μετοχὴν κατὰ τὴν αὐτὴν πτῶσιν, καὶ διὰ τοῦτο κακόφραστον εἶναι τὸν λόγον καὶ κακοσύνθετον, οὐδέ-

3. τί δὲ—] Haec pars scholii est in A. sic scripta εἰς οἶον ἥκω. τινὲς δέ φασιν παραιτοῦμαι—πάσῃ μοι μηχανῇ—μοι κινδυνευτέον ἐστὶν, ἀλλ' ὑπὲρ παντὸς οἴκου :—
4. μοι om. I.
5. Ἄλλως om. Gu.
6. δεῖ om. I.
7. μόνου] μόνον I.
8. ἀλλ'—ἡμῶν] ἀλλὰ ὑπὲρ παντὸς τοῦ οἴκου καὶ τοῦ γένους ἡμῶν I.
12. ἡ αὐτη] ἡ αὐτὴ I.
19. συνυπακούεται] δὲ add. I.
ib. ἣ καὶ] εἰ καὶ Gr.
21. αὕτη ἔχει λόγον] λόγον ἔχει αὕτη I.
24. θανὼν λέγεται] λέγεται καὶ θανὼν I.
25. ἐπεὶ δὲ—αὐτὴν πτῶσιν] ἐπειδὴ—ἀντίπτωσιν Gr.

ποτε ἐκφωνεῖται ἡ τοῦ ὑπαρκτικοῦ ῥήματος μετοχὴ, ἀλλ' ἀεὶ συνυπακούεται κατὰ τὴν συνήθειαν τῶν ὑπαρκτικῶν. Gr. I.

677. ταῦτ' εἴς τε δάκρυα: ἀντὶ τοῦ μετὰ δακρύων καὶ γόων αἰτῶ τὴν σωτηρίαν. B.I. Ἄλλως. κατὰ ἀπόθεσιν ταῦτα ἐπάγεται, ἤγουν ταῦτα εἴρηκα, εἴς τε τὰ δάκρυα ἡμῶν καὶ τοὺς γόους καὶ τὰς συμφοράς. Gr. I. ἤγουν μετὰ δακρύων καὶ γόων εἶπον. ἢ οὕτως, εἶπον ταῦτα εἰς δάκρυα καὶ γόους καὶ συμφορὰς, ἤγουν ἵνα μὴ τύχω τούτων. τεύξομαι δὲ, εἰ πετρωθῆναί με ἐάσεις. Gu. I.

678. κἀπῄτηκα: ὡς χρέος ᾔτησα. I.

679. θηρῶν: θηρώμενος, ζητῶν. I. ἀντὶ τοῦ θηρώμενος, ἤγουν λαβεῖν ζητῶν. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

680. κἀγώ σ' ἱκνοῦμαι: καὶ ἐγώ σε παρακαλῶ, καίπερ ὑπάρχουσα γυνὴ, βοηθεῖν τοῖς δεομένοις· δυνατὸς γὰρ ὑπάρχεις ὠφελεῖν. τὸ δὲ ὠφελῶ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται, ὡς καὶ Αἰσχύλος "ὡς τοῖς θανοῦσι χρήματ' οὐδὲν ὠφελεῖ." I.

οἷός τε δεῖ: γρ. καὶ ὅσος τε δ' εἶ ἀντὶ τοῦ δυνατὸς εἶ. A.

682. καταιδοῦμαι: διὰ τιμῆς ἔχω. Fl. 33. ἀντὶ τοῦ αἰδοῦμαι. Gu. σὸν κάρα: ἤγουν σέ. Gr.

683. ξυμπονῆσαι: οἷον συμπονεῖν δεῖ τοῖς συγγενέσι, κἂν κίνδυνος παρῇ. A. σοὶ δηλονότι. Gr. σοῖς κακοῖσι: ἐπὶ ταῖς σαῖς δυστυχίαις. Gr.

684. καὶ χρὴ γὰρ οὕτω: τοῦτο μερικῶς, ἢ καθόλου νοητέον, ὅτι πρέπει ἢ ἐμὲ, ἢ πάντα ἄνδρα οὕτω συνεκκομίζειν καὶ συνεκφέρειν, ἣν ἰσχὺν διδῷ θεὸς, τὰ τῶν ὁμαιμόνων κακὰ, θνήσκοντα, εἰ δεήσειεν, ὑπὲρ ἐκείνων, καὶ κτείνοντα τοὺς ἐναντίους. εἰ μὴ γὰρ ἐξ ἀλλήλων οἱ

4. Ἄλλως om. Gr.

8. ἐάσεις] ἐάσῃς I.

14. Αἰσχύλος] Pers. 839.

23. οὕτω om. I.

25. εἰ μὴ γὰρ—βοηθοῖντο e Gu. recepi pro εἰ μὲν γὰρ—βοηθεῖεν (King. βοηθοῖεν). Idem mox τίς ἂν ἄλλως ἐξ. ἐλπίσῃ (ἐλπίσοι I.) β. In I. haec ita continuantur: σαφήνειά ἐστι τοῦ οὕτω θνήσκοντα. καὶ ὡς τεθνηξόμενον etc. In Gu. priora τοῦτο μερικῶς—οὕτω in marg. scripta, reliqua καὶ ὡς τεθν., in quibus κτενοῦντα pro κτανοῦντα, Gr. inter versus. King. e glossis hanc paraphrasin concinnavit: Ὀρέστ', ἐγὼ αἰδοῦμαί σε καὶ συμπονῆσαί σοι ἐπὶ ταῖς δυστυχίαις θέλω. καὶ χρὴ γὰρ οὕτω συνδιαφέρειν ἐμὲ τὰ τοῦ ἀδελφοῦ κακὰ, ἣν διδῷ ὁ θεὸς δύναμιν, καὶ φόβον ἔχοντα τεθνήξεσθαι καὶ ἐλπίδα ἔχοντα ἀποκτείνειν τοὺς ἐναντίους· τὸ δὲ δύνασθαι τοῦτο ποιεῖν παρὰ θεῶν θέλω τυχεῖν. MATTH.

συγγενεῖς βοηθοῖντο, τίς ἂν ἄλλην ἔξωθεν ἐλπίσῃ βοήθειαν; τὸ δὲ "θνήσκοντα καὶ κτείνοντα τοὺς ἐναντίους" σαφήνειά ἐστι τοῦ οὕτω. Gu. I. *θνήσκοντα: καὶ ὡς τεθνηξόμενον, καὶ ὡς κτενοῦντα τοὺς ἐναντίους, ἤγουν εἰ καὶ θάνατος πρόκειται, καὶ εἰ νίκη τῶν ἐναντίων.* Gr. I.

685. *συνεκκομίζειν: συμπονεῖν δεῖ τοῖς συγγενέσι, κἂν κίνδυνος παρῇ, καὶ μάλιστα εἰ τὸ θεῖον παρέχει δύναμιν. τὸ δὲ ἑξῆς ἀναστρεπτέον· ἔστι γὰρ κτείνοντα τοὺς ἐναντίους, καὶ θνήσκοντα.* B.I. *συνδιαφέρειν, ὁμοῦ ὑπομένειν.* Gr. *συνεκφέρειν καὶ ἀποτρέπειν, βαστάζειν, συμπονεῖν.* Gu. *τὸν ἀδελφὸν συνελαφρύνειν, ἐπικουφίζειν, μαστίζειν.* Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

687. *τὸ δ' αὖ δύνασθαι: τοὐναντίον Αἴας φησί· "καὶ πρὸς δαίμονά περ εἴ πως ἐρυσαίμεθα νεκρόν."* A.B.M.I.

688. *ἥκω γὰρ ἀνδρῶν συμμάχων: οὐκ ἐπαγόμενος συμμάχους, ἀλλ' ἔρημος τῆς παρὰ τούτων δυνάμεως ὤν, ὡς τῶν συμμάχων αὐτοῦ κατὰ τὴν πλάνην ἀπολομένων, πλὴν ὀλίγων.* B.M.I. *ἢ οὕτως· ἦλθον ἔρημος συμμάχων, καὶ προσέτι πλάνην ὑπέστην πολλήν.* A.B.I. *τὸ δὲ ἑξῆς, ἥκω γὰρ ἔχων τὸ δόρυ συμμάχων ἐστερημένον καὶ προσταλαιπωρήσας τῇ πλάνῃ.* A.B.C.I. *τὸ δὲ "ἐνταῦθ' ἐλπίδος προσήκομεν" ἀντὶ τοῦ προσοικειούμεθα καὶ ἐγγύς ἐσμεν ἐλπίδος. σκόπει οὖν πῶς οὔτε διὰ κολακείας πεῖσαι ὑπέσχετο, ἀλλὰ καὶ τοῦτο ἐν ἀμφιβολίᾳ ἀφῆκεν.* B.I. *τὸ σμικρᾷ σὺν ἀλκῇ ἢ πρὸς τὸ ἥκω συνάπτεται τῇ ἐννοίᾳ, ἢ πρὸς τὸ ἀλώμενος.* Cant. Gu. *ἀλκῇ: βοηθείᾳ.* Gr. *λελειμμένων: τῶν ὑπολελειμμένων.* Gr. *ἐναπολειφθέντων.* Gu.

691. *μάχῃ μέν: ἐν μάχῃ μὲν οὐκ ἂν περιγενοίμεθα τοῦ Πελασ-*

7. *ἀναστρεπτέον—θνήσκοντα*] Haec sunt etiam in M.

12. *φησί*] Apud Hom. Il. 17, 104.

13. *εἴπως ἐρυσαίμεθα*] *εἴ ποτε ῥυσαίμεθα* A.

14. *ἐπαγόμενος*] *ἐπαγόμεθα* I.

ib. *συμμάχους*] *συμμάχων* M.

15. *παρὰ* et *ὢν* om. A.

ib. *συμμάχων*] *συμμαχούντων* A.

16. *ἀπολομένων* A. *ἀπολλυμένων* M. *ἀλωμένων* B. *ἀλωμένων* I.

17. *ὑπέστην*] *ὑφέστηκα* I. *ὑπέστην* ante *πλάνην* A.

ib. *τὸ δὲ* (*δὲ* om. A.C.) *ἑξῆς—ἐστερημένον*] *ἥκω γάρ: ἦλθον ἔχων τὸ δόρυ κενὸν συμμάχων ἀνδρῶν, ἤγουν κενὸς ὑπάρχων πολεμικῶν ἀνδρῶν* I.

20. Verba *προσοικειούμεθα—ἀφῆκεν* M. habet infra ad *ἐλπίδος προσήκομεν* (v. 693.), omisso *σκόπει οὖν*.

21. *οὔτε*] Immo *οὐ*.

ib. *τοῦτο*] *αὐτὸ* M.

γικοῦ Ἄργους, ἤγουν οὐχ ὑπερισχύσαιμεν. Gu. I. ὑπερβαλοίμεθα: ὑπερφέροιμεν καὶ κρείττονες αὐτοῦ γενοίμεθα διὰ τὸ μὴ ἔχειν δύναμιν, ὡς ἔφην. Gu.

692. Πελασγὸν Ἄργος: ἀπὸ Πελασγοῦ τινος. M. Πελασγὸς βασιλεὺς ἦν τοῦ Ἄργους. ἤτοι οὐχὶ νικήσομεν τοὺς Ἀργείους ἐν μάχῃ. C. εἰ δὲ μαλθακοῖς: οὐδὲ τὸ διὰ κολακείας πεῖσαι ὑπέσχετο, ἀλλὰ καὶ αὐτὸ ἐν ἀμφιβολίᾳ ἀφῆκεν. A.C. οὕτω λέγε· ἐνταῦθα δὲ καὶ εἰς τοῦτο τῆς ἐλπίδος προσήκομεν, καὶ προσερχόμεθα, εἰ δυναίμεθα ὑπερβαλέσθαι ἐν λόγοις μαλθακοῖς. Gu. I. μαλθακοῖς: ταπεινοῖς, κολακευτικοῖς. Gu. πραέσι. Fl. 21.

693. δυναίμεθ': ὑπερβαλέσθαι καὶ νικῆσαι. Gu. λείπει πεῖσαι. Fl. 21. προσήκομεν: ἐνταῦθ' ἐλπίδος προσοικειούμεθα καὶ ἐγγὺς ἐλπίδος ἐσμέν. C. περισσὴ ἡ πρός. Gr. προσερχόμεθα, ἐγγὺς ἐσμέν. Gu. περισσὴ ἡ πρός, ἀντὶ τοῦ ἥκομεν, ἤλθομεν. Fl. 6. 9. 17. 56. 59. 76. προσοικειούμεθα, ὡς τάχα πείσομεν αὐτούς. Fl. 10.

694. σμικροῖσι—πόνοισι: σμικρᾷ δυνάμει ὤφειλεν εἰπεῖν· ὁ δὲ λέγει σμικροῖς πόνοις, τὴν ἐνέργειαν τιθεὶς ἀντὶ τῆς δυνάμεως. Gr. I.

σμικροῖσι μὲν γὰρ τὰ μεγάλα: τῇ δι' ὀλίγων μάχῃ τοὺς πολλοὺς νικῆσαι ἀδύνατον, ὅθεν εἰς πόλεμον μὲν αὐτοῖς παραιτητέον ἐλθεῖν· εἰ δὲ λόγοις ὑπελθεῖν δεῖ καὶ γοητεύσασθαι αὐτοὺς σοφίᾳ λόγων, ἐνταῦθα δυνησόμεθα. ἀνόητον δὲ καὶ ἀμαθὲς καὶ τὸ μόνον προσδοκῆσαι τοὺς ὀλίγους τῶν πολλῶν περιγενέσθαι. A.B.C.M.I.

1. ὑπερισχύσαιμεν] ὑπερισχύσομεν I.
6. τὸ διὰ] διὰ τὸ C.
7. λέγε] τοῦτο λέγει I.
8. δὲ καὶ] δὲ ἤγουν I.
9. δυναίμεθα] δυνάμεθα I.
17. μικρᾷ—] In I. hoc scholion adscriptum est ad v. 690. σμικρᾷ σὺν ἀλκῇ. Huc retulit King. ductus codice Cant. quocum consentit Gr. Idem ἐνέργειαν, ut etiam in Gr. legitur, dedit pro εὐέργειαν. MATTH.
20. δι'] δ' I.
21. νικῆσαι] καταγωνίσασθαι B.I.
ib. αὐτοῖς π. ἐλθεῖν] ἐλθεῖν π. αὐτοῖς I. In A. ὅθεν εἰς πόλεμον μὲν αὐτοὺς ἐλθεῖν παραιτητέον, in C. ὅθεν εἰς ποταμὸν (sic) ἐλθεῖν αὐτοῖς παραιτητέον, ἀμαθὲς τὸ βούλεσθαι τάδε. ἀνόητον καὶ τὸ μὴ μόνον προσδοκῆσαι τοὺς ὀλίγους πολλῶν περιγενέσθαι :—
22. δεῖ—περιγενέσθαι] δεῖ . . . . μὴ γευσο...θα σοφίαν—δυνησόμεθα. οὐδὲ διὰ κολακείας πεῖσαι ὑπέσχετο, ἀλλὰ καὶ αὐτὸς ἐν ἀμφιβολίᾳ. . . . (Haec ex scholio v. 693. repetita). ἀμαθὲς δὲ τὸ βούλεσθαι τάδε. ἀνόητον καὶ τὸ μόνον περιγίνεσθαι :—A.
23. ἀνόητον—περιγενέσθαι om. M.

ἕλοι: λάβοι (Fl. 17. 59. 76.), κατορθώσοι. Gu. χειρώσεται. Fl. 10.

695. ἀμαθές: ἀπαίδευτον. Gr. ἀνόητον, μωρόν. Gu. καὶ τὸ βούλεσθαι: μὴ μόνον τὸ ἐπιχειρεῖν. Gu. Fl. 6. οὐ μόνον ποιεῖν, ἀλλὰ καὶ βούλεσθαι, ὅτι καὶ ἀδύνατον. Fl. 10. ἐνθυμεῖσθαι. Fl. 21.

696. ὅταν γὰρ ἡβᾷ δῆμος: ὅταν γὰρ δῆμος εἰς ὀργὴν πεσὼν ἀκμάζῃ, ὅμοιον τὸ ζητεῖν κατασβέσαι αὐτὸν, ὥστε ζητεῖν κατασβέσαι πῦρ λάβρον καὶ σφοδρόν. Gr. I.

ἡβᾷ: ἀκμάζῃ. Gr. φλεγμαίνῃ, ἐκμαίνηται. Gu.

697. ὅμοιος: λείπει τὸ πειρᾶσθαι νικῆσαι αὐτὸν, τὸν ὄχλον, ἀλλ' ὅμως ὑπονοεῖται. Fl. 21. ὥστε πῦρ: οὔτε γὰρ τοῦτο κατασβέσαι ῥᾴδιον, οὔτε ἐκεῖνον τῆς ὀργῆς πεπαυκέναι. Bar. Gu.

698. εἰ δ' ἡσύχως: εἰ δέ τις ἡσύχως καθ' αὑτὸν ἐνδιδοὺς ὑποτάσσοιτο τῷ δήμῳ θυμουμένῳ, εὐλαβούμενος καὶ φοβούμενος τὸν καιρὸν, (ἀπὸ μεταφορᾶς τῶν πνευμάτων,) ἴσως ἂν καταπαύσειε τῆς ὀργῆς δηλονότι. I. ἐντείνοντι: ἀντὶ τοῦ θυμουμένῳ. B.M. σφοδρυνομένῳ μὲν τῷ δήμῳ. Gr. ἀκμάζοντι τῇ ὀργῇ. Gu. Bar. μεγαλαυχοῦντι τῷ ὄχλῳ. Fl. 21. τὸ ἐντείνοντι καὶ τὸ χαλῶντι ἐκ μεταφορᾶς τῆς νηὸς εἴρηται. Gu.

699. χαλῶν: ἀπὸ μεταφορᾶς τῶν ἱστίων, ἐνδιδούς. Gr. Bar. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76. συγκαταβαίνων, ὑποκλίνων Gu. ὑπενδιδούς. Fl. 33. ὑπείκοι: ὑποτάσσεται, ἐνδίδωσι. Gu. εὐλαβούμενος: φοβούμενος. Gr. αἰδούμενος καὶ θεραπεύων. Gu. φοβούμενος, ὑποκλίνων ἑαυτὸν, ἤτοι ταπεινούμενος, ὑποστελλόμενος, θεραπεύων. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

700. ἐκπνεύσει': ἀντὶ τοῦ καταπαύσειε τὴν ὀργὴν δηλονότι, ὡς ἐπὶ ἀνέμου. A.B.M. λήξειε τῆς ὀργῆς. Gr. Florr. iidem. ῥαΐσειε τῆς ὀργῆς, παυθῇ τοῦ θυμοῦ. Gu. ὅταν δ' ἀνῇ: ὅταν δ' ἀναπνεύσῃ, ἐπιτύχοις ἂν εὐκόλως τοῦ λαοῦ, καθόσον βούλει. I. ἀπὸ μεταφορᾶς τῶν πνευμάτων. B. rec. Gr. ἀφήσῃ, καταλείψῃ. Gu. ἀφῇ. Fl. 6. 9. 17. 25. 56. 59. 76. τελειώσῃ ὀργάς. Fl. 21.

8. τὸ ζητεῖν om I.
ib. ὥστε] ὥσπερ I.
9. καὶ σφοδρόν om. Gr.

25. ὑποστελλόμενος Matth. pro ἀποστελλόμενος.
27. ὡς ἐπὶ ἀνέμου om. B.

702. ἔνεστι δ' οἶκτος: ὁ δέ ἀντὶ τοῦ γάρ, ἵν' ᾖ, ἔνεστι γὰρ τῷ δήμῳ καὶ ἐλεεῖν καὶ θυμοῦσθαι, καὶ ὁ πᾶς λόγος τοιοῦτος, ἐὰν τοίνυν θυμουμένῳ τῷ δήμῳ εἴκῃς, πεπαύσεται ὀργῆς καὶ λοιπόν ἐστιν ἐπιτήδειος εἰς τὸ συνδραμεῖν ταῖς ἱκεσίαις. ὡς γὰρ ἐμπέφυκεν αὐτῷ τὸ μεγάλως ὀργίζεσθαι, οὕτω καὶ τὸ ἐλεεῖν· τουτέστιν, οὐ γὰρ πρὸς τὸ ὀργίζεσθαι μόνον φύσιν ἔχει, ἀλλὰ καὶ πρὸς τὸ ἐλεεῖν, καὶ τῷ δυναμένῳ τοῦτο αὐτὸ καραδοκεῖν καὶ ἐπιτηρεῖν πότε μὲν μεγάλως θυμοῦται, πότε δὲ ἀνῆκε τῆς ὀργῆς, κτῆμά ἐστι τοῦτο τιμιώτατον, τὸ εἰδέναι ἑκάτερον τὸν καιρόν. ἢ αὐτὸς ὁ δῆμος κτῆμά ἐστι τιμιώτατον τῷ εἰδέναι προσενεχθῆναι καθ' ὃν δεῖ τρόπον αὐτῷ. ἢ ὁ καιρὸς μέγα κτῆμα τῷ καραδοκοῦντι, φησὶ, τὸν δῆμον καὶ τηροῦντι καὶ γινώσκοντι πότε μὲν θυμοῦται, πότε δὲ ἐλεεῖ. A.B.M.I. Ἄλλως. ἔνεστι τῷ δήμῳ ἐλεεῖν, ἔστι δὲ καὶ μεγάλως θυμοῦσθαι. ὁ γὰρ δέ ἀντὶ τοῦ γάρ· οὐ γὰρ μόνον ἐστὶ πρὸς τὸ θυμοῦσθαι τὴν φύσιν, ἀλλὰ καὶ πρὸς τὸ ἐλεεῖν, καὶ τῷ δυναμένῳ τοῦτο αὐτὸ συντηρεῖν κτῆμά ἐστι τοῦ ἐπιτηρεῖν τὸν καιρὸν τιμιώτατον. κτῆμά ἐστι τοῦτο, ὅ ἐστι τὰ μέγιστα, ἀντὶ τοῦ τὸ κερδαίνειν δηλοῖ αὐτὸς ὁ δῆμος ὄφελος τῷ τοιούτῳ Ἄλλως. ἐνταῦθα πρωθύστερός ἐστιν ὁ τρόπος· διὰ γὰρ τὴν βίαν τοῦ μέτρου οὕτως συνηρμόσθη τὸ ἔπος. οὕτως γὰρ ὤφειλεν εἰπεῖν, ἔνι θυμὸς μέγας, ἔνεστι καὶ οἶκτος τῷ θυμουμένῳ δήμῳ, ὁ δὲ οἶκτος τῷ καραδοκοῦντι καὶ ταῖς ἐλπίσι τρεφομένῳ χρῆμα καὶ κτῆμα τιμιώτατον καὶ λυσιτελές. A. τοῦτο τὸ ἐπιτηρεῖν τὸν καιρὸν κτῆμά ἐστι τιμιώτατον, ὅ ἐστι τὰ μέγιστά τις ἂν ἐκ τούτου κερδαίνειν δύναται. Gu.

1. ἔνεστι γὰρ] ἔστι γὰρ B.I.
2. καὶ ἐλεεῖν] καὶ om. M.I. In A. est ἐλθεῖν καὶ ἔστι πᾶς ὁ λόγος τοιοῦτος. ἐὰν θυμουμένῳ τῷ δήμῳ ἧκες etc.
ib. καὶ ὁ—ἐὰν] καὶ ἅπας δὲ φίλος τοιοῦτος. ἐὰν τοίνυν B.I.
3. εἴκῃς] ἥκεις libri.
ib. ὀργῆς] τῆς ὀργῆς A.I.
ib. ἐστιν ἐ.] ἐ. ἐστιν B.I.
5. οὐ γὰρ] γὰρ om. A.
6. φύσιν om. I.
7. τοῦτο αὐτὸ] ταὐτὸ A.
ib. καραδοκεῖν—τῆς ὀργῆς om. M.
8. πότε δὲ—κτῆμα] πότε δὲ καὶ—κτῆμα γάρ A.
9. ἑκάτερον τὸν καιρὸν] δηλονότι ἑκάστου τὸν (τὸν om. I.) καιρὸν A.B.I.
ib. ἢ] ἢ οὖν B.I.
ib. ἐστι τιμιώτατον] τίμιόν ἐστι A.
10. τῷ εἰδέναι A.B. τὸ εἰδέναι I. In M. κτῆ δή μοι (sic) καὶ τὸ εἰδέναι.
ib. δεῖ om. I.
ib. ἢ ὁ] ἄλλως. ὁ A.
11. φησὶ om. B.I. καὶ τηροῦντι om. I.
12. θυμοῦται—ἐλεεῖ] μεγάλως θυμοῦται, καὶ πότε ἐλεεῖ κτῆμά ἐστι τιμιώτατον :—A.
ib. πότε μὲν—ἐλεεῖ] Pro his in M. ἐστι τιμιώτατον.
15. τοῦ ἐπιτηρεῖν] Fort. τοῦτο, τὸ ἐπιτηρεῖν.
16. κτῆμα—τοιούτῳ] Haec confusa et defecta, corrigenda collatis l. 9. 10. 22. 33.

703. *καραδοκοῦντι*: *καιροφυλακτοῦντι καὶ τηροῦντι τὸν καιρόν.* B.I. *καιροφυλακτοῦντι.* Gr. *ἐκδεχομένῳ καὶ σκοποῦντι τὸν καιρὸν τοῦ οἴκτου καὶ τοῦ θυμοῦ. ἀναμένοντι.* Gu. Bar. *καιροφυλακτήματι, ἤγουν μετὰ περιφανείας προσδεχομένῳ.* Fl. 21. *ἐλπίζοντι.* Fl. 10.

704. *ἐλθὼν δὲ—*: *γρ. ἐλθὼν γὰρ ἐγώ σοι Τυνδάρεων πειράσομαι.* M.

705. *τῷ λίαν χρῆσθαι καλῶς*: *ἀντὶ τοῦ μετρίως χρῆσθαι τῷ λίαν, οἷον τῆς μετριότητος ὑφεῖναι, ἢ τῷ καλῶς λίαν χρῆσθαι, ἵν' ᾖ τὸ καλῶς ἠπίως, οἷον σφόδρα ἐνδείξασθαι τὴν πρὸς σὲ πραότητα.* A. B.C.M.I. *Ἄλλως. τῷ λίαν οὐχὶ φαύλως, ἀλλὰ καλῶς. ἔστι γὰρ τὸ λίαν καὶ ἐπὶ τοῦ θεοῦ καὶ ἐπὶ τοῦ οἰκτιρμοῦ. τεθύμωται γοῦν ὁ Τυνδάρεως λίαν, ἀλλὰ πειράσομαί σοι τοῦτον πεῖσαι λίαν γενέσθαι οἰκτίρμονα.* A.

τῷ λίαν: *ἤγουν μετριάζειν καὶ μὴ τῇ ὑπερβολῇ χρῆσθαι.* Gr. *τὸ τῷ λίαν καὶ μέγα καὶ μικρὸν γράφεται, μικρὸν μὲν οὕτω· πειράσομαι πεῖσαι καὶ τὸν Τυνδάρεω καὶ τὴν πόλιν τοῦτο τὸ λίαν χρῆσθαι σοὶ καλῶς· μέγα δὲ οὕτω· πειράσομαι πεῖσαι καὶ τὸν Τυνδάρεω καὶ τὴν πόλιν τίνι τῷ λίαν χρῆσθαι σοὶ καλῶς. οὐ γὰρ μόνον πείθω τὸν δεῖνα τάδε φαμέν, ἀλλὰ καὶ πείθω τούτοις· ἡ γὰρ κατάπεισις, ἣν ἐκεῖνον πείθω, τοῖς πράγμασι γίνεται, εἰς ἃ αὐτὸν καταπείθω. εἰ δέ τις εἴποι ὡς εἰ τὸ λίαν μικρὸν γράφεται, οὐκ ἀπαντᾷ πρὸς τὸ μέτρον, φαμὲν ὅτι οὐ μόνον τὰ δύο ἀμετάβολα ἐκτείνουσι παρὰ τοῖς ποιηταῖς, ἀλλὰ καὶ ἓν ἔσθ' ὅτε.* Gu. *μετρίως, τῷ σφόδρα ἐνδείξασθαι τὴν πραότητα.* Fl. 10.

706. *καὶ ναῦς γάρ*: *καὶ γὰρ ναῦς βιαίως τοῦ ποδὸς ἐνταθέντος ὑπέκυψεν, ὥστε ὕδωρ εἰσδέξασθαι, πάλιν δὲ ἀνωρθώθη χαλάσαντος τὸν*

1. *καὶ τηροῦντι*] *προσδεχομένῳ* I., quod B. in marg., M. supra versum habent.
3. *ἀναμένοντι* om. Bar.
8. *μετρίως—χρῆσθαι*] Sic M. In B.I. est *μετρίως χρῆσθαι τῷ λίαν ἢ* (*τῷ λίαν ἢ* om. I.) *τῷ καλῶς λίαν χρῆσθαι.*
9. *οἷον*] *ὅ ἐστι* A.
ib. *ἢ τῷ*] *τῷ* om. C. *ἢ τὸ* A.
ib. *χρῆσθαι*] *κεχρῆσθαι* C.
10. *οἷον σφόδρα*] *ἤγουν σφόδρα* I.
ib. *τὴν πρὸς σὲ πραότητα*] *τῶν πρὸς σὲ πράξεων* I.
16. *γράφεται*] *γράφε* Gu.
26. *γὰρ ναῦς*] *ναῦς γὰρ* B.I.
ib. *ἐνταθέντος*] *ἐκταθέντος* I.
27. *εἰσδέξασθαι*] *ἐκδέξασθαι* B.I.
ib. *δὲ*] *τε* A.
ib. *χαλάσαντος*] *ἐὰν χαλᾷ καὶ ἐνδιδῷ* I.

πόδα καὶ ἀνιέντος. A.B.M.I. τὰς γὰρ ἄγαν προθυμίας, ἀντὶ τοῦ τὰς ὑπερβολικὰς ὁρμὰς καὶ ὑπὲρ τὸ δέον, μισεῖ ὁ θεός. I. καὶ ναῦς πρὸς βίαν ἐξαπλωθεῖσα ἐν τῷ ποδὶ, ἤγουν τῷ ἀρμένῳ, ἐκινδύνευσε καὶ πάλιν διεσώθη τοῦ κινδύνου, ἂν χαλᾷ τὸ ἄρμενον. C.

707. πρὸς βίαν ποδί: εἰς κατασκευὴν τοῦ πρὸς ἐκείνους λόγου ἐπάγει ταῦτα. ποδὶ δὲ ἤγουν διὰ τοῦ ποδός. λέγεται δὲ οὕτω τὸ σχοινίον τὸ κατέχον κάτωθεν τὸ ἱστίον. Gr. I. πρὸς βίαν: βιαίως. Gr.

708. ἔβαψεν: ἤγουν ὕφαλος γέγονεν· ἐλθὸν γὰρ πνεῦμα σφοδρὸν καὶ πρὸς τὴν τοῦ ποδὸς τάσιν ἐμπεπτωκὸς ἀνατρέπει. Gu. I. ἔβαψεν: ἑαυτὴν δηλονότι, ἤγουν ἐβαπτίσθη. Gr. Fl. 6. 9. 17. 21. 33. 56. 59. 76.

τὰς ἄγαν προθυμίας: σημείωσαι ὅτι καλὸν ἡ προθυμία, ἡ δὲ ἄγαν προθυμία κακὸν, ὡς ὑπερβολὴ, καὶ ἡ ἁπλῶς προθυμία μεσότης, ἡ δὲ ἄγαν ὑπερβολὴ καὶ κακία ὥσπερ καὶ ἡ ὀκνία ἔλλειψις καὶ κακία. τὰς δὲ ὑπερβολὰς καὶ ἐλλείψεις καὶ θεὸς μισεῖ καὶ οἱ φρόνιμοι ἄνθρωποι. A. τὰς ὑπερβολικὰς ὁρμάς. B. Gr. τὰς ὑπὲρ τὸ δέον ἀλαζονείας. Gu. τὰς ὑπὲρ τὸ δέον ὑπεροψίας, ἤτοι ὑπερηφανείας. Fl. 10. 21. τὴν πολλὴν θρασύτητα. Cant.

709. ἄλλως: μάτην. Gr.

710. σώζειν: ῥύεσθαι. Gr. I. σοφίᾳ, οὐ βίᾳ: ἐπιτηδειότητι καὶ οὐ δυναστείᾳ τῶν ἐπικρατεστέρων. Gr. I. σοφίᾳ: μεταχειρίσει διὰ λόγων. (Fl. 6.), φρονήσει. Gu. τῶν κρεισσόνων: τουτέστι τοῦ δήμου· κρείττων γάρ ἐστι νῦν, ὡς ἔφην, ἐμοῦ. Gu.

711. ἀλκῇ: ἰσχύϊ. Gr. δυνάμει. Gu. δοξάζεις: ὑπονοεῖς. Gr. ὑπολαμβάνεις. Fl. 33.

712. οὐ γὰρ ῥᾴδιον: ἀντὶ τοῦ οὐ ῥᾴδιον περιγενέσθαι τῶν σῶν κακῶν καὶ ἀπαλεῖψαι τὴν παροῦσάν σοι συμφοράν. A.B.C.M.I. λόγχῃ μιᾷ: οὐχ ὅτι μίαν λόγχην εἶχεν, εἴρηκε τὸ λόγχῃ μιᾷ, ἀλλὰ δεικνὺς ἐντεῦθεν τὸ τῆς αὐτοῦ δυνάμεως ὀλίγον. εἰκότως δὲ ἐπέφερε

1. καὶ ἀνιέντος addidi ex B.
5. λόγου om. Gr.
6. ἐπάγει ταῦτα] ταῦτα ἐπάγει Gr.
ib. ποδὶ δὲ ἤγουν om. Gr.
7. τὸ κατέχον—ἱστίον] τὸ κάτωθεν τοῦ ἱστίου I.
8. ὕφαλος] ἔφαλος I.
17. τὰς (ἀντὶ τοῦ τὰς B.) ὑπὲρ τὸ δέον ὑπεροψίας] Sic etiam B.M.
27. καὶ ἀπαλεῖψαι] καὶ ἀπολεῖψαι M. ὡς ἀπὸ λείψαι C.
ib. τὴν παροῦσαν] τὴν om. B.I. Post συμφοράν B.M. pergunt τὸ δὲ ἄργους etc. (schol. ad v. 714.)

τὸ τρόπαια πρὸς τὸ λόγχῃ· ἐκ γὰρ δοράτων τὰ τρόπαια γίνεται. Gu. I.

714. οὐ γάρ ποτ' Ἄργους: ἤγουν οὐδέποτε τοῖς Ἀργείοις ταπεινῶς ὑποπεπτώκαμεν, ἀλλὰ μεγαλοπρεπῶς καὶ γενναίως αὐτοῖς ἐχρώμεθα, προστάττοντες μετ' ἐξουσίας ὅσα ἂν ἐβουλόμεθα. Gu. I. εἰ γὰρ ἦν τοῦτο ῥᾴδιον, οὔποτε διὰ τοῦ Ἄργους τὴν γῆν, ἤγουν διὰ τὸ Ἄργος προσεφέρομεν ἑαυτοὺς εἰς τὸ μαλθακόν· νῦν δὲ ἀναγκαίως ἔχει τοῖς σοφοῖς δούλους εἶναι τῆς τύχης. Gr. I.

Τὸ δὲ Ἄργους γράφεται καὶ Ἄργου, ἵν' ᾖ Ἄργου γαῖαν. Ἀριστοφάνης δὲ μετὰ τοῦ σ. οὐ πρὸς ἡμῶν, φησὶν, οὐδὲ τῆς ἡμετέρας ἀξίας ὑποδραμεῖν καὶ κολακεῦσαι τὸν τῶν Ἀργείων ὄχλον. ἀνάγκη δὲ ὅμως δουλεῦσαι τῇ κρατούσῃ τύχῃ. τοῦτο γὰρ σοφῶν καὶ φρονίμων ἀνδρῶν. τὸ δὲ ἑξῆς· νῦν δ' ἀναγκαίως ἔχει τοῖς σοφοῖς δούλους εἶναι τῆς τύχης. A.B.M.I. Ἄλλως. οὐ τῆς ἡμῶν ἀξίας ἐστὶ, φησὶ, τὸ ὑποδραμεῖν τοὺς Ἀργείους, ἀνάγκη δ' ὅμως δουλεύειν τῇ κρατούσῃ τύχῃ· τοῦτο γὰρ σοφῶν ἐστιν ἀνδρῶν. M. Fl. 10. Ἄργους γαῖαν: διὰ τὸ Ἄργος. Gr. τὸ μαλθακόν: τὸ κολακικόν. Gr.

715. προσηγόμεσθα: προσεφέρομεν αὐτούς. Gr. προσήχθημεν, ἐφέρομεν. Gu. νῦν δ' ἀναγκαίως: εἰ γὰρ ὁ δῆμος νῦν εὐτυχὴς, ἡμεῖς δὲ ἀτυχεῖς, ὡς εἰρήκαμεν, οὐ δεῖ πρὸς αὐτὸν ἰσχύος, ἀλλὰ σοφίας καὶ μεταχειρίσεως· σοφοῦ γὰρ ἀνδρὸς πρὸς τὰς τῆς τύχης μεταβολὰς τοῖς πράγμασι χρῆσθαι. Gu. I. ἔχει: διάκειται. Gr.

716. δούλοισιν εἶναι: σοφῶν γὰρ λόγος τὸ δούλους εἶναι ἡμᾶς τύχης. Gr.

717. ὦ πλὴν γυναικός: λείπει ἡ εἰς. τὸ δὲ ἑξῆς ὦ εἰς τὰ ἄλλα οὐδὲν πλὴν εἰς τοῦτο σπουδάζων, εἰς τὸ ἕνεκεν τῆς σῆς γυναικὸς στρατεύεσθαι. B.M.I.

9. Τὸ δὲ—τοῦ σ. om. A. qui lemma habet οὐ γάρ ποτ' ἄργους.

10. οὐ πρὸς—κολακεῦσαι τὸν ἀργεῖον ὄχλον. ἀνάγκη δὲ ὅμως—φρονίμων ἀνδρῶν est etiam in C.

11. κολακεῦσαι] διακολακεῦσαι I.

12. δὲ ὅμως] δ' ἡμᾶς I.

13. ἀνδρῶν] ἐστι add. B.I.

ib. τὸ δὲ] δὲ om. M., τὸ δὲ ἑξῆς om. A.

ib. δούλους εἶναι τῆς τύχης] δούλοις τῆς τύχης εἶναι A. δούλοις etiam M.

14. Ἄλλως om. Fl. 10.

15. φησὶ om. Fl. 10.

16. γὰρ om. Fl. 10.

25. τὰ ἄλλα] τἄλλα I.

26. εἰς τοῦτο σπουδάζων (σπουδαῖε B.)—στρατεύεσθαι] εἰς γυναῖκα στρατηλατεῖν A.M.

Τοῦτο οὕτω φασί τινες, ὦ Μενέλαε κάκιστε βοηθεῖν τοῖς φίλοις, χωρὶς τοῦ στρατεύειν εἵνεκα γυναικός· εἰς τοῦτο γὰρ κάλλιστος· τὰ ἄλλα δὲ τυγχάνεις οὐδέν. οὓς αὐτὸς ἐάσας οὕτω λέγε· ὦ Μενέλαε, οὐδὲν τὰ ἄλλα χωρὶς τοῦ στρατεύειν εἵνεκα τῆς γυναικὸς, ὦ κάκιστε τιμωρεῖν καὶ βοηθεῖν τοῖς φίλοις. ἢ τὸ πλὴν ἀντὶ τοῦ εἰ μή. Gu. I. ὦ κατὰ τὰ ἄλλα οὐδὲν ὢν, πλὴν τοῦ στρατηλατεῖν ἕνεκα γυναικός. Gu.

718. κάκιστε: κακοτροπώτατε. Gr.

719. τὰ δ' Ἀγαμέμνονος: ἃ εἰς σὲ πεποιήκει. ἀριστεύματα. Gu.

721. φροῦδ': ἀφανῆ. Gr. ἐστίν. Gu. ἄφιλος ἦσθ' ἄρ', ὦ πάτερ: ἤτοι ἡμάρτανες κακοῖς χαριζόμενος, ἢ δυστυχῶν τὰ νῦν, ὦ πάτερ, οὐδένα κέκτησαι φίλον. A.B.M.I. Ἄλλως. μάτην ἄρα, φησὶν, ὦ πάτερ, ἐταλαιπώρεις ἐν τῷ πολέμῳ, οὐδενός σοι φίλα φρονοῦντος ὑπὲρ ὧν ἠτύχεις· τὸ γὰρ πράσσων κακῶς, ἀντὶ τοῦ ἀδίκως, τουτέστιν, οὐ φίλοις ἄρα, οὐδ' εὐγνώμοσιν ἐχαρίζου ἀμοιβαῖς ἀνδράσιν, οἱονεὶ κατ' αὐτὸ τοῦτο ἡμᾶς ἠδίκεις καταλιπὼν ἐρήμους ἀναισθήτοις χαριζόμενος. ἢ οὕτως, οὐχ ὑπὲρ φίλων ἄρα ἐπολέμεις τοῖς βαρβάροις, ὦ πάτερ, ἀλλ' ἀναισθήτοις εὐεργέταις, καὶ κατὰ τοῦτο κακῶς ἔπραττες καὶ ἠδίκεις, ὅτι μήτε ὑπὲρ φίλων μήτε ὡς ἀδικηθεὶς πόλεμον ἄδικον συνεκρότεις. ἢ οὕτως, εὐτυχῶν οὐκ ἔμελλες ἕξειν τοὺς ὑπὲρ σοῦ φίλους, εἰ συμβαίη σε ἀτυχεῖν. A.B.M.I.

ἄφιλος: ἐπειδὴ νῦν δυστυχῶν οὐκ ἔχεις τὸν βοηθήσοντα, (ἡ γὰρ ἐμὴ δυστυχία εἰς σὲ ἀναφέρεται,) ἄφιλος ἦσθα τότε, ὅτε μετὰ τῶν ζώντων διῆγες· εἰ γὰρ εἶχες τότε φίλους, νῦν ἂν ἐβοήθουν τοῖς ἐκ σοῦ γεγονόσι. τὸ δὲ πράσσων κακῶς ἢ ἐπὶ τοῦ παρόντος καιροῦ, ὡς ἔφαμεν, νόει, ἢ διότι ὑπὲρ Μενελάου τότε ἐκινδύνευεν ἐν πολέμῳ.

1. Τοῦτο] ἄλλως praef. in I.
2. τὰ ἄλλα δὲ] τὰ δ' ἄλλα I.
3. ἐάσας] ὡς ἀμαθεῖς add. I.
12. ἤτοι] ἀλλ' B.I. ubi haec (usque ad κέκτησαι φίλον) infra leguntur l. 18. post τοῖς βαρβάροις.
13. Ἄλλως om. B.I.
14. σοι φίλα] σώφρονα B.I.
16. ἀμειβαῖς om. B.I.
ib. οἱονεὶ κατ' αὐτὸ] ἐπόνεις ὦ πάτερ καὶ κατὰ A.M., omisso ἐχαρίζου.
17. καταλιπὼν ἐρήμους—χαριζόμενος] ἡμᾶς μὲν ἐρήμους καταλιπὼν, ἀναισθήτοις δὲ καὶ ἀγνώμοσι χαριζόμενος I.
18. ὦ πάτερ, ἀλλ' ἀναισθήτοις—ἀτυχεῖν om. B.I.
20. ὡς A. αὐτὸς M.

Gu. I. ἐστερημένος φίλων τῶν μελλόντων δηλονότι προστήσεσθαι. Gr. I.

722. προδέδομαι: ἐγκαταλέλειμμαι. Gr. ὑπὸ τῶν οἰκειοτάτων καὶ οὓς οὐκ ἄν ποτ' ηὔχουν ἐμὲ παριδεῖν. Gu.

723. ὅπη τραπόμενος: ἀντὶ τοῦ ποῖ τραπόμενος φύγω τὸν θάνατον, ὃν ἐπάγουσιν ἐμοὶ οἱ Ἀργεῖοι; Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

725. ἀλλ' εἰσορῶ γάρ: ἀλλ' ἐάσω ταῦτα. Gr. πρὸς τὸ ὄψιν (727.) στίξον, ἵν' ᾖ τὸ γάρ ἀργὸν, ἢ πρὸς τὸ πιστός σύναψον τὸ ἀλλά, ἵν' ᾖ τὸ εἰσορῶ γάρ μέχρι τοῦ ὄψιν διὰ μέσου. Gu. ἀλλ' ἐάσω ταῦτα· κατὰ δὲ τὸ σιωπώμενον οἶδεν τὸν Πυλάδην ἐρχόμενον. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

726. Φωκέων ἄπο: ἐκεῖθεν γὰρ ὁ Πυλάδης. A.B.M.

727. ἡδεῖαν ὄψιν: (ἀποθετικῶς. Florr.) ὄψις ἐνταῦθα ἐπὶ τοῦ βλεπομένου. Gr. Fl. 17. 21. 25. 34. 59. 76. πιστὸς ἐν κακοῖς: πιστὸς ἀνὴρ κρείσσων εἰς τὸ ὁρᾶν αὐτόν τινα ἐν ταῖς δυστυχίαις τῆς γαλήνης τῶν ναυτίλων. Gr. I. τὸ ναυτίλοις πρὸς τὸ γαλήνης ἐστὶν, οὐ πρὸς τὸ κρείσσων. ὥσπερ δὲ φαμὲν φίλος φίλου καὶ φίλος φίλῳ, οὕτω καὶ γαλήνη ναυτίλων καὶ γαλήνη ναυτίλοις. Gu. I. Ἄλλως. ὁ βέβαιος φίλος κρείσσων ἐστὶ τῆς ὁρωμένης ἐκ ζάλης τοῖς ναυτίλοις γαλήνης. A.C.I.

729. θᾶσσον: τροχαϊκὸν τετράμετρον καταληκτικόν. A.B.M. τὸ δὲ ἑξῆς, τὸν σύλλογον τῆς πόλεως ἀκούσας καὶ ἰδὼν τὸν σύλλογον. κτενοῦντας πρὸς τὸν σύλλογον ἀπέδωκεν, ὡς τῆς φήμης διαδραμούσης ἄχρι Φωκίδος. οὐ μόνον οὖν, φησὶν, ἤκουσα σύλλογον κατὰ σοῦ

1. ἐστερημένος] ἤγουν ἐστερημένος I.

11. κατὰ δὲ—ἐρχόμενον] Haec etiam in M. ad v. 729.

13. ἐκεῖθεν] φωκεὺς A.

17. τὸ ναυτίλοις] τοῖς ναυτίλοις I.

19. βέβαιος pro glossa cum altera ἀσφαλής supra v. πιστὸς scriptum est in Flor. 6. 9. 17. 21. 56. 59. 76. et in Gr. Verba τῆς ὁρωμένης ἐκ ζ. τοῖς ναυτίλοις γαλ. habet Gu. Ex eo ναυτίλοις pro ναυτικοῖς recepi. MATTH.

22. καταληκτικόν om. A.

23. τὸ δὲ] δὲ om. A.

24. κτενοῦντας C. τελοῦντας A.M.

ib. ὡς τῆς—] Novi scholii initium in M. cum lemmate σύλλογον πόλεως ἀκούσας

25. οὐ μόνον—ἤκουσα] οὐ μόνον δὲ ὅτι ἤκουσα A.C.

ib. κατὰ σοῦ A.C. ἐπὶ σὲ M.

γεγενῆσθαι, ἀλλὰ καὶ παρὼν εἶδον. A.C.M. ἀφικόμην διὰ τοῦ ἄστεος θᾶττον προβαίνων, ἤγουν ἐπιτείνων τὴν εἰς τὸ ἔμπροσθεν πορείαν, ᾗ ἐχρῆν με, προβαίνειν δηλονότι. Gr. I.

θᾶσσον: τὴν αἰτίαν τοῦ θᾶσσον ἱκόμην ἐπιφέρει αὐτίκα λέγων "σύλλογον πόλεως ἀκούσας, τὸν δ' ἰδὼν αὐτὸς σαφῶς." λέγει δὲ ὅτι ἐρχόμενος διὰ τῆς πόλεως ἤκουσα παρά τινων ὡς ἐκκλησίαν Ἀργεῖοι ἐποίησαν ἐπὶ σὲ καὶ Ἠλέκτραν, ἵνα κτείνωσιν. εἶδον δὲ καὶ αὐτὸς ἐν τῇ ἐκκλησίᾳ τινὰς στείχοντας, ὅθεν σπεύσας ἀφικόμην, ἵνα μάθω τοῦ χάριν ταῦτά ἐστι, καὶ ὅσον δύναμαι εἰσενέγκω σοι. Gu. I.

θᾶσσον ἢ ὡς ἐχρῆν με παρεγενόμην διὰ τῆς πόλεως, τὸν ἐπὶ σὲ καὶ τὴν σὴν ἀδελφὴν σύλλογον τῆς πόλεως καὶ ἀκούσας καὶ τοῖς ὀφθαλμοῖς ἰδών, ὡς τῆς φήμης διαδραμούσης ἄχρι Φωκίδος. οὐ μόνον οὖν, φησίν, ἤκουσα σύλλογον κατὰ σοῦ γεγενῆσθαι, ἀλλὰ καὶ παρὼν εἶδον. B.I.

730. ἰδὼν αὐτὸς σαφῶς: τὸ σαφῶς καὶ τὸ ἐναργῶς διαφέρουσι, κἂν δοκῶσιν εἶναι ταυτά. ἐναργὲς γὰρ λέγεται ὃ ὀφθαλμοὶ ὁρῶσι, σαφὲς δὲ ὅπερ χεὶρ ἐπαφᾶται. παχύτερον δὲ τὸ ἐπαφώμενον τοῦ ὁρωμένου δηλονότι καὶ ἐκδηλότερον· τὰ παχέα γὰρ τῶν λεπτῶν ἐκδηλότερα. ἐτυμολογεῖται δὲ τὸ σαφὲς παρὰ τὸ κρατεῖσθαι τῇ σῇ ἀφῇ, τὸ δὲ ἐναργὲς παρὰ τὴν ἐν πρόθεσιν καὶ τὸν ἄρα συλλογιστικὸν σύνδεσμον καὶ τὸ γίνεσθαι. ὁ δὲ ἄρα σύνδεσμος ἢ ἐρωτηματικός ἐστι καὶ προπερισπᾶται, ἢ συλλογιστικὸς καὶ ἀποφαντικὸς καὶ δηλωτικὸς ἀληθείας ἢ ψεύδους, καὶ παροξύνεται. παροξύνεται δὲ καὶ ὁ παραπληρωματικὸς ἄρα, ὃς καὶ ἂρ λέγεται. σαφὲς οὖν τὸ ἐπαφώμενον, ἐναργὲς δὲ τὸ ἐν τῷ ἄρα συλλογιστικῷ συνδέσμῳ γινόμενον καὶ ἐκ συλλογισμοῦ συνιστάμενον καὶ τρόπον τινὰ καθορώμενον. ἐντεῦθεν

1. παρὼν A. παριὼν C.M. Ceterum confer scholion inferius.
3. δηλονότι om. I.
4. ἐπιφέρει αὐτίκα λέγων] ἐπιφέρων αὐτίκα λέγει I.
5. αὐτὸς] αὐτίκα I.
ib. λέγει δὲ] δὲ om. I.
8. ἀφικόμην] ἀφίγμην Gu.
9. ὅσον] ὅσῳ I.
10. θᾶσσον] ἄλλως praef. in I.
12. ὡς τῆς—εἶδον] Haec etiam in M.
13. κατὰ σοῦ B. ἐπὶ σοῦ M. ἐπὶ σὲ I.
14. παρὼν] παριὼν I.
15. τὸ σαφῶς—] Grammatici recentis disputatio ab interpolatore scholiis illata. De etymologia vocabulorum ὄναρ et ὕπαρ alii grammatici alia non minus inepta commenti sunt, quae collegit Gaisford. in annot. ad Etym. M. p. 777, 34.

καὶ τὸ ἴναρ καὶ τὸ ὕπαρ, τὸ μὲν ὄναρ ἀπορούμενον εἰ ὄν ἐστιν ἆρα, ὡς ἂν εἴ τις εἴποι, ἆρα ὄν ἐστι τὸ ὄναρ, τὸ δὲ ὕπαρ καθὸ φανερώτερόν ἐστι καὶ τρόπον τινὰ καὶ ὁρώμενον ὀφθαλμοῖς ἀνεῳγόσιν ὑπὸ τὸ ἄρ ἐστι τὸ συλλογιστικὸν, ἤτοι ἀληθές. A.

732. τί τάδε: ἔστι. πῶς διάκεισαι; τί ποιεῖς, ὦ φίλτατέ μοι φίλων καὶ ἡλίκων καὶ τῆς συγγενείας; κατὰ πάντα γὰρ τάδε ὑπάρχει; μοι. I. πράσσεις: πάσχεις. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

734. οἰχόμεσθ᾽: ἀπολώλαμεν, ὡς ἐν βραχεῖ σοι λόγῳ τὰς ἐμὰς δυστυχίας δηλώσω. I.

735. συγκατασκάπτοις: συγκαταχωννύεις, συναναιρεῖς, συνδιαφθείρεις καὶ ἡμᾶς. I. τὸ κατασκάπτειν κυρίως ἐπὶ πόλεως, ἐνταῦθα δὲ καταχρηστικῶς εἴρηται. Gu. I. συγκατασκάπτοις: συγκαταβάλλοις. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. διαφθείροις, συναιροῖς. Gu.

736. Μενέλεως: ὁ Μενέλαος κάκιστος ἐφάνη εἰς ἐμὲ καὶ τὴν ἐμὴν ἀδελφήν. I.

737. εἰκότως: πρεπόντως. Fl. 17. 56. ἔχει. Gu.

738. ὥσπερ οὐκ ἐλθών: ὁμοίως μοι, φησὶ, προσηνέχθη ὡς μὴ παραγενόμενος ὅλως τὸ αὐτό μοι ἀπέδωκεν ὥσπερ μὴ μολών. A.B.C. M.I. ταυτόν: ὅμοιον. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὸ ἴσον ὥσπερ ἂν εἰ μὴ ἦλθε. Fl. 6.

740. χρόνιος: ἀντὶ τοῦ μετὰ χρόνον πολύν· ὅμως κἂν βραδὺ παρεγένετο, ἀλλὰ τάχιστα τοῖς φίλοις ἐφωράθη κακός. B.I. βραδέως ἦλθεν. Gr. Fl. 6. 9. 17. 56. 59. 76. ἐφωράθη: ἐφάνη. Gr. Florr. iidem et 34. κατελήφθη. Gu.

741. καὶ δάμαρτα: καὶ τὴν γυναῖκα τὴν κακοτροπωτάτην διὰ νεὼς ἦλθεν ἄγων. I.

742. οὐκ ἐκεῖνος: ἤγαγεν ἐκείνην. Gr. Fl. 6. 9. 17. 56. 59. 76. τοῦτο λέγει διὰ τὸ ὑπείκειν αὐτὸν πάντα τῇ γυναικὶ καὶ πρὸς τὸ ἐκείνης φέρεσθαι βούλημα. Gu. Fl. 6. διαβάλλει ὡς γυναικοκρά-

9. ἀπολώλαμεν et τὰς ἐμὰς δυστυχίας in Gr. ἵνα et ὀλίγῳ Gu.

11. συνδιαφθείρεις] Sic etiam M.

19. ὁμοίως μοι, φησὶ, προσηνέχθη C. ὁμοίως μοι φησὶν οὖν ἠνέχθη A. οὕτως ἐμοὶ προσηνέχθη B.M.I.

20. ὅλως—μολών om. B.I.

31. ἐκείνης] δοκοῦν ἐκείνη Fl.

ib. γυναικοκρατούμενον] γυναικὶ κρατούμενον A.C.

τητον. Gu. οὐκ ἐκεῖνος: διαβάλλει ὡς γυναικοκρατούμενον αὐτὸν, καὶ ὡς οὐκ ἂν ἐληλυθότα εἰ μὴ παρεγεγόνει ἡ Ἑλένη. κωμῳδεῖται δὲ ὁ στίχος διὰ τὴν ταυτότητα. A.B.C.M.I.

743. ποῦ 'στιν ἣ—ὤλεσεν: ἀντὶ τοῦ ἡ ὀλέσασα. ὅτι Ἀττικὸν τὸ σχῆμα. M. τῷ ὑποτακτικῷ συννπάγει τὸν λόγον. ὀφείλων γὰρ εἰπεῖν, ποῦ ἐστιν ἡ γυνὴ, ἣ πλείστους Ἀχαιῶν ὤλεσεν; ὁ δέ φησι, ποῦ ἐστιν ἥτις γυνὴ πλείστους Ἀχαιῶν ὤλεσεν; Gr.

746. μή μ' ἰδεῖν: μὴ ἀνέξεσθαι. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

748. εὐλαβεῖτο: ἐδειλία, ὅπερ λέγουσιν οἱ κακοὶ φίλοι μὴ θέλοντες τοῖς φίλοις βοηθεῖν, λέγοντες εὐλαβούμεθα, ἤτοι δειλιῶμεν καὶ φοβούμεθα. γνησίου γὰρ φίλου τὸ ὑπὲρ δύναμιν τολμᾶν, ὅπερ εὐλαβεῖσθαι αὐτὸς ἔλεγεν. B.I. εὐλαβεῖσθαι ἔλεγεν. γνησίου γὰρ φίλου τὸ καὶ ὑπὲρ δύναμιν κάμνειν καὶ τολμᾶν ἤπερ εὐλαβεῖσθαι, ὅπερ λέγουσιν οἱ κακοὶ φίλοι μὴ θέλοντες τοῖς φίλοις συνελθεῖν, λέγοντες εὐλαβούμεθα. A.C.M.

749. σκῆψιν εἰς ποίαν: εἰς ποίαν πρόφασιν προχωρῶν; τοῦτο μαθὼν πάντ' ἔχω. I.

τοῦτο πάντ' ἔχω μαθών: τοῦτο δηλαδὴ νοήσας καὶ μαθὼν τὰ πάντα ἔχω, ἀντὶ τοῦ τὰ πάντα συμπεριελάμβανον καὶ ἐνόησα. A.

750. τὰς ἀρίστας: κατ' εἰρωνείαν λέγει. γράφεται καὶ κεκτημένος. ἐν ἤθει δὲ ταῦτα λέγει εἰρωνικῶς. A.C.M. κατ' εἰρωνείαν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

751. ἴσως σοι: ἴσως ἦλθε θυμούμενος κατὰ σοῦ ἕνεκα τῆς θυγατρός. Gr. θυμούμενος, ὀργιζόμενος. Gu.

752, αἰσθάνῃ: νοεῖς. τὴν τούτου συγγένειαν προέκρινε μᾶλλον ἢ τὴν τοῦ ἐμοῦ πατρός. I. νοεῖς. Gr. καλῶς ἐνόησας. Gu. τὸ τοῦδε κῆδος: τὴν συγγένειαν. M.

2. ἐληλυθότα] ἐληλύθει A.B.C.I.
ib. παρεγεγόνει C. παραγέγενεν ceteri. δὲ om. A.C.
3. ταυτότητα] ταυτολογίαν A. πραότητα B. In Flor. 10. sunt verba κωμῳδεῖται ὁ στίχος διὰ τὴν πραότητα.
4. τοῦ ἡ ὀλέσασα] τοῦ ὀλέσα (sic) M.
10. ἐδειλία om. B.
11. ἤτοι δειλιῶμεν καὶ φοβούμεθα om. B.
13. εὐλαβεῖσθαι ἔλεγεν om. M.
14. τὸ καὶ] καὶ τοῖς C.
ib. κάμνειν καὶ τολμᾶν—ὅπερ A C. κάμνειν εἴπερ εὐλαβεῖσθαι· τὸ γὰρ παρὰ δύναμιν τολμᾶν γνησίου φίλου, ὅπερ M.
ib. ἤπερ] εἴπερ C.
21. γράφεται καὶ] καὶ om. C.M.
22. ἐν ἤθει δὲ—εἰρωνικῶς] Haec etiam in B., omisso δέ.

753. κοὐκ ἐτόλμησεν: καὶ οὐχ ὑπέμεινεν ἀντιλαμβάνεσθαι τῶν σῶν πόνων παραγενόμενος. I. ἐκαρτέρησεν. Fl. 21. ἀντιλάζυσθαι: ἐκ τοῦ λαζύω λάζυμι λάζυμαι. M. Gu.

754. οὐ γάρ: οὐδαμῶς· οὐ γὰρ πολεμιστὴς ὑπάρχει, γενναῖος δ᾽ ἐν γυναιξί. I. αἰχμητής: πολεμιστής. Gr. ἀνδρεῖος. Gu.

755. ἐν κακοῖς: ἐν κινδύνοις, ὡς ἔοικεν, ὑπάρχεις μεγίστοις, καὶ ἀναγκαῖόν ἐστί σοι ἀποθανεῖν. I. ἆρ᾽ εἶ: εἰ ταῦθ᾽ οὕτως ἔχει. Gu. ἀναγκαῖον: ἀπαραίτητον, ἐπεὶ οὐκ ἔχεις τὸν βοηθήσοντα. Gu.

ἀναγκαῖον

ὠφέλιμον	ἀπαραίτητον
φλεβοτομηθῆναι	φαγεῖν πιεῖν
λυθῆναι. Gu.	

756. ψῆφον: χρεία ἐστὶ θέσθαι τοὺς πολίτας ψῆφον περὶ ἡμῶν ἐπὶ τῷ φόνῳ, τουτέστι διὰ τὸν φόνον, ὃν δηλονότι εἰργασάμεθα. Gr. I.

757. ἢ κρινεῖ τί χρῆμα λέξον: ὁ ἢ ἀντὶ τοῦ δή. ἀναστρεπτέον δὲ τὸν λόγον, τί δὴ κρινεῖ λέξον. ἢ οὕτως, τί δὲ ἡ ψῆφος κρινεῖ, εἰπὲ, ὅτι φοβοῦμαι. A.C.M. ἢ κρινεῖ: τί δὴ πρᾶγμα ἡ ψῆφος κρινεῖ; εἰπὲ, ὅτι δέδοικα. B.I. διὰ φόβου γὰρ ἔρχομαι: ἤγουν φοβοῦμαι. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

758. ἢ θανεῖν: κρινεῖ ἢ θανεῖν ἡμᾶς, ἢ ζῆν. ὁ λόγος δ᾽ οὐ μακρός ἐστι περὶ μακρῶν πραγμάτων. I. ὁ ἐμὸς λόγος περὶ μακρῶν λόγων οὐ μακρὸς γενήσεται. C.

759. φεῦγέ νυν λιπὼν μέλαθρα: κατὰ ἀντίστροφον λέγονται τὰ πρόσωπα ἀπὸ τοῦ φεῦγέ νυν λιπών· ὁ γὰρ Πυλάδης αὐτὸ λέγει μέχρι τοῦ, ἀλλὰ δῆτ᾽ ἔλθω. M. φεῦγέ νυν: τὸ νῦν ἀργὸν, ἢ ἀντὶ τοῦ γοῦν φεῦγε λοιπὸν σὺν τῇ ἀδελφῇ σου τοὺς οἴκους καταλιπών. I.

3. ἐκ (ἢ ἐκ M.) τοῦ om. Gu. In B. ὡς ἐκ τοῦ λαζῶ λάζυμαι καὶ λα . .
14. δηλονότι om. I. ἀμφ᾽ ἡμῶν in Fl. 33. explicatur καθ᾽ ἡμῶν.
16. δή. ἀναστρεπτέον δὲ τὸν] ἐν δεῖ. ἀντιστρεπτέον τὸν C.
17. κρινεῖ] κρίνει M. hic et infra et in lemmate.
18. εἰπὲ] εἶπον C. In A. est ἢ οὕτως. τὸ ἢ ἀντὶ τοῦ ἥτις αὐτὴ (scribe αὕτη) ἡ ψῆφος τί κρινεῖ λέξον:— Duplex in libris fuit scriptura, recta ἦ et vitiosa ἤ.
ib. τί δὴ B. qui lemma omittit. δὴ om. I.
26. τὸ νῦν ἀργὸν] ἀργὸν τὸ νῦν et ἀντὶ τοῦ λοιπόν etiam Gr. Fl. 59.

760. οὐχ ὁρᾷς: οὐ βλέπεις; πανταχόθεν φυλασσόμεθα φρουροῖς. I.

761. εἶδον ἄστεως: εἶδον τὰς ῥύμας τῆς πόλεως δι' ὅπλων φυλαττομένας, ἀντὶ τοῦ ὑπ' ἀνδρῶν ὡπλισμένων ὠχυρωμένας. I. ἀγυιάς: ῥύμας. Gr. ῥυμίδας, ὁδούς. Gu. τεύχεσιν πεφραγμένας: ὀχυρώμασι στρατιωτικοῖς καὶ τάγμασι. B. ἀντὶ τοῦ ὡπλισμένοις ἀνδράσιν ὠχυρωμένας. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἠσφαλισμένας. Gu.

762. ὥσπερεί: καθὰ πόλις κυκλοῦται παρὰ τῶν ἐχθρῶν, κατὰ τὸ σῶμα κυκλούμεθα. I. πυργηρούμεθα: κυκλούμεθα. Gr. περικυκλούμεθα. Gu. πολιορκούμεθα, φυλασσόμεθα. Gu.

763. κἀμὲ νῦν ἐροῦ: ἐρώτησον νῦν καὶ ἐμὲ τί πανθάνω· καὶ γὰρ ἐγὼ αὐτὸς φθείρομαι. I.

764. πρὸς τίνος: παρὰ τίνος; τοῦτο, τὸ οἴχεσθαί σε δηλονότι, προσυπάρχει τοῖς ἐμοῖς κακὸν κακοῖς. I.

765. Στρόφιος, ὁ ἐμὸς πατὴρ, ἐξώρισέ με τῶν οἴκων θυμωθείς. I. Ἀναξιβίαν τὴν Ἀγαμέμνονος ἀδελφὴν ὁ Στρόφιος ἔγημεν, ἐξ ἧς ἔφυσε τὸν Πυλάδην. ἀνεψιοὶ ἄρα Πυλάδης καὶ Ὀρέστης. A.B.C. M.I. ὁ Στρόφιος, ὁ ἐμὸς πατὴρ, ὀργισθεὶς ἤλασέ με ἀπὸ τῶν οἴκων, φυγάδα ποιήσας δηλονότι, ἤγουν ἐξόριστον. λέγεται δὲ ἀντιστρόφως, ἀντὶ τοῦ ἀπελάσας τῶν οἴκων, ἐξόριστον ἐποίησεν. Gr. I.

766. ἴδιον: πρὸς αὐτὸν ἰδίως ἀποβλέπον ἔγκλημά τι, ἤγουν ἁμάρτημα ἐπιφέρων σοι, τουτέστι κατηγορῶν σου, ἢ κοινὸν τοῖς πολίταις. Gr. I. πότερον ἰδίᾳ κατὰ τὴν οἰκίαν ἡμαρτηκότι σοι ἐγκαλῶν, ἢ ἐν δημοσίῳ τινὶ πράγματι ἴδιον ἐπιφέρων σοι ἔγκλημα. A. B.C.M.I. κοινὸν πολίταις: ἀντὶ τοῦ πολιτῶν. M.

767. ὅτι συνηράμην: ὅτι συνέπραξά σοι λέγων τὸν τῆς μη-

17. Στρόφιος (στροφίος B. in textu et in scholio) ante Ἀναξιβίαν I. ὁ om. B.M.I.

18. ἀνεψιοὶ ἄρα—ὀρέστης A.C. ὅθεν ἀνεψιοὶ (ἀνεψιοὶ post πυλάδης I.) ὀρέστης καὶ πυλάδης B.M.I.

20. ἤγουν om. I. Verba ποιήσας δηλονότι ἤγουν ἐξόριστον leguntur in scholio Gr. et ab Gu. inter versus.

22. πρὸς] ἤγουν πρὸς I.

ib. ἀποβλέπον] ἀποβλέπων I.

ib. τι om. I.

23. κοινὸν] κρίσιν I.

24. πότερον] ἄλλως praef. in I. In C. est πότερον ἰ . . . . ὀν ἔστι τὴν οἰκίαν etc.

ib. ἡμαρτηκότι B.M. Flor. 21. ἡμαρτηκότα C. ὄντι I.

25. ἴδιον] κοινὸν Matth.

ib. σοι om. A.C.

πρός σου ἄδικον φόνον. I. συνέπραξα. Gr. ἐβοήθησα, συνεψηφισάμην. Gu.

768. ὦ τάλας: ὦ τάλας ἐγὼ, δοκοῦσιν αἱ ἐμαὶ δυστυχίαι καὶ σὲ λυπήσειν. Gr. I.

769. οὐχὶ Μενέλεω: οὐ χρώμεθα τοῖς Μενελάου ἤθεσιν· ἄξιον φέρειν ταῦτα. I. οἰστέον τάδε: βαστακτέον τάδε. M. ὑπομονητέον. Gu.

770. οὐ φοβῇ: ἵνα μή σε οἱ Ἀργεῖοι, ὥσπερ καὶ ἐμὲ, ἀποκτεῖναι θελήσωσιν. I.

771. οὐ προσήκομεν: οὐχ ἁρμόζομεν κολάζεσθαι ὑπὸ τούτων, ὑπὸ τῆς γῆς δὲ τῶν Φωκέων. Gr. I. οὐχ ὑποταττόμεθα, οἷον, ἐν τῇ τῶν Φωκέων γῇ τούτοις τοῖς Ἀργείοις, ὥστε ἡμᾶς κολάζειν, ἀντὶ τοῦ κολάζεσθαι. ὁ νοῦς, δυνήσονταί σε φονεῦσαι ὑπερβαίνοντες τὸν νόμον. δεινὸν γὰρ οἱ πολλοὶ, καὶ τὰ ἑξῆς. A.M. Ἄλλως. οὐχ ὑποτασσόμεθα τούτοις εἰς τὸ τιμωρεῖσθαι ἡμᾶς, οὐδ' ὑποκείμεθα, ἀλλὰ τοῖς Φωκεῦσιν. Ἄλλως. ἰδίως εἶπεν· τὰ γὰρ ἐπιτίμια τῆς ἀδικίας ἡ ἀδικουμένη πόλις εἴωθεν ἐπιτιθέναι. Ἄλλως. θαρσύνων αὐτὸν, φησὶν, εἶπεν ὅτι οὐ προσήκομεν εἰς τὸ κολάζεσθαι τοῖς Ἀργείοις. A.B.I.

772. δεινὸν οἱ πολλοί: χαλεπὸν τὸ πλῆθος, ὅταν πανούργους ἄρχοντας ἔχῃ. I. εἰς Κλεοφῶντα ταῦτα αἰνίττεται πρὸ ἐτῶν δύο ἐμποδίσαντα ταῖς σπονδαῖς. Ἄλλως. ἴσως αἰνίττεται πρὸς τὰς καθ' αὐτὸν δημαγωγίας, μήποτε δὲ εἰς Κλεοφῶντα· πρὸ ἐτῶν γὰρ δύο τῆς διδασκαλίας τοῦ Ὀρέστου αὐτός ἐστιν ὁ κωλύσας σπονδὰς γενέσθαι Ἀθηναίοις πρὸς Λακεδαιμονίους, ὡς Φιλόχορος ἱστορεῖ. ὁ δὲ

10. οὐχ (ἄλλως. οὐχ I.) ὑποτασσόμεθα (ὑποταττόμεθα M.)] Lemma οὐ προσήκομεν κολάζειν praefixum in A. M., scholion ipsum autem in A. sic conformatum, οὐχ ὑποταττόμεθα τοῖς ἀργείοις ὥστε ἡμᾶς κολάζειν. ἄλλως. οὐχ ὑποταττόμεθα, οἷον ἐν τῇ τῶν φωκέων γῇ τούτοις τοῖς ἀργείοις ὥστε ἡμᾶς κολάζειν. ἢ τὸ κολάζειν ἀντὶ τοῦ κολάζεσθαι. ὁ δὲ νοῦς, δυνήσονταί σε φονεῦσαι ὑπερβάντες τὸν νόμον. δεινὸν γὰρ οἱ πολλοὶ, καὶ τὰ ἑξῆς. ἄλλως. θαρσύνων αὐτὸν, φησὶν. εἶπεν ὅτι—ἀργείοις :— In C. est ἐν τῇ γῇ. γῇ δὲ τῶν φωκέων ἐφοβούμην κολάζεσθαι, ἐνταῦθα δὲ οὔ. ἀλλ' ὅταν, φησὶ, χρηστοὺς καὶ κολακευτικοὺς λάβωσι τοὺς προστάτας, χρηστοὶ γίνονται :— Post ἀργείοις A. pergit ἰδίως δὲ εἶπεν· τὰ γὰρ—ἀδικοῦσιν ἀδικουμένη — ἐπιτιθέναι. εἰς κλεοφῶντα etc.

14. τιμωρεῖσθαι] τιμωρῆσαι I.

ib. οὐδ'] οὐχ I.

15. Post Φωκεῦσι in B. I. leguntur verba ὁ δὲ νοῦς, δυνήσονται—καὶ τὰ ἑξῆς, quae supra ex M. apposuimus et repetuntur in B.M.I. in schol. ad v. 772.

ib. τῆς ἀδικίας] τοῖς ἀδικοῦσιν I.

17. εἶπεν addidi ex A.

19. πρὸ ἐτῶν—σπονδαῖς om. A. in lacuna.

23. γενέσθαι] θέσθαι M.

ib. Conf. Diodor. 13, 53. cum

νοῦς· δυνήσονταί σε, φησὶ, φονεῦσαι ὑπερβάντε, τὸν νόμον· δεινὸν γὰρ οἱ πολλοὶ, καὶ τὰ ἑξῆς. A.B.M.I.

773. ἀλλ' ὅταν χρηστούς: ναὶ δηλονότι· ἀλλ' ὅταν προστάτας λάβῃ χρηστοὺς, ἀεὶ χρηστὰ βουλεύεται. I. ἀλλ' ὅταν, φησὶ, χρηστοὺς καὶ κολακευτικοὺς λάβωσι τοὺς δεομένους, χρηστοὶ γίνονται. A.B.M.I. ὡς οὐδὲν μέλον αὐτῷ εἴτε χαλεποί εἰσιν εἴτε χρηστοὶ, τοῦτό φησι προστάτας. Gr.

774. εἶεν: ἀντὶ τοῦ καὶ ταῦτα μὲν οὕτως. οἷον κοινῶς ὀφείλομεν σκοπεῖν καὶ λέγειν τὰ δόξαντα. B.C.M.I. ἔστω ταῦτα. Gr. εἰς κοινὸν λέγειν χρή: ἤγουν βουλεύεσθαι χρή. Gr. κοινολογεῖσθαι πρέπει. χρὴ λέγειν ἡμᾶς εἰς κοινὴν ὠφέλειαν. Gu. εἰς κοινὴν βουλήν. Fl. 33.

775. ἐλθών: ἀπελθών. Gr. Fl. 6. 9. 17. 56. 59. 76. ὡς ἔδρασας ἔνδικα: τοῦτο, φησὶν, ἐρεῖς δῆτα ὡς ἔδρασας ἔνδικα πατρὶ ἐπιτιμωρῶν ἑαυτοῦ. δίκαια γὰρ ἔπραξας πατρὶ τιμωρῶν ἑαυτοῦ. M. τοῦτο, φησὶν, ἐρεῖς, ὅτι ἔνδικα ἔπραξας τὴν μητέρα ἀποκτείνας. B.I.

776. πατρὶ τιμωρῶν ἐμαυτοῦ: ἔνδικα γὰρ ἔπραξα, φησὶ, τὸν ἐμαυτοῦ πατέρα διεκδικῶν. B.I. ναί. Gr. δίκαια. Gu. βοηθῶν. Gr. μὴ λάβωσι: ὅρα ἵνα μή σε ἡδέως λάβωσι. I. ὑποπτεύω μή σε λάβωσι μετὰ προθυμίας καὶ κτείνωσί σε. C. ἐπιθυμοῦσι γὰρ τοῦ σοῦ φόνου, ὥστε, ἣν ἴδοιεν ἀφιγμένον ἐκεῖ σε καὶ λέγειν ἐπιχειροῦντα ὡς δικαίως τὸν φόνον εἴργασαι, ταχέως κατὰ σοῦ ψῆφον θανάτου ἐνέγκοιεν. τοῦτο δὲ λέγει ὁ Πυλάδης πρὸς τὸν τοῦ Ὀρέστου λόγον τὸν "πατρὶ τιμωρῶν ἐμαυτοῦ." εἰ γὰρ καὶ πρώην αὐτὸς ὑπετίθει αὐτῷ μὴ ἄλλο λέγειν τοῖς πολίταις ἢ ὡς ἔδρασεν ἔνδικα, ἀλλὰ νῦν ὥσπερ ὑποστέλλεται, εἰδὼς τοὺς πολίτας πρὸς τὸν Τυνδά-

annot. Wessel. et Valcken. Diatr. in Eur. Fragm. p. 256.

p. 198. l. 23. ὁ δὲ νοῦς] καὶ M., qui supra ὁ νοῦς.

ib. ὁ δὲ νοῦς—καὶ τὰ ἑξῆς hic om. A., sed habet supra, ut modo diximus.

1. φησὶ B. om. supra.

ib. ὑπερβάντες] ὑπερβαίνοντες M. supra.

3. ἀλλ' ὅταν B. ὅταν A.M. ἄλλως. ἀλλ' ὅταν I. In A. lemma praefixum ἀλλ' ὅταν χρηστοὺς λάβωσι.

5. τοὺς δεομένους] τοῖς δεομένοις A.

6. μέλον] μέλλον Gr.

8. ἀντὶ τοῦ om. I. ἀντὶ—οὕτως om. C., sed addit ἄγε δή.

ib. καὶ addidi ex M.

ib. οἷον om. B.I.

ib. κοινῶς] κοινῶς δ' I.

13. ὡς ἔδρασας—] ὡς ἔπραξας ἔνδικα πατρὶ ἐπιτιμωρῶν ἐμαυτοῦ:—reliquis omissis in A. qui scholion hoc a m. recentiore habet.

23. ἐνέγκοιεν] ἐξενέγκοιεν I.

24. λόγον τὸν] λόγον τῷ I.

ρεων μᾶλλον νεύοντας. Gu. I. μὴ λάβωσι: σκόπει, πρόσεχε μὴ κατασχεθῇς. Gu. ἄσμενοι: ἀντὶ τοῦ ἀσμένως, ἤγουν ἡδέως. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. χαίροντες. Gu. Fl. 10.

777. ἀλλ' ὑποπτήξας: πτήσσω τὸ φοβοῦμαι. παρὰ τὸ πέτω πίπτω πτῶ πτήζω. ὁ γὰρ φοβούμενος πίπτοντι ἔοικεν. B. rec. ἀλλ' ὑποσταλεὶς σὺν σιωπῇ ἀποθάνω; I. δειλιάσας. Fl. 33. καὶ ὑποσταλεὶς καὶ οὐκ εἰπὼν ὡς ὑπὲρ τοῦ πατρὸς τοῦτ' ἔδρασα, ἀλλ' ἐν φόβῳ καὶ σιωπῇ θάνω; Gu. δεινὸν τόδε: χαλεπὸν τοῦτο. I. δεινόν: χαλεπόν. Gr. τὸ μετὰ σιωπῆς τεθνάναι. Gu.

778. πῶς ἂν οὖν δρῴην: πῶς οὖν ἂν ποιήσαιμι; I. εἴπερ τὸ μὲν σιωπᾶν δειλὸν, τὸ δὲ λέγειν ἐπικίνδυνον. Gu. ἔχεις τίν': ἔχεις τινὰ, ἣν μένῃς, ἐλπίδα σωτηρίας; I.

779. μολόντι: ἐλθόντι δέ σοι, φησὶν, εἰς τὴν ἐκκλησίαν, ἔνεστιν ἐλπὶς εὑρεῖν ἀπαλλαγὴν τῶν δεινῶν. μαθὼν οὖν τοῦτο συναινεῖ καὶ αὐτὸς παραγενέσθαι τὸν Ὀρέστην εἰς τὴν ἐκκλησίαν, διεγνωκὼς ἅπαξ οὐκ οὖσαν αὐτῷ σωτηρίας ἀφορμὴν ἄλλοθεν. B.C.M.I. μολόντα: ἀπελθόντα. Gr. εἰς τὴν ἐκκλησίαν. Gu. ἀπελθόντα, ἐν τοῖς Ἀργείοις. Cant. σωθῆναι: εὑρεῖν ἀπαλλαγὴν τῶν κακῶν. Gu. κακῶν: ἀπὸ τῶν κινδύνων. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

780. εἰ τύχοι: ἀντὶ τοῦ εἰ συμβαίη, οἷον ἀμφίβολόν ἐστι τοῦτο. B.C.M.I. οὐκοῦν: κρεῖσσον λοιπόν ἐστι τὸ παραγενέσθαι ἐκεῖσε ἢ μένειν ἐνταῦθα. B.M. τὸ ἀπελθεῖν λοιπὸν κρεῖττον ἢ μένειν. I.

781. ἀλλὰ δῆτ' ἔλθω: καὶ δῆτα ἀπέλθω. τὰ συμβουλευτικὰ μετὰ ὑποτακτικῶν λέγονται. Gr. Fl. 6. 9. 17. 56. 59. 76. ὧδε: ἐν τῷ ἀπελθεῖν ἐκεῖσε Gu. Fl. iidem et 21. θανὼν γοῦν ὧδε: κἂν

13. σοι om. I.

ib. ἔνεστιν—διεγνωκὼς] ἔστιν εὑρεῖν ἀπαλλαγὴν τῶν κακῶν, (sic etiam in C., qui praecedentia quoque verba habet ἐλθόντι δὲ σοὶ φ. εἰς τὴν ἐ.) ὡς αὐτὸς συναινεῖ τὸ χρῆναι παραγενέσθαι. φησὶν, τὸν ὀρέστην εἰς τὴν ἐκκλησίαν ἐγνωκὼς M.

14. μαθὼν—ἄλλοθεν] Haec in C. leguntur post ἐστι τὸ τοιοῦτον (quo finitur scholion v. 780.) sic scripta, οὐκοῦν καὶ αὐτὸς συναινεῖ τὸ χρῆναι παραγενέσθαι τὸν ὀρέστην εἰς τὴν ἐκκλησίαν.

16. σωτηρίας] σωτηρίαν M. et qui ἀφορμὴν omittit C.

ib. ἄλλοθεν om. M.

20. ἀντὶ τοῦ om. C. οἷον om. M.

ib. ἀμφίβολον] ἀμφιβολίαις (scr. –ία) C.

ib. τοῦτο om. M. τὸ τοιοῦτον C. τὸ τοῦτο B.

21. κρεῖσσον λοιπόν ἐστι] λείπει τὸ κρεῖσσόν ἐστι M.

ib. ἐκεῖσε] ἐκεῖ M.

22. ἐνταῦθα om. M.

24. ὑποτακτικῶν] ὑποτακτικοῦ Florr.

25. κἂν ἀποθάνῃς] καὶ εἰ ἀποθάνω A.

ἀποθάνῃς, φησὶ, κατὰ τὴν ἐκκλησίαν ἐνδόξως τεθνήξει, ὡς καὶ πρὸς τὸν θάνατον ἀφόβως ὁρμήσας καὶ μετὰ τοῦ δικαίου παρρησιασάμενος. A.B.M. Gu. I.

782. καὶ τὸ πρᾶγμά γ' ἔνδικόν μοι: ἀλλὰ καὶ τὸ πρᾶγμά μου, φησὶ, δικαίως ἔρρωταί μοι καὶ κατησφάλισται· πατροκτόνον γὰρ ἀνεῖλον, ὅθεν καὶ ἐλεηθήσεσθαι προσδοκῶ. ἢ τοῦτο ἀκόλουθόν ἐστιν εἰς τὸ ἀλλὰ δῆτ' ἔλθω· ἔλθω, φησὶ, καὶ τὸ πρᾶγμα ἔνδικόν μοι. ἔπραξα γὰρ τὸν φόνον τὸν μητρῷον, διὰ τὸν θάνατον ἀσχάλλων τὸν πατρῷον. ἔξωθεν δὲ προσυπακουστέον τὸ προσεδόκων ἐλέους τεύξεσθαι διὰ τὸν θάνατον. A.B.M.I.

καὶ τὸ πρᾶγμα: ὃ μέλλω προβάλλεσθαι, λέγω τὸν τοῦ πατρὸς (δηλονότι add. Fl.) φόνον. Gu. Fl. 6. ἔνδικον: ἔντιμον, ἤγουν δικαιώσει με, καὶ διὰ τοῦτο ἔννομον ἔσται μοι. Gr. Fl. 6. 9. 21. 56. 59. 76. τῷ δοκεῖν: τῇ δόξῃ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὸ νομίζεσθαι καλῶς λέγειν. Fl. 6. φαίνεσθαι κἀκείνοις ἔνδικον, τοῖς πᾶσι τοῦτο καλόν. Gu.

τὸ δοκεῖν εὔχου μόνον: εὔχου, φησὶ, πάντας οὕτω δοξάζειν, ὅτι δίκαιόν ἐστι τὸ πρᾶγμα. ἐπεὶ πολλοῖς ἐδόκει ἄδικον εἶναι. καὶ Σιμωνίδης "τὸ δοκεῖν καὶ τὴν ἀλήθειαν βιάζεται." ὁ δὲ Ὀρέστης, καλῶς εἶπας· φεύγω τὸ δειλὸν διὰ τὸ ἐκεῖ παραγενέσθαι, τουτέστι φεύγω τὸ εἶναι δειλὸς, οὐ παρέχω δειλίας ὑπόνοιαν, ὡς μὴ ἔνδικα πράξας, καὶ διὰ τοῦτο τὸ κριτήριον ἀποφεύγων. B.M.I.

1. κατὰ τὴν ἐκκλησίαν] ἐν τῇ ἐκκλησίᾳ I.

ib. ἐνδόξως] ἀφόβως I. In Gu. verbis ἐνδόξως τεθνήξει substitutum est κάλλιον ἔσῃ.

ib. τεθνήξει B. τεθνήξῃ A.M. Gu. I.

ib. πρὸς τὸν θάνατον ἀφόβως] πρὸς θάνατον Gu., omisso ἀφόβως.

2. μετὰ] ὑπὲρ Gu.

4. μου] μοι A.

5. καὶ κατησφάλισται om. A.M.

6. ὅθεν καὶ ἐλεηθήσεσθαι προσδοκῶ] ὅθεν ἐλεηθήσομαι προσδοκῶν M.

6.—10. ἢ τοῦτο—τεύξεσθαι διὰ τὸν θάνατον] Haec in A. leguntur ad v. 784. post verba πρὸς τὸν ἔλεον ἢ εὐγένεια, sic scripta, ἢ τοῦτο ἀκόλουθόν ἐστιν, ἀλλὰ δῆτ' ἔλθω, ἢ τὸ καὶ τὸ πρᾶγμα ἔνδικόν μοι. ἔπραξα γὰρ τὸν φόνον διὰ τὸν θάνατον ἀσχάλλων—θάνατον:—Verum videtur quod est in B.I. nisi quod τῷ scribendum pro εἰς τὸ, quod omittunt A.M.

7. εἰς τὸ et ἔλθω φησὶ om. A.

9. ἔξωθεν] ἔξω B.I.

ib. τὸ om. B.I. Iidem καὶ ἐλέους.

13. ἔννομον] ἔντιμον Gr.

19. τὴν ἀλήθειαν βιάζεται] Simonidis verba fuerunt τὰν ἀλάθειαν βιᾶται: vid. ad schol. v. 234.

20. καλῶς εἶπας B. καλῶς λέγει I. Verba ὁ δὲ ὀρέστης καλῶς εἶπας om. M.

ib. τουτέστι om. M.

21. οὐ παρέχω—ἀποφεύγων om. M.

φεύγω τὸ δειλόν: τὴν δειλίαν, ἀντὶ τοῦ τὴν ὑποψίαν τῆς δειλίας. Gr. I. *τῇδε*: τοῦτον τὸν τρόπον. τὸ τῇδε ἀντὶ τοῦ οὕτως, εἰ ἐκεῖ ἀπέλθω. ἢ τὸ τῇδε ἀντὶ τοῦ ἐνταῦθα, φεύγω τὸ ἐνταῦθα δειλὸν, ἤγουν τὸ μένειν ἐνταῦθα. τοῦτο γὰρ δειλόν. Gu. I. *μᾶλλον ἢ μένων*: φεύξῃ. κρεῖσσον γὰρ θανεῖν ἐκεῖσε ἢ ὧδε· τοῦτο γὰρ δειλία. Gu.

784. *καὶ τίς ἄν γέ μ᾽ οἰκτίσειε*: ἀντὶ τοῦ οἰκτίσαιτο. Gr. τὸ ἑξῆς, καὶ τίς ἄν γέ μ᾽ οἰκτίσαιτο θάνατον ἀσχάλλων πατρῷον, ἤγουν τὸν τοῦ ἐμοῦ πατρός. τὸ "μέγα γὰρ ηὐγένειά σου" διὰ μέσου κεῖται. Gr. I.

μέγα γὰρ ηὐγένειά σου: οἷον, ἡ εὐγένεια καὶ τὸ ἀπελθεῖν εἰς τὸ κριτήριον εὐθαρσῶς καὶ ὁ θάνατος τοῦ πατρός. ταῦτα πάντα παρὰ τῶν Ἑλλήνων γινώσκονται πρὸ ὀφθαλμῶν ὄντα καὶ ἐλπίδας ἀγαθὰς ὑποτίθεται. B. οἷον διὰ τὸ εὐγενὲς ἐλεηθήσῃ, τουτέστι, πάνυ σοι συμβάλλεται πρὸς τὸν ἔλεον ἡ εὐγένεια. A.B.M.I.

785. *θάνατον ἀσχάλλων πατρῷον*: λείπει ἡ διά, διὰ τὸν θάνατον. A.B.M. ἔπραξα, φησὶ, τὸν μητρῷον φόνον ἀσχάλλων διὰ τὸν θάνατον τοῦ πατρός. B.I. τὸ δὲ ἑξῆς, καὶ τίς ἄν με οἰκτίσειεν ἀσχάλλων διὰ τὸν τοῦ πατρὸς θάνατον; A.B.M.I. *ἀσχάλλων*: ἀγανακτῶν. Gr. λυπούμενος. Gu. τὸ θάνατον ἀσχάλλων πατρῷον πρὸς τὸ τίς ἄν γέ μ᾽ οἰκτίσειε συνάπτεται, ἔτεμε δὲ ὁ Πυλάδης τὸν λόγον διὰ τοῦ "μέγα γὰρ ηὐγένειά σου." Gu. *πάντα*: πάντα ταῦτα προφανῆ εἰσι. I. *ἐν ὄμμασιν*: ἐν τῷ φανερῷ, ἤγουν προφανῆ εἰσιν. Gr.

1. τὴν δειλίαν om. I.

ib. ὑποψίαν Gr. ὑπεροψίαν I.

3. ἀπέλθω Gu. ἀπελθὼν I. In Gu. verba οὕτως, εἰ ἐκεῖ ἀπέλθω scripta sunt supra τῇδε, sequentia in marg. In I. verba τοῦτον τὸν τρόπον etc. praecedentibus continuantur. King. τοῦτον τὸν τρόπον ad superius scholion rettulit et scripsit, τῇδε: ἀντὶ τοῦ οὕτως.

ib. φεύγω Gu. ἤγουν φεύγω I.

7. ἀντὶ τοῦ οἰκτίσαιτο] οἰκτίσαιτο etiam in Florr. 6. 9. 17. 21. 56. 59. 76. e quibus ultima τὸ μέγα—κεῖται addidi. MATTH.

9. τὸν τοῦ] τὸν om. I.

11. οἷον] ἤγουν I., om A.

12. ταῦτα—ὑποτίθεται] Haec ad v. 785. spectant. Conf. p. 203, 1.

14. τουτέστι] οἷον A.I.

16. διὰ τὸν θάνατον om. A.M.

17. μητρῷον φόνον] θάνατον τῆς μητρὸς I.

18. τὸ ἑξῆς (omisso δὲ) καὶ τίς ἄν γέ μ᾽ οἰκτίσατο (sic) θάνατον ἀσχάλων (sic) πατρῷον habet I. etiam supra post τοῦτο γὰρ δειλόν in fine scholii ad v. 782.

ib. ἀσχάλλων post τὸν διὰ τοῦ πατρὸς habent B.I.

Fl. 6. 9. 17. 21. 56. 59. 76. πάντα ταῦτα ἴσασιν οἱ Ἕλληνες καὶ πρὸ ὀφθαλμῶν εἰσιν. M. πρὸ τῶν ὀμμάτων εἰσὶ καὶ ἴσασιν αὐτὰ οἱ Ἕλληνες. Fl. 10. ἤγουν ἡ σὴ εὐγένεια καὶ ὁ τοῦ πατρὸς φόνος φανερά εἰσι τοῖς Ἀργείοις τῶν δικαστῶν. Gu.

786. ἰτέον: πορευτέον. M. ἄξιον ἀπελθεῖν, ὅτι δειλόν ἐστι τὸ ἀδόξως ἀποθανεῖν. I. ἄνανδρον: ἀνάνδρων ἀνθρώπων, ἤγουν δειλῶν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τοῦτο δὲ ἔσται, εἰ ἐνταῦθα μένω. Gu. αἰνῶ τάδε: συναινῶ. Gr. συναινῶ ταῦτα. I.

787. ἢ λέγωμεν: ἆρα βούλει ἵνα εἴπωμεν τῇ ἀδελφῇ μου ταῦτα; I. μὴ πρὸς θεῶν: μὴ λέξωμεν πρὸς θεῶν. I. λέγωμεν. Gu.

788. δάκρυα γοῦν: εὖ λέγεις· εἰ εἴποιμεν γάρ, εἰς δάκρυα τραπῆναι μέλλομεν. Gu. γοῦν: τὸ γοῦν ἐνταῦθα ἔμφασιν τοῦ γάρ ἔχει, ὅπερ καὶ ἐν ποιήσει καὶ λογογραφίᾳ εὑρήσεις. Gu. I.

γένοιτ' ἄν: αὐτῇ μαθούσῃ. Gu. αὐτῇ δηλονότι. B. οὐκοῦν οὗτος: οὐκοῦν, φησί, παραιτητέον εἰπεῖν τῇ ἀδελφῇ, ἐπεὶ δακρύσει. καὶ τοῦτο αὐτὸ κακὸς οἰωνὸς ἔσται. A.B.M.I.

Δέον οὕτως εἰπεῖν, οὐκοῦν τοῦτο, ὃ φῄς, ὡς εἰ γνώσεται ἡμᾶς ἀπερχομένους, κλαύσεται, μέγας οἰωνός ἐστιν, ἤγουν μέγα καὶ χαλεπὸν τεκμήριόν ἐστι πρὸς τὸν προκείμενον ἡμῖν ἀγῶνα· καὶ γάρ, ἡνίκα τι μέλλουσι πράττειν οἱ ἄνθρωποι, ἢν ἐκ προοιμίων δακρύοις καὶ λύπαις ἐντύχωσι, τεκμαίρονται ἐντεῦθεν ὡς οὐ καλῶς, οὐδ' ἀκινδύνως τουτὶ διανύσουσι. δέον οὕτως εἰπεῖν, ὁ δὲ εἴρηκεν, οὐκοῦν οὗτος οἰωνὸς μέγας, πρὸς τὸ οἰωνὸς τὸ οὗτος ποιήσας, ὥσπερ ἐστὶ καὶ τὸ " ξύλινον μόρον ἐξευρόντες, ἣν παγίδα καλέουσι," καὶ ἕτερα μυρία τοιαῦτα παρὰ ποιηταῖς καὶ λογογράφοις εὑρήσεις. Gu. I. οὗτος οἰωνός: ἡ δακρύρροια. Gr. σημεῖον κακοῦ μέγα. Gr. Fl. 21. τὰ δάκρυα δηλονότι. B. Fl. 21.

789. δηλαδή: ἀντὶ τοῦ δῆλον δή, ὡς τὸ πότερα ἀντὶ τοῦ πότερον.

15. δακρύσει] δακρύει A.M.
16. ἔσται] τὸ δάκρυον δηλονότι add. I. τουτέστι τὸ δάκρυον B.
17. Δέον] ἄλλως. δέον I.
20. οἱ ἄνθρωποι] οἱ om. Gu.
ib. ἐκ προοιμίων δακρύοις καὶ λύπαις] ἐν προοιμίοις λύπαις I.
24. ἐξευρόντες] εὑρόντες Gu.
ib. μυρία ἐστὶ τοιαῦτα παρὰ τοῖς ποιηταῖς καὶ τοῖς λογογράφοις I. Quod dedi, est in Gu. King. edidit ξυλ. δόλον ἐξευρόντες, ἣν π. κ. ut vulgo editur Batrachom. 115. sed et ibi Oxon. A. B. Vind. 241. Lips. Vratisl. schol. Soph. Antig. 100. μόρον habent. MATTH. Post εὑρήσεις pergit Gu. τὸ δὲ τῷ χρόνῳ etc. (schol. v. 789.)

Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. δηλαδή: ἐπίρρημα βεβαιώσεως. Florr. iidem. ὁμολογουμένως. Gu.

τῷ χρόνῳ: τῇ ὑπερθέσει τῶν θρηνημάτων αὐτῆς κερδανεῖς, ὅ ἐστι, κἂν μὴ τὸ ἀπὸ τοῦ νῦν θρηνεῖσθαι κερδανεῖς. Ἄλλως. κερδανεῖς, φησὶ, τὸ μὴ δακρῦσαι αὐτὴν, καὶ γενέσθαι κακὸν οἰωνὸν ἐν τῷ μεταξὺ τῆς κρίσεως χρόνῳ, τουτέστιν ἕως ἂν ἡ κρίσις ἐξενεχθῇ. A.B.M.I. τὸ δὲ τῷ χρόνῳ δὲ κερδανεῖς, τοῦτο λέγει, ὡς, εἰ μὴ νῦν μαθοῦσα δακρύσει, ἀλλ' ὕστερον, κέρδος ἕξεις τὸν χρόνον, ἐπειδὴ τὸ μὲν πρὸ τοῦ ἀγῶνος δακρῦσαι τεκμήριον χαλεπὸν, ὡς ἔφαμεν, ἣν δ' ὕστερον τοῦτο ποιήσῃ, οὐδὲν ἡμῖν τούτου μελήσει. Gu. I. διὰ τοῦ χρόνου, ἤγουν συντόμως πορευθῆναι. Fl. 6. διὰ τοῦ χρόνου. Gr. τοῦ μὴ νῦν αὐτὴν γνῶναί τι. Gu.

790. πρόσαντες: ἐμπόδιον, ἐναντίον. I. ἐναντίον, ἀντίξουν, ἐμπόδιον. B. ἐμπόδιον. Gr. δύσκολον. Gu. ἔστιν ἄντα ἐπίρρημα δηλοῦν τὸ ἐξεναντίας, ἀφ' οὗ τὸ πρόσαντες γράφεται καὶ τὸ ἄναντες καὶ τὸ κάταντες. Fl. 21. τί τόδε: τί ἐστι τόδε ὃ πάλιν λέγεις νέον; I. τί ἐστι τὸ καινὸν τόδε, ὃ λέγεις. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. αὖ λέγεις: γράφεται ἀγγελεῖς. Gr.

791. μὴ θεαί: δέδοικα μή πως με αὖθις αἱ θεαὶ τῇ μανίᾳ κατάσχωσι. I. ἀλλὰ κηδεύσω: ἀλλ' ἐγὼ ἐπιμελήσομαί σου. I. κυβερνήσω, δουλεύσω. Gu.

792. δυσχερές: βαρὺ ἅπτεσθαι ἀσθενοῦντος ἀνδρός. I. οὐκ ἐμοί γε σοῦ: ἀλλ' ἐμοὶ οὐχ ὑπάρχει δυσχερὲς τὸ ψαύειν σου. I.

793. εὐλαβοῦ: φοβοῦ μανίας μεταλαβεῖν τῆς ἐμῆς. I. φοβοῦ. Gr. ὑποστέλλου. Gu. ὑποστέλλου, ἤτοι πως φυλάσσου. Fl. 21. τὸ δ' οὖν ἴτω: τὸ μανῆναί με ἐλθέτω. Gr. I. τὸ μετασχεῖν τῆς σῆς λύσσης ἐμέ. Gu. γενέσθω τοῦτο μετασχεῖν με τῆς σῆς ἀρρωστίας. Fl. 21.

794. οὐκ ἄρ' ὀκνήσεις: οὐ φοβῇ σύ. ὀκνήσεις, φοβηθήσῃ, δειλιάσεις. Fl. 6. 9. 17. 21. 33. 56. 59. 76. ὄκνος γάρ: οὐδαμῶς φοβήσομαι· φόβος γὰρ τοῖς φίλοις ὑπάρχει μέγα κακόν. I.

ἕρπε νῦν: βάδιζε νῦν, πηδάλιον τῆς πορείας μου. I. συγχειρα-

4. μὴ τὸ] τὸ μὴ B.I. Verba ὅ ἐστι—θρηνεῖσθαι κερδανεῖς om. A.

7. τὸ δὲ—κερδανεῖς] Pro his ἄλλως est in I.

9. χαλεπὸν post ἔφαμεν I.

10. ποιήσῃ] ποιήσει I.

22. βαρὺ ἅπτεσθαι et οὐχ ὑπάρχει ἐμοὶ δ. ψαύειν σοῦ Gr.

γώγει μοι. Fl. 10. οἴαξ: οἴαξ τὸ ἐν τῷ αὐχενίῳ ἐμβεβλημένον ξύλον, ὃ κατέχων ὁ κυβερνήτης τὸ αὐχένιον περιάγει καὶ συστρέφει καὶ δι' ἐκείνου τὴν ναῦν. A. οἴαξ καλεῖται τὸ πηδάλιον. σὺ χειραγώγει με, φησὶ, καὶ ὥσπερ πηδάλιον διίθυνέ μου τὸν πόδα. B.M. αὐχένιον, ὁδηγέ. Fl. 33. ἰθυντήρ. Fl. 10. πηδάλιον, κυβέρνησις τῆς πορείας. Gr. ὁδηγός. Gu.

φίλα γ' ἔχων κηδεύματα: ἕρπω, φησὶν, ἔχων σε τὸν προσφιλέστατον συγγενῆ. νῦν γὰρ τὸ κῆδος ἐπὶ τῆς συγγενείας κεῖται· κυρίως δὲ ἡ ἐπιγαμβρία. B.M. ζητεῖται πῶς διαλαθὼν τοὺς φύλακας οὐ φεύγει ἐπὶ τὸ μνῆμα τοῦ πατρὸς ἀπιών. φαμὲν οὖν ὅτι τὰ μνήματα τῶν βασιλέων ἔσω τῆς πόλεως ἦν. οἱ δὲ ὅτι βαδίζοντα αὐτὸν πρὸς τὸν τάφον τοῦ πατρὸς οὐ διεκώλυον. B.M. βαδίζω, προσφιλεῖς ἔχων, ἀντὶ τοῦ ποιούμενος, ἐπιμελείας καὶ κυβερνήσεις. Gr. I. κηδεύματα: ὑπηρετήματα. Fl. 21. ἐπιγαμβρίαν. Fl. 33.

796. καί με πρὸς τάφον: ζητεῖται πῶς διαλαθὼν τοὺς φύλακας ἐπὶ τὸ μνῆμα τοῦ πατρὸς ἀπιὼν οὐ φεύγει. καὶ φασί τινες ὅτι βαδίζοντα αὐτὸν πρὸς τὸν τάφον τοῦ πατρὸς οὐκ ἐκώλυον. ἔνιοι δὲ λέγουσιν ὅτι τὰ τῶν βασιλέων μνήματα οὐκ ἐκτὸς ἦν τῆς πόλεως. A. καί με πρὸς τὸν τάφον ἄγε τοῦ πατρός. I. πόρευσον: ἆξον. Gr. ὅδευσον, ἄγαγε. Gu. ἔσω γὰρ ἦν τῆς πόλεως. Fl. 10. ὡς τί δή: τί τοῦτο εἴρηκας, ἢ ἵνα τί ἐκεῖσε θέλεις ἀπελθεῖν; B.I. τόδε: τὸ ἐκεῖ πορευθῆναί σε ὑπάρξῃ. Gu.

797. ὥς νιν ἱκετεύσω: ἵν' αὐτὸν παρακαλέσω σῶσαί με. B.I. τό γε δίκαιον: τὸ δρᾶν οὕτω δίκαιόν ἐστι. I. οὕτως ἀπελθεῖν πρὸς ἐκεῖνον καὶ ἱκετεῦσαι. Gu. τὸ τὸν πατέρα σου σῶσαί σε. B.M. Fl. 21. σεαυτὸν σῶσαι. Fl. 10.

798. μητέρος δέ: κατὰ κοινοῦ τοῦτο εἶπεν· συνθεωρεῖται γὰρ τὸ πρὸς τὴν μητέρα μῖσος, κἂν μὴ τοῦτο εἶπεν. A.B.M. τὸν μητρὸς

4. διίθυνε] ἴθυνε M.

9. ἡ ἐπιγαμβρία] ἐπιγαμβρίας B., recte, si ἐπὶ ἐπιγαμβρίας scribatur. Vitiosum autem ἐπιγαμβρία pro ἐπιγαμβρεία, ab ἐπιγαμβρεύω derivato.

ib. ζητεῖται] δὲ addit B.

11. ἔσω] ἔνδον B. Conf. l. 18. 20.

12. βαδίζω — κυβερνήσεις] βαδίζω, κυβερνήσεις, ἐπιμελείας καὶ κηδεύσεις ὑπὲρ σοῦ ποιούμενος I.

20. ὡς τί δὴ τόδε] In M. adscriptum γρ. τί τοῦτο εἴρηκας; ἢ ἵνα ᾖ, τί ἐκεῖσε θέλεις ἐλθεῖν;

23. ἵν' — παρακαλέσω] ὡς — ἱκετεύω B. In M. est ὡς αὐτὸν ἱκετεύσω σῶσαί με.

28. κἂν] καὶ A. Rectum est κεἰ.

δὲ μηδὲ θεάσαιμι τάφον. I. πολεμία γὰρ ἦν: ἐπειδὴ ἐχθρὰ ὑπῆρχεν. I.

799. ἀλλ' ἔπειγ': ἀλλ' ἐπείγου, ἵνα μή σε πρότερον ἡ καταδίκη προλάβῃ, περιβαλὼν τοῖς ἐμοῖς πλευροῖς τὰ σὰ πλευρὰ, τὰ ὑπὸ τῆς νόσου ἀσθενῆ καὶ δυσκίνητα, ὅτι ἐγὼ διὰ μέσης τῆς πόλεως οὐδαμῶς τοῦ πλήθους ἐπιστρεφόμενος βαστάσω σε μηδὲν ἐντραπείς. ποῦ γὰρ ὑπάρχων δείξω σοι πιστὸν φίλον ἐμαυτὸν, εἰ μὴ βοηθήσω σοι τανῦν ἐν δειναῖς συμφοραῖς ὄντι καὶ χαλεπαῖς; I.

ἔπειγε: ἤγουν ἐπίσπευδε σαυτὸν δηλονότι, τουτέστιν ἐπείγου. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. σπούδαζε, ἔλαυνε. Gu. πρόσθεν ἕλῃ: πρὸ τοῦ σε ἀπολογήσασθαι. M. ἀντὶ τοῦ προλάβῃ. Gr.

800. νωχελῆ: ὑπὸ τῆς νόσου δυσκίνητα, μὴ δυνάμενα κινεῖσθαι καὶ ὀκέλλειν· ἔνθεν καὶ ὁ κέλης καὶ τὸ κελλώνιον. ἤτοι δυσκίνητα, μὴ δυνάμενα ὀκέλλειν. A.B.M. περιβαλὼν τοῖς ἐμοῖς πλευροῖς τὰ σὰ πλευρὰ τὰ ὑπὸ τῆς νόσου δυσκίνητα. Gr. ἀσθενῆ καὶ βραδεῖαν. Gu. δυσκίνητα, μὴ δυνάμενα ἐκ τῆς νόσου κέλλειν (Fl. σκέλει) καὶ τρέχειν (om. Fl.), ὅθεν καὶ σκέλος. Gu. Fl. 10.

801. δι' ἄστεος: διὰ μέσης τῆς πόλεως. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. σμικρά: ἀντὶ τοῦ οὐδαμῶς. Gr. φροντίζων ὄχλου: μή με μέμψηται βαστάζοντά σε. Gu. οὐ φροντίσας τοῦ ὄχλου ὀχήσω καὶ βαστάσω σε διὰ μέσης τῆς πόλεως. A.B.M.I.

802. ὀχήσω: βαστάσω. Gr. πορεύσω. Gu. ἐπιφορτισθῶ. Fl. 33.

803. εἴ σε μὴ δειναῖς: ἀντὶ τοῦ μὴ ἐν δειναῖς. M. ἐπαρκέσω: ὠφελήσω. M. Fl. 10. 21. τὸ ἐπαρκῶ εἰ μὲν συντάσσεται δοτικῇ, τὸ ἀρκῶ ἔχει τὴν δύναμιν, εἰ δὲ αἰτιατικῇ, τὸ ἐπί, ὡς κἀνταῦθα. Gu.

804. τοῦτ' ἐκεῖνο: ἄριστον. B. ἦν ἄρα, φησὶ, καλῶς τοῦτο ἔκπαλαι δεδογμένον, τὸ μὴ μόνον τοὺς συγγενεῖς φίλους νομίζειν, ἀλλ' εἰ καί τις βέβαιος τὴν διάθεσιν. A.B.M.I.

12. ὑπὸ (ἀπὸ A.) τῆς—] Similiter in B. ναχελῆ δὲ δυσκίνητα ἤτοι μὴ δυνάμενα κινεῖσθαι καὶ ὀκέλλειν· ὅθεν καὶ κέλης:—unde scripsi ἔνθεν καὶ ὁ κέλης. Nam in A. est ἔνθεν καὶ ὁ σκέλης καὶ τὸ κελλώνιον, in M. obscurioribus literarum ductibus ἔνθεν καὶ κελλ͂ τὸ κελών̀.

21. καὶ βαστάσω om. A.M.

27. ἦν] ἂν A.

28. ἔκπαλαι om. I. In Fl. 10. τὸ ἔκπαλαι δεδομένον.

ib. δεδογμένον] καὶ φδόμενον add. I.

29. ἀλλ' εἰ καὶ] ἀλλὰ καὶ εἴ B.I.

τοῦτ' ἐκεῖνο: ὑπάρχει τὸ ᾀδόμενον. Gr. ἔκπαλαι. Gu. τὸ Ἡσιόδειον. Fl. 21. τὸ συγγενές: ἔχετε δηλονότι. οὐ γὰρ δύναται τὸ κτᾶσθαι ἀπὸ κοινοῦ καὶ ἐπὶ τῶν συγγενῶν λαμβάνεσθαι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τοῦτ' ἐκεῖνο: τουτέστιν, αὕτη ἐστὶν ἡ δύναμις ἐκείνου τοῦ ᾀδομένου λόγου τοῦ κτᾶσθ' ἑταίρους, καὶ τὸ ἑξῆς· ἰδοὺ γὰρ, ἐγὼ ὑπὸ μὲν τῶν συγγενῶν παρορῶμαι, ὑπὸ φίλου δὲ βοηθοῦμαι καὶ περιέπομαι. κτᾶσθ' ἑταίρους: ἐπὶ τῶν ἔξωθεν προσγινομένων καὶ ὑπὸ ἐξουσίαν μὲν ὄντων τινὶ, ἢ ὥσπερ ὑπὸ ἐξουσίαν διὰ τὴν συμφωνίαν καὶ ὁμογνωμοσύνην, οὐχ ὥστε δὲ καὶ ἅπτεσθαι ἐξ ἀνάγκης αὐτοῦ καὶ ἐγγυτάτω εἶναι λέγεται τὸ κτῆμα καὶ τὸ κτᾶσθαι. συγγενεῖς δὲ, καθὸ λέγεται ἐνταῦθα τὸ συγγενὲς, ὥσπερ τινὰ μέλη εἰσί· φύσει γὰρ προσήκουσι καὶ οὐκ ἔξωθεν προσγίνονται. εἰ δὴ τοῦτο, οὐ δύναται τὸ κτᾶσθαι καὶ πρὸς τὸ συγγενὲς τείνειν, ἀλλ' ἕτερον αὐτῷ δηλονότι δεῖ ῥῆμα συνυπακούειν ἀνάλογον. εἴη δ' ἂν τὸ ἔχειν ἀνάλογον· τοῦτο γὰρ λέγεται μὲν καὶ ἐπὶ τῆς σημασίας τοῦ κτᾶσθαι καὶ ἐφ' ἑτέρων, λέγεται δὲ καὶ ἐπὶ μερῶν, οἷον χειρὸς καὶ ποδός· λεγόμεθα γὰρ ἔχειν χεῖρα καὶ πόδα. κατὰ τοῦτο δὴ τὸ σημαινόμενον λέγοιτο ἄν τις καὶ συγγενεῖς ἔχειν κατὰ λόγον. Gu.

805. ὡς ἀνὴρ ὅστις τρόποισι: ὅστις τρόπῳ καὶ διαθέσει συγκάμνει φίλῳ πολλῶν ἐστι συγγενῶν ἀμείνων πρὸς τὸ εἶναι φίλος. A.B.C. M.I. Ἄλλως. ὡς κρείσσων ἐστὶν ὁ ἀνὴρ ὁ θυραῖος καὶ ξένος ὢν, τοῖς τρόποις δὲ συντακεὶς, ἤγουν ὁμότροπος γενόμενος, κεκτῆσθαι ἤγουν κτηθῆναι φίλος ἀνδρί. κρείσσων δέ τινων μυρίων ὁμαιμόνων καὶ ἀδελφῶν, ἢ κοινῶς εἰπεῖν συγγενῶν. A.

ὡς ἀνὴρ ὅστις τρόποισι συντακῇ: τὸ ὡς ἀντὶ τοῦ ὅτι. τὸ δὲ τρόποισι συντακῇ ἀντὶ τοῦ κατὰ τοὺς τρόπους συμφωνήσῃ, συμβιβασθῇ, δυσαποσπάστως συγκολληθῇ καὶ ἑνωθῇ κατὰ τὰ μέταλλα τὰ ὑπὸ πυρὸς ὁμοῦ τηκόμενα. Gu. συντακῇ: συναναπλασθῇ. M. συμβιβασθῇ. Gr. συναρμοσθῇ, συνουσιωθῇ, συναναπλησθῇ. Gu. θυραῖος: ξένος. M. ἀλλότριος. Gr. ξένος καὶ οὐ συγγενής. Gu.

806. μυρίων κρείσσων: μυρίων ἀδελφῶν κρείσσων ὁ φίλος ἐστὶν

19. ὅστις τρόπῳ] ὅτι ὅστις τρόπῳ I., omisso lemmate, post διαθέσει sic pergens, ut B., συγκάμνει φιλόξενος (φίλῳ ξένος B.) ὢν πολλῶν συγγενῶν ἀμείνων ἐστὶν ὁ τοιοῦτος.

20. πολλῶν] γὰρ addunt A.C.

ib. ἀμείνων πρὸς τὸ εἶναι ego scripsi. καὶ πρὸς τὸ ἄμεινον A. πρὸς τὸ ἀμείνων C. μείνω ἵνα M.

ἀνθρώπῳ εἰς τὸ κεκτῆσθαι αὐτὸν, ὅμοιον τῷ "ἡδὺς ὁ ποταμὸς πιεῖν." ὁμαίμων: λέγεται καὶ ὁμαίμων τοῦ ὁμαίμονος, καὶ ὁ ὅμαιμος τοῦ ὁμαίμου, ἀφ' οὗ ἐνταῦθα τὸ ὁμαίμων ἐπὶ γενικῆς τῶν πληθυντικῶν. Gr. (*τῶν πολλῶν* Fl.) Fl. 6. 9. 56. 59. 76.

807.—817. *ὁ μεγὰς ὄλβος: τὸ ἑξῆς, ὁ μέγας ὄλβος καὶ ἡ ἀρετὴ τῶν Ἀτρειδῶν ἡ μεγαλοφρονοῦσα καὶ ἐν Ἑλλάδι καὶ ἐν Τροίᾳ εἰς τὸ ἐναντίον τῆς εὐδαιμονίας ἀνῆλθεν, ὅ ἐστιν εἰς δυστυχίαν ἀρχαίαν, τὴν τοῖς Ἀτρείδαις συμπεσοῦσαν ἐπὶ τῷ χρυσομάλλῳ ἀρνειῷ.* A. M.I. *Ἄλλως. τὸ ἑξῆς, ἀπὸ τῆς παλαιᾶς συμφορᾶς τῶν οἴκων τῶν Ἀτρειδῶν ὁ μεγαλοφρονήσας ἐν Ἑλλάδι καὶ τῇ Τροίᾳ πάλιν εἰς τὴν ἀρχαίαν δυσδαιμονίαν ἔδραμεν, ὡς εἰ ἔλεγε, πρὸς τὴν κακοδαιμονίαν τὴν ἀρχαίαν ὠγκώθησαν ἐπὶ πολὺ οἱ Ἀτρεῖδαι καὶ πάλιν ἐδυστύχησαν. τὸ δὲ πλῆρες μέγα φρονοῦσα ἡ ἀρετή. εἰδωλοποιεῖ γὰρ αὐτὴν, ἢ ὅτι τῶν ἐπειλημμένων αὐτῆς ἐπαίρει τὸ φρόνημα. δύναται δὲ καὶ μέγα φρονοῦσι τοῖς Ἀτρείδαις.* A.M. *Ἄλλως. ὁ μέγας ὄλβος καὶ ἡ περίπυστος κατὰ πᾶσαν τὴν Ἑλλάδα καὶ ἐν Ἰλίῳ τῶν Ἀτρειδῶν εὐδαιμονία καὶ ἀρετὴ εἰς τοὐπίσω πάλιν ἀνέδραμεν, εἰς δυστυχίαν ἐξ εὐτυχίας μεταβληθεῖσα, καὶ ὥσπερ εἰπεῖν, ἀπόρροιαν ἔχουσα, ἐκ τῆς παλαιᾶς ἐκείνης τῆς κατ' οἶκον συμφορᾶς· ἐκείνη γὰρ ἡ ἔρις αὐτοῖς ἡ περὶ τοῦ χρυσομάλλου ἀρνειοῦ εἰργάσατο ἐλεεινὰ βρώματα καὶ σφαγὰς ἀνοσίους εὐγενῶν τέκνων τοῦ Θυέστου. ἐξ*

1. *ἀνθρώπῳ* Gr. *ἀνθρώπων* ceteri.

ib. *ἡδὺς ὁ ποταμὸς πιεῖν*] Conf. schol. v. 866.

6. *μεγαλοφρονοῦσα*] *μεγαλοφρονήσασα* I.

8. *ἐπὶ τῷ*] *ἐπὶ τῇ* M. quod aptum est si *ἀρνί* scribatur, ut *χρυσῆς ἀρνός* est in scholio v. 812.

ib. *ἀρνῷ*] *ἀρνειῷ* Barnes. et infra *ἀρνειοῦ* pro *ἀρνοῦ*. Sed *ὁ ἀρνός* est etiam in schol. ad v. 112. 1000. MATTH. Quum B. infra *ἀρνειοῦ* praebeat, non dubitavi hic quoque *ἀρνειῷ* restituere cum Barnesio. In scholiis ad v. 812. non solum *χρυσοῦς ἀρνός*, sed etiam aliquoties *τὸ ἀρνίον* reperitur. Post *ἀρνῷ* in B.I. additum *δύναται καὶ μεγαλοφρονοῦσι τοῖς ἀτρείδαις*, quae rectius scripta M. habet in fine scholii proximi.

9. *Ἄλλως* om. M. *ἄλλως. ὁ μέγας ὄλβος* A.

ib. *τὸ*] *τὸ δ'* M.

11. *εἰς*] *ἐπὶ* A.

ib. *ἀρχαίαν δυσδαιμονίαν* A. *ἑτέραν εὐδαιμονίαν* M.

13. *ἐδυστύχησαν*] *εὐτύχησαν* M. Post *ἐδυστύχησαν* A. pergit *ἄλλως. μέγα φρονοῦσα ἀντὶ τοῦ φρονήσασα. τὸ δὲ πλῆρες—τοῖς ἀτρείδαις*:—

14. *ἐπειλημμένων* scripsi pro *ὑπειλημμένων*.

15. *μέγα φρονοῦσι*] *μεγαλοφρονοῦσι* A.

16. *καὶ ἡ*] *ἡ* om. A.

18. *ἐξ εὐτυχίας* ante *εἰς δυστυχίαν* I.

21. *εὐγενῶν* A. *συγγενῶν* B.I.

ib. *ἐξ* om. A.

20. *ἀρνειοῦ* B. *ἀρνοῦ* A.I.

ἐκείνου δὴ φόνου συνεχεῖς καὶ ἀλλεπάλληλοι σφαγαὶ οὐ διαλείπουσι τὸν τῶν Ἀτρειδῶν οἶκον. A.B.I.

ὁ μέγας ὄλβος: ὁ πολὺς πλοῦτος. Gr. Fl. 6. 9. 21. 56. 59. 76. ἡ εὐδαιμονία, ἡ λαμπρότης τῶν ἔργων. Gu. ἅ τ' ἀρετά: καὶ ἡ ἀνδρεία· ἀπὸ τοῦ καθόλου τὸ μέρος. Gr. Fl. 6. 9. 34. 56. 59. 76. εὐτυχία. Fl. 21.

809. μέγα φρονοῦσ': ἡ ἔνδοξος. Gr. Fl. 6. 9. 21. 25. 34. 56. 59. 76. ἐπηρμένως καὶ ὑψηλῶς. Fl. 33.

παρὰ Σιμουντίοις ὀχετοῖς: ἀντὶ τοῦ ἐν Ἰλίῳ. Σιμοῦς γὰρ ποταμὸς, ἀφ' οὗ τὴν Τροίαν δηλοῖ. B.M. καὶ παρὰ τοῖς ῥεύμασι τοῦ ποταμοῦ τοῦ παρακειμένου τῷ Ἰλίῳ, τοῦ Σιμόεντος, τουτέστι παρὰ τῇ Τροίᾳ. Gr. Fl. 6. 9. 21. 56. 59. 76.

810. πάλιν ἀνῆλθε: πάλιν ἀντὶ τοῦ ἔμπαλιν καὶ εἰς τὸ ἐναντίον ἀνέδραμε καὶ κατέστη τοῖς Ἀτρείδαις. B.M. εἰς τὸ ἔμπαλιν καὶ εἰς τὸ ἐναντίον ἦλθε καὶ κατέστη τοῖς Ἀτρείδαις. A.C. εὐτυχίαν δέ φησι τὴν κατὰ τὸ Ἴλιον καὶ νῦν δυστυχίαν τὴν πραττομένην. A. C.M. τὸ ἀνῆλθε δηλοῖ τὴν εἰς τοὐπίσω κίνησιν τῆς εὐτυχίας· τὸ δὲ πάλιν δευτέρας σχέσεώς ἐστι δηλωτικόν· οἱ Ἀτρεῖδαι γὰρ εὐτυχήσαντες πρὸς καιρὸν πάλιν δεδυστυχήκασιν διὰ τὴν παλαιὰν συμφορὰν τῶν δόμων. Cant. πάλιν: εἰς τοὐπίσω. Gr. ἢ εἰς ἀτυχίαν. Gu. ἀνῆλθ': ἀνεπόδισεν. Gr. εἰς τὸ πρότερον ἀνέδραμεν, ἀνετράπη. Gu. Ἀτρείδαις: τοῦτο πρὸς τὸ ὄλβος καὶ τὸ ἅ τ' ἀρετά συντάσσεται. Gu. τὸ ἑξῆς, ὁ μέγας ὄλβος καὶ ἡ ἀρετὴ τῶν Ἀτρειδῶν. Gr.

811. πάλαι παλαιᾶς: ἀντὶ τοῦ διὰ τὴν παλαιὰν καὶ πάλαι γεγενημένην συμφοράν. λέγει δὲ τὴν μοιχείαν τῆς γυναικὸς τοῦ

1. ἐκείνου δὴ φόνου συνεχεῖς A. ἐξ ἐκείνου δὴ (δὲ I.) συγγενεῖς B.I.
ib. ἀλλεπάλληλοι] ἐπάλληλαι A.
2. Post οἶκον A.B.I. pergunt καὶ τὸ νομιζόμενον etc. (schol. v. 819.)
9. Σιμοῦς] σιμοὺς M.
16. κατὰ τὸ Ἴλιον] εἰς τὴν ἴλιον C., qui pergit καὶ νῦν πάλιν ἀνῆλθεν, reliquis omissis.
ib. πραττομένην] τραγῳδουμένην A. Conf. p. 210, 4.
21. εἰς τοὐπίσω ἀνεπόδισεν est etiam in Fl. 6. 9. 21. 56. 59. 76. ἀνετράπη in Flor. 33. MATTH.
25. πάλαι — διὰ τὴν] πάλαι παλαιᾶς: διὰ τὴν B. ἄλλως. διὰ τὴν I. ubi ut in B. hoc scholion inter scholia v. 807. legitur post μεγαλοφρονοῦσι τοῖς ἀτρείδαις.
26. τοῦ Ἀτρέως] τοῦ addidi ex C. qui primam partem scholii habet usque ad τοῦ Θυέστου, ubi addit ὁ δὲ θυέστης τὴν γυναῖκα τοῦ Ἀτρέως ἔγημε τὴν ἀερόπην :—

Ἀτρέως καὶ τὴν βορὰν τῶν τέκνων τοῦ Θυέστου, ὡς καὶ ἐν τοῖς ἑξῆς ἐπάγει. ἢ οὕτως, προϋπαρξάσης ἑτέρας κατὰ τὸν ἀνέκαθεν χρόνον συμφορᾶς τῶν τέκνων αὐτοῦ, εἶτα εὐτυχίας τῆς κατὰ τὸ Ἴλιον, καὶ πάλιν δυστυχίας τῆς νῦν τραγῳδουμένης, ἥτις αὐτοῖς προὐξένησε συμφορὰς ἀτόπους, τῷ μὲν οἰκτροτάτων τέκνων βορὰν, τῷ δὲ σφαγὴν ἀνοσίαν τέκνων ἀδελφοῦ. τὸ γὰρ τεκέων ἀντὶ τοῦ τέκνων. ἑξῆς δὲ χρόα τέμνειν πυριγενεῖ παλάμᾳ. ἐπὶ τῶν γονέων δὲ ἔλαβε παρὰ τὸ τεκεῖν ἴσως. A.B.M.I.

ἀπὸ συμφορᾶς δόμων: ποίας δὲ συμφορᾶς λέγει, ὁπότε παρὰ τοῦ ἀρνὸς ἦλθε τοῖς Ἀτρείδαις μεγάλη συμφορὰ, σφαγαὶ καὶ θοινήματα τῶν γενναίων τέκνων. A.

812. ὁπότε χρυσέας: ὁπότε ἦλθε τοῖς Ταντάλιδαις, ἤγουν τοῖς ἀπογόνοις τοῦ Ταντάλου, ἡ ἔρις τῆς χρυσῆς ἀρνὸς, ἤγουν ὑπὲρ τῆς χρυσῆς ἀρνός. ἔρις γάρ τινος λέγεται καὶ ἣν ἐρίζει αὐτὸς πρός τινα, καὶ ἣν ἐρίζει τις πρὸς αὐτὸν, καὶ ἣν ἕτεροι ἐρίζουσι περὶ αὐτοῦ. Gr. I.

χρυσέας ἔρις ἀρνός: ἡ εὐθεῖα ὁ ἄρς τοῦ ἀρνός τῷ ἀρνί τὸν ἄρνα. ἢ οὕτως, ὁ ῥήν τοῦ ῥηνός καὶ τροπῇ τοῦ η εἰς α ῥανός καὶ ἐν ὑπερβιβασμῷ ἀρνός, ἡ δοτικὴ τῷ ἀρνί, ἡ αἰτιατικὴ τὸν ἄρνα. C. Πέλοπος Ἀτρεὺς καὶ Θυέστης ἦσαν υἱοί. Ἀτρεὺς δὲ τὸν ἀμφιμήτριον ἀδελφὸν αὐτῶν Χρύσιππον ἀγαπώμενον ἀμέτρως ὑπὸ τοῦ πατρὸς αὐτῶν φθονήσας εἰς φρέαρ ἀποπνίγει· ὃ μαθὼν Πέλοψ ἐξώρισεν αὐτόν. ὕστερον δὲ μετὰ θάνατον Πέλοπος ἐπανῆλθε, καὶ ἑκάτερος αὐτῶν τῆς βασιλείας ἀντεποιεῖτο, Ἀτρεὺς μὲν, ὡς πρῶτος ὢν κατὰ νόμους, Θυέστης δὲ, τοῖς νόμοις ἐναντιούμενος. συνέθεντο οὖν ὡς, εἴ τις

1. τὴν βορὰν] τῆς βορᾶς A.M. Proximum τοῦ om. A.
ib. ὡς καὶ] ὡς om. M.
ib. ἐν τοῖς om. A.B.M.
3. τῶν τέκνων αὐτοῦ] κατὰ τὴν μοιχείαν καὶ τῆς βορᾶς τῶν τέκνων αὐτοῦ A. quae ex superioribus illata sunt.
4. προὐξένησε B. προὐξένισε I. προξένισε M. προσεξένισε A.
5. τῷ—τῷ] τῶν—τῶν B.I.
ib. τέκνων βορὰν] παίδων βορὰν I.
ib. τῷ δὲ—ἀνοσίαν] τὸ δὲ—οσίων M.
6. τὸ γὰρ τ. ἀ. τ. τέκνων om. B.I.
7. τέμνειν M. τέμνων B.I. In A. ἑξῆς δὲ τεκέων χρόα τεμεῖν.
ib. γονέων] τοκέων I. Mox διὰ pro παρὰ A.
13. ἤγουν—ἀρνός om. Gr.
15. ἕτεροι ἐ.] ἐ. ἕτεροι I.
19. Πέλοπος] ἱστορία rubro praescriptum in Gu.
20. τὸν ἀμφιμήτριον] Cant. τὸν ἐπὶ μητρὶ ἀδ. teste Kingio. Gu. cum I. consentit et addit αὐτῶν, quod recepi. Idem paulo post ὑπὸ τοῦ πατρὸς αὐτῶν φθ. pro αὐτόν. MATTH.
25. ὡς om. I.

αὐτῶν δείξει τι τέρας, κύριος ἔσεσθαι τῆς ἀρχῆς. ἐν τοῖς ποιμνίοις δὲ τοῦ Ἀτρέως εὕρηται χρυσοῦν ἀρνίον μήνιδι Ἑρμοῦ, ὅτι τὸν τούτου υἱὸν Μυρτίλον εἰς Γεραιστὸν ἀκρωτήριον Εὐβοίας κατεβαλάττωσε Πέλοψ. καὶ μέλλοντος Ἀτρέως δεῖξαι τὸ τέρας τοῖς δικασταῖς καὶ λαβεῖν τὴν ἀρχὴν, Ἀερόπη ἡ τούτου γυνὴ, μοιχευομένη Θυέστῃ τῷ ἀνδραδέλφῳ, κλέψασα τοῦτο παρέδωκεν αὐτῷ. Θυέστης δὲ λαβὼν τοῦτο καὶ δείξας τοῖς δικασταῖς τῆς ἀρχῆς ἐκράτησε. μὴ ἀνασχόμενος οὖν Ἀτρεὺς τὴν συμφορὰν καὶ δυσχεραίνων, ὅτι ἀδίκως ἐστέρηται τῆς ἀρχῆς, ὁμοῦ τε τὴν γυναῖκα Ἀερόπην τιμωρεῖται κατ' ἄμφω, καὶ ὅτι ἐμοιχεύετο Θυέστῃ καὶ ὅτι κέκλοφε τὸ ἀρνίον καὶ δέδωκεν αὐτῷ, ῥίψας αὐτὴν εἰς θάλατταν, ὥς φησι Σοφοκλῆς, καὶ τοὺς τρεῖς υἱοὺς τοῦ Θυέστου, Ἀγλαὸν, Ὀρχομενὸν καὶ Κάλεον ἀποκτείνας παρέθηκεν εἰς τράπεζαν τῷ πατρὶ, καὶ αὐτὸν ὕστερον ἀπέκτεινεν. δι' ἃ ὁ ἥλιος μὴ στέρξας τὸ παράνομον μίαν ἡμέραν ἐκ δυσμῶν πρὸς ἕω διφρεύει. σὺν αὐτῷ δὲ καὶ αἱ Πλειάδες τὴν ἐναντίαν ὁδὸν ἐβάδισαν. Gu. I.

ἀρνός: ἡ Ἀερόπη γυνὴ ἦν τοῦ Ἀτρέως, μήτηρ δὲ τοῦ Ἀγαμέμνονος καὶ Μενελάου. γεννᾶται δὲ ἐν τῷ ποιμνίῳ αὐτοῦ χρυσοῦς ἀρνὸς, καὶ περὶ βασιλείας μετὰ Θυέστου τοῦ ἀδελφοῦ αὐτοῦ ὁ Ἀτρεὺς ἀμφισβητῶν, καὶ δι' ἔργων ἔχων δείξειν λέγειν τίνι προσήκει τὸ βασιλεύειν, —καὶ γὰρ ἤλπιζεν εἰς τὸν χρυσοῦν ἄρνα·—ἡ Ἀερόπη μοιχευθεῖσα παρὰ τοῦ Θυέστου τοῦ ἀνδραδέλφου αὐτῆς κλέπτει τὸν ἄρνα, καὶ τῷ Θυέστῃ δίδωσι τοῦτον. διὸ καὶ διαλαμβάνεται παρὰ τοῦ χοροῦ, καὶ κακίζει τὸ γινόμενον. Καὶ ἄλλως. Ὅμηρός φησιν "Ἀτρεὺς δὲ θνήσκων ἔλιπε πολύαρνι Θυέστῃ." Fl. 33.

Ἀτρεὺς ὁ Πέλοπος βασιλεύων Πελοποννήσου ηὔξατο ποτὲ ὅτι ἂν κάλλιστον ἀρνίον ἐν τοῖς ποιμνίοις αὐτοῦ γεννηθῆναι καὶ τοῦτο Ἀρ-

2. μήνιδι Ἑρμ.—Πέλοψ e Cant. et Gu. addidi. Paulo aute uterque codex συνέθεντο οὖν ὡς, εἴ τις. tum δείξῃ I. δείξοι King. δείξει Gu. In seqq. τῷ ἀνδραδέλφῳ exhibent Cant. et Gu. Vulgo τῷ ἀδελφῷ. MATTH.

6. παρέδωκεν] δέδωκεν Gu.

8. τὴν συμφορὰν add. Cant. et Gu. hic etiam habet καὶ δυσχ. pro ἀλλὰ δυσχ. Mox iidem τὴν γυναῖκα addunt ante Ἀερόπην. Iu fine uterque codex post τὴν ἐναντίαν addit ὁδόν. MATTH.

11. εἰς θάλατταν] εἰς τὴν θάλασσαν I.

ib. Σοφοκλῆς] Aj. 1297.

12. ἀποκτείνας παρέθηκεν εἰς τράπεζαν τῷ] κτείνας ἀνέθηκε τῷ Gu.

14. ὁ ἥλιος] ὁ om. Gu.

15. ὁδὸν om. I.

24. Ὅμηρος] Il. 2, 106.

26. ὅτι—γεννηθῆναι καὶ τοῦτο] Requiritur ὅ τι—γεννηθῇ, τοῦτο etc.

τέμιδι θῦσαι. γεννηθεὶς δὲ αὐτῷ χρυσοῦς ἀρνὸς, τῆς εὐχῆς ἠμέλησε καὶ καθείρξας εἰς λάρνακα ἐφυλάττετο, μέγα δέ τι φρονήσας ἐπὶ τῷ κτήματι κομπάζει ἐπὶ τοῦ ἀγροῦ. ἠνίασε τοῦτο Θυέστην καὶ ὑπῆλθεν ὡς ἐρῶν πεῖσαι τὴν Ἀερόπην δοῦναι αὐτῷ τὸ κτῆμα. λαβὼν δὲ ἀνεῖπε τῷ ἀδελφῷ ὡς οὐ δεόντως κομπάζονται. ἔλεγε δὲ αὐτὸν ἐν τῷ πλήθει δεῖν καὶ τὴν βασιλείαν ἔχειν τὸν τὸν χρυσοῦν ἄρνα ἔχοντα. τοῦτο δὲ ὁμολογοῦντος καὶ τοῦ Ἀτρέως Ζεὺς Ἑρμῆν πέμπει πρὸς τὸν Ἀτρέα συνθέσθαι λέγων περὶ τῆς βασιλείας, καὶ δηλοῖ περὶ τῆς ἀνατολῆς ὅτι μέλλει ποιεῖσθαι τὴν ἐναντίαν ὁδὸν ὁ ἥλιος. συνθέμενος δὲ περὶ τούτου ὁ ἥλιος τὴν δύσιν εἰς ἀνατολὴν ἐποιήσατο, ὅθεν εἰσμαρτυρήσαντος τοῦ δαίμονος τοῦ Θυέστου τὴν βασιλείαν Ἀτρεὺς παρέλαβε καὶ Θυέστην ἐφυγάδευσεν. A.

Ἱστορία. Ἀτρεὺς ὁ Πέλοπος βασιλεύων τῆς Πελοποννήσου ηὔξατο ποτὲ ὅτι, ἐὰν κάλλιστον ἀρνίον γεννηθῇ ἐν τῷ ποιμνίῳ, τῇ Ἀρτέμιδι θυσιάσαι τοῦτο. εὐθὺς δὲ ἐγεννήθη ἐν τῷ ποιμνίῳ χρυσοῦς ἀρνὸς, καὶ διὰ τὸ ἐπέραστον ἠμέλησε τῆς εὐχῆς. ὁ δὲ Ζεὺς τὸν Ἑρμῆν πέμπει πρὸς τὸν Ἀτρέα, ὅπως ποιήσῃ τὴν ὑπόσχεσιν καὶ τὴν βασιλείαν Θυέστου κληρονομήσῃ. καὶ ποιήσας οὕτω τὴν βασιλείαν Θυέστου τοῦ ἀδελφοῦ ἐκληρονόμησε. βασιλεύσας δὲ ἔτεκε τὸν Ἀγαμέμνονα καὶ Μενέλαον. μέλλων δέ ποτε τελευτᾶν Ἀτρεὺς τὴν βασιλείαν Θυέστῃ καταλιμπάνει, ὅπως ἀνδρωθέντι Ἀγαμέμνονι ἐπιδώσει αὐτῷ τὴν βασιλείαν. ἔχοντες γὰρ, ὥς φασί τινες, οἱ Ἀτρεῖδαι τὸ χρυσοῦν ἐκεῖνο δέρος τοῦ χρυσομάλλου ἀρνίου, ὡς πατρικόν τι καὶ ἐξαίρετον σημεῖον ἐπιφέροντες, καὶ διὰ τὸ ψευσθῆναι εἰς τὴν θεὸν καὶ οὐ τελεῖν τὴν θυσίαν, ἀνέφερον πολλὰς συμφορὰς καὶ χαλεπὰς καὶ οἱ υἱοὶ καὶ οἱ ἔκγονοι. Fl. 33.

13. Ἀτρεὺς—] Brevior enarratio in C. ὁ μὲν ἀτρεὺς ηὔξατο τῇ ἀρτέμιδι λέγων εἴ τι κάλλιστον γεννηθῆναι ἐν τοῖς ποιμνίοις ἀντιδοῦναι αὐτῇ θυσίαν. ἐγεννήθη οὖν χρυσόμαλλον ἀρνίον καὶ τὸ μὲν κρέας τοῦ ἀρνὸς ἔθυσε τῇ ἀρτέμιδι, τοῦ δὲ δέρματος ἐφείσατο ὃ εἶχεν εἰς φύλαξιν μεγάλην. περὶ τῆς βασιλείας οὖν ἐρίσαντες ἄμφω, ὅ τε Ἀτρεὺς καὶ ὁ Θυέστης, ὁ μὲν Ἀτρεὺς ἔφη, ἐκεῖνον δεῖ βασιλεύειν ὅστις τι τέρας τῶν θεῶν δείξει. ὁ μὲν Ἀτρεὺς ἦν ἐλπίζων ὅτι ἐκεῖνος κέκτηται τὸ δέρμα, οὗ καὶ ἀπέτυχεν. ἔκλεψε γὰρ αὐτὸ ἡ γυνὴ αὐτοῦ Ἀερόπη καὶ ἔδωκε τῷ Θυέστῃ, ὅστις ἐμοίχευεν αὐτὴν, οὐδαμῶς τοῦτο εἰδὼς ὁ Ἀτρεύς. τούτου δὲ γενομένου εἰς ἀπορίαν ἦλθεν ὁ Ἀτρεύς. ὁ δὲ Ἑρμῆς φειδόμενος τοῦ Ἀτρέως συνεβούλευσεν αὐτῷ αἰτῆσαι τὸν Δία ἀνατεῖλαι τὸν ἥλιον ἀπὸ τοῦ μέρους τῆς δύσεως, ὃ καὶ ἐγένετο. καὶ οὕτω πάλιν ἐκράτησε τῆς βασιλείας. τὰς δὲ Πλειάδας ἐποίησεν ὁ Ζεὺς ἀνατεῖλαι ἀπὸ τοῦ μέρους τῆς ἀνατολῆς :—

26. ἔκγονοι] ἔκγονοι εἴδοισαν (sic) Fl. 33.

814. *θοινάματα*: *εὐωχήματα*. Gr. *εὐωχίαι*. Gu. Fl. 6. 9. 17. 21. 33. 34. 56. 59. 76.

815. *σφάγια*: *σφαγαί. σφάγια τὰ σφαζόμενα καὶ αἱ σφαγαί*. Gr. Fl. 6. 9. 21. 56. 59. 76. *γενναίων τεκέων*: *τῶν εὐγενῶν τέκνων τοῦ Θυέστου*. B.M.I.

816. *ὅθεν*: *ἀφ' οὗ*. Gr. *ἀπ' ἐκείνου τοῦ καιροῦ*. Gu. *τὸ ὅθεν ἢ ἀπ' ἐκείνου τοῦ καιροῦ ὡς ἐντὸς, ἢ ἀπὸ ταύτης τῆς αἰτίας, τῆς βρώσεως τῶν τέκνων*. Gu. *φόνῳ φόνος ἐξαμείβων*: *φόνος φόνον διαδεχόμενος*. B.I. *ἐξ ἐκείνου δὲ φόνοι συνεχεῖς καὶ ἀλλεπάλληλοι σφαγαὶ οὐ διαλείπουσι τὸν τῶν Ἀτρειδῶν οἶκον*. B.M.I. *φόνῳ*: *ἐπὶ φόνῳ φόνος δι' αἵματος κατὰ διαδοχὴν ἐρχόμενος, φόνος φόνον διαδεχόμενος*. Gr. Fl. 6. 9. 21. 33. 56. 59. 76.

817. *δι' αἵματος*: *συγγενείας, φόνου*. Gu. *οὐ προλείπει*: *οὐ παύει*. Gu. Fl. 6. *τὰ καθ' ἑτέρου συμβάντα κατ' ἀμφοτέρων ἐξήνεγκεν· τί γὰρ δεινὸν ὁ Μενέλαος ἐπανελθὼν πέπονθεν, εἰ μὴ τὰ ἐν Ἰλίῳ δι' αὐτὸν γενόμενα λέγει κακά; σύλληψις δὲ ὁ τρόπος· τὸ γὰρ ἑτέρῳ συμβὰν κατ' ἀμφοτέρων ἔταξεν*. A.B.I.

819. *τὸ καλὸν οὐ καλόν*: *τὸ νομιζόμενον δὲ εἶναι καλὸν, ὁ κατὰ τῆς μητρὸς φόνος, ὅτι ἐπ' ἐκδικίᾳ τοῦ πατρὸς γέγονεν, οὐ καλὸν τῷ μητροκτονήσαντι. ἔνιοι οὕτως· ἡ τιμωρία ἡ ὀφείλουσα ὑπὸ τοῦ Ὀρέστου ὑπὲρ Ἀτρέως ἀπαιτηθῆναι σφοδρότερον ἀπητήθη. οὐ καλὸν δέ φησι τὸ σῶμα τῶν γονέων (λέγει δὲ τὴν Κλυταιμνήστραν) ἀπηνεῖ χειρὶ τέμνειν τὸν Ὀρέστην*. A.M. *καὶ τὸ νομιζόμενον καλὸν οὐ καλόν ἐστι. λέγει δὲ τὸ ἀπηνεῖ χειρὶ διατεμεῖν τὸ σῶμα τῶν γονέων καὶ ᾑμαγμένον ἀνατεῖναι τὸ ξίφος εἰς τὰς τοῦ ἡλίου αὐγάς. τὸ γὰρ ἀδικεῖν πατέρας ἀσεβῶν ἐστι καὶ ἀνοήτων τέκνων καὶ πονηρῶν ἀνθρώπων· τὸ δέ γε τῆς συμφορᾶς τῆς κατὰ τοῦτον ἐλεεινότερον· μέλλουσα*

9. φόνοι] φόνου B.
14. καθ' ἑτέρου] θατέρῳ A.B.I.
15. τί γὰρ] τὸ γὰρ M.
16. γενόμενα] γινόμενα A.M.I.
ib. κακά om. B.I.
ib. σ. δὲ ὁ] καὶ σ. οὖν B.I.
19. ἐκδικίᾳ] ἐκδικήσει A.
20. ἔνιοι] ἄλλως. ἔνιοι A.
ib. ἡ (ἡ om. M.) ὀφείλουσα ὑπὸ (ἀπὸ M.) τοῦ Ὀρέστου ὑπὲρ] ἡ ὀφειλομένη ἐκ τοῦ ὀρέστου ὑπὸ A.
21. καλὸν δὲ] δὲ om. A.
23. τέμνειν] τεμεῖν A.
ib. νομιζόμενον καλὸν] νομιζόμενον εἶναι καλὸν A.
24. λέγει] λέγω B.
ib. τὸ σῶμα] τὸν χρόα I.
25. ἀνατεῖναι] ἀνακτεῖναι B : sed infra ἀνατεῖναι.
26. πατέρας] πατέρα I. In A. τὸ γὰρ ἄδικα πάσχειν πατέρας.
27. τοῦτον] τούτοι A.

γὰρ τελευτᾶν ἡ Τυνδάρεω Κλυταιμνήστρα φόβῳ τοῦ θανάτου ἀνεβόησεν ἡ δυστυχὴς, Ὀρέστα, τολμᾷς τὸν κατὰ τῆς μητρὸς φόνον. ὅρα δὴ καὶ σκόπει μή πώς τις εἰς τὸν πατέρα τὰς τοιαύτας τιμωρίας ἀνταλλάξῃ δύσκλειαν ἀθάνατον· οὔτε γὰρ νόσος, οὐδὲ αἷμα, οὔτε τις ἑτέρα συμφορὰ γένοιτ' ἂν ἐν ἀνθρώποις μείζων μητροκτονίας. A.B.I.

τὸ καλόν: τὸ καλῶς δοκοῦν γεγενῆσθαι οὐ καλῶς ἀπέβη τῷ Ὀρέστῃ. τὸ δέ ἐστι τὸ ἀπηνεῖ χειρὶ διατεμεῖν τὸ σῶμα τῶν γονέων καὶ ἡμαγμένον ἀνατεῖναι τὸ ξίφος εἰς τὰς τοῦ ἡλίου αὐγάς. B.M.I. τὸ καλὸν οὐ καλόν: ὡς γέγονε. Gr. τὸ δοκοῦν τῷ Ὀρέστῃ. Gu.

820. πυριγενεῖ: ἀπηνεῖ καὶ θρασείᾳ καὶ ἀνημέρῳ, ὡς ἂν ἐκ πυρὸς γεγενημένῃ· ἢ τὸ ξίφει, ἐπεὶ ὑπὸ πυρὸς παλαμᾶται. B.M.I. δραστηρίᾳ. Gr. θρασείᾳ, φονικῇ, ἀπηνεῖ, ἀνημέρῳ. Gu. λῃστρικῇ, θερμικῇ. Fl. 33. τέμνειν: λέγω τὸ διατεμεῖν. Gu. παλάμᾳ: χειρί. Gr. Florr.

821. χρόα: σῶμα. Gr. τὴν ὄψιν, τὴν κεφαλήν. Gu. μελάνδετον δέ: διὰ τὸ μέλαιναν λαβὴν ἔχειν, τουτέστι μελάγκωπον, ἢ μέλαν ὑπὸ τοῦ φόνου γενόμενον. πολλὰ δέ εἰσι τὰ τοιαῦτα σύνθετα, οἷον κελαινεφὲς αἷμα· οὐ γὰρ ἔγκειται τὸ νέφος. οὕτω καὶ ἐνταῦθα τὸ δεδέσθαι οὐκ ἔγκειται. B.M.I. ὑπὸ τοῦ αἵματος μελαινόμενον. M.

μελάνδευτον: μέλανι αἵματι ὑγρὸν, ἤγουν ἡμαγμένον. Gr. βε-

2. τολμᾷς] μὲν add. B.I.

3. ὅρα δὴ—οὔτε τις A. ὅρα δὲ καὶ σκόπει μὴ τῆς εἰς τὸν πατέρα τιμωρίας —νόσος οὔτε τις B.I.

5. μείζων post συμφορὰ habet B., om. A. qui μητροκτονία.

7. τὸ καλῶς—] Brevius in C. τὸ καλὸν τὸ δοκοῦν καλὸν τῷ ὀρέστῃ ὅτι ἐμητροκτόνει τὴν μητέρα αὐτοῦ οὐ καλόν:—

8. τὸ δέ] τί δέ B.M.

ib. τὸ σῶμα] τὸν χρόα I.

10. τὸ δοκοῦν τῷ Ὀρέστῃ] E Fl. 59. enotatum est, δοκοῦν τῷ ὀρέστῃ, ἢ ὡς γέγονεν. In Gu. sequuntur superiora τὸ καλῶς δ. γ. τῷ ὀρέστῃ οὐ καλῶς ἀπέβη.

11. θρασείᾳ] θρασεῖ M.

12. γεγενημένῃ] γεγενημένος M. Tum sequuntur verba τὸ νομιζόμενον δὲ εἶναι καλὸν—τέμνειν τὸν Ὀρέστην, quae vide in initio scholiorum ad v. 819. Illa autem τὸ ξίφει—παλαμᾶται in M. supra versum scripta.

16. μελάνδετον δέ] μελάντερον δὲ B.I. δὲ om. M. In A. μελάνδετον μελανὴν λαβὴν ἔχοντος ἢ μέλαν παρὰ τοῦ φόνου γενομένου. πολλὰ δὲ τοιαῦτα σύνθετα.

17. ἔχειν] ἔχοντος M.

19. οὐ—νέφος] οἷον (corrige ᾧ) τὸ νέφος οὐκ ἔγκειται M.

22. μελάνδευτον] Idem scholion est in Florr. 6. 9. 21. 56. 59. 76. qui tamen μελάνδετον, non μελάνδευτον habent. MATTH.

ib. ὑγρὸν Florr. ὑγρῷ Gr.

βαμμένον ἐξ αἵματος, ἢ τὸ σιδηροῦν· μέλας γὰρ ὁ σίδηρος. Gu. μελάνδετον δὲ λέγει φόνῳ τὸ μελανθὲν καὶ βαφὲν ὑπὸ τοῦ αἵματος. πολλὰ δέ εἰσι τὰ τοιαῦτα σύνθετα, οἷον κελαινεφὲς αἷμα, καὶ ἕτερα μυρία. ἢ μελάνδετον τὸ σιδηροῦν· φησὶ γὰρ Αἰσχύλος "ἐς μελάνδετον σάκος," ἤτοι τὸ διὰ σιδήρου δεδεμένον. Gu. Bar.

τὸ δ' αὖ κακουργεῖν: γρ. τὸ δ' αὖ κακοῦργον. A. τὸ μετὰ λόγου καὶ πιθανότητος ἐπιχειρεῖν τι καὶ πράττειν κακὸν οὐχ ἁπλῆ ἐστιν ἀσέβεια· ἵν' ᾖ καθόλου τοῦτο τάττεσθαι δυνάμενον καὶ ἐπὶ Ἀτρέως καὶ ἐπὶ Θυέστου καὶ ἐπὶ Κλυταιμνήστρας καὶ ἐπ' Αἰγίσθου, καὶ οὐ μόνον ἐπὶ τούτων, ἀλλὰ καὶ καθολική ἐστι γνώμη. τὸ δὲ κακοφρονούντων ἀνδρῶν παράνοια τοιοῦτόν ἐστι, τῶν κακὰ διαλογιζομένων ἀνδρῶν αὐτὸ τὸ ἀλόγιστόν ἐστιν. ἡ τοιαύτη ἡ σύνταξις· οὐδὲ τοῦτο, φησὶ, καλὸν, τὸ τὸ ξίφος ᾑμαγμένον δεῖξαι ταῖς τοῦ ἡλίου αὐγαῖς. εἰώθασι γὰρ οἱ ἀνελόντες τινὰ δικαίως, ὡς οἴονται, τῷ ἡλίῳ τὸ ξίφος δεικνύναι, σύμβολον τοῦ δικαίως πεφονευκέναι. A.B.M.I.

τὸ δ' αὖ κακουργεῖν: τὸ μὲν κακουργεῖν ἀσεβῶν ἐστι καὶ πονηρῶν ἀνθρώπων, τὸ δὲ τῆς συμφορᾶς τῆς κατὰ τοῦτον ἐλεεινότερον. οὐκ ἠλέησε γὰρ τὴν μητέρα οἰκτρῶς παρακαλοῦσαν. A.B.M.I. Ἄλλως. ἀλλὰ καὶ τὸ δεινὰ πράττειν ἀσέβειά ἐστι. τοῦτο δέ φησιν, ἐπειδὴ ἡ Κλυταιμνήστρα μοιχευθεῖσα ἐφόνευσε τὸν Ἀγαμέμνονα. B.M.I.

τὸ δ' αὖ κακουργεῖν: ἤγουν τὸ κλέπτειν πρᾶξιν κακὴν, τουτέστι τὸ μετὰ λογισμῶν δῆθεν εὐλόγων ποιεῖν τι κακὸν ἀσέβεια καὶ παρά-

4. Αἰσχύλος] Sept. 43.

8. τοῦτο om. A.

ib. τάττεσθαι δυνάμενον om. I.

9. ἐπὶ Θυέστου] ἐπὶ om. I.

12. αὐτὸ τὸ] ἀντὶ τοῦ B.I.

ib. ἡ τοιαύτη ἡ] ἡ τοιαύτη A.M.

13. τὸ τὸ] Alterum τὸ om. A.

ib. ᾑμαγμένον] αἱματωμένον M. ἡματωμένον A.

ib. ταῖς τοῦ ἡλίου αὐγαῖς] Gr. Fl. 6. 9. 21. 25. 34. 56. 59. 76. οἱ φόνον ἐργασάμενοι καὶ δικαίως οἰόμενοι τοῦτο ποιῆσαι τῷ ἡλίῳ τὸ ξίφος ἐδείκνυον ᾑμαγμένον. Gu. ἔθος τοῖς οἰομένοις δικαίως φονεῦσαι τινὰ τῷ ἡλίῳ τὸ ξίφος δεικνύναι, σύμβολον τοῦ δικαίως πεφονευκέναι τοῦτο ποιούμενοι. μελάνδετον δὲ λέγει etc. quae vid. ad v. 821. MATTH.

14. οἴονται] οἷον A. Idem mox τὸ δικαίως pro τοῦ δικαίως.

15. πεφονευκέναι] Pergunt B.M. μελάντερον δὲ διὰ (μελάνδετον διὰ M.) τὸ μέλαιναν etc. Quae vide p. 214, 16.

16. τὸ δ' αὖ κακουργεῖν] Non lemma, sed ἄλλως praefixum in A.B.M.I. in quibus haec sequuntur post οὐκ ἔγκειται (schol. v. 821.)

17. οὐκ ἠλέησε — παρακαλοῦσαν om. I.

18. γὰρ om. B.M. In Fl. 10. est καὶ γὰρ οὐκ ἠλέησε—.

21. Ἄλλως] ἢ οὕτως B.

22. μοιχευθεῖσα om. I.

νοια. καὶ τοῦτο χάριν τοῦ Ὀρέστου εἴρηται, καὶ οὐ τῆς Κλυταιμνήστρας. Cant. τὸ κακότροπα (κακὰ) ἐργάζεσθαι (ὥσπερ ἡ Κλυταιμνήστρα). Gr. et Gu. Fl. 6. 9. 21. 56. 59. 76. ἀσέβεια μεγάλη: γρ. ποικίλη. M. ἀσέβεια ποικίλη γράφε, μὴ μεγάλη, ἵν' οἰκείως ἔχῃ τὸ κῶλον πρὸς τὸ τῆς στροφῆς. Bar.

824. κακοφρόνων τ' ἀνδρῶν: αὕτη ἡ κατασκευὴ πρὸς τὸ οὐ καλόν, διὰ μέσου ῥηθέντος τοῦ τὸ δ' αὖ κακουργεῖν καὶ τὸ ἑξῆς. Gu. κακὰ διανοουμένων. M. Gu. Fl. 6. τοῦ Αἰγίσθου. Gu. Fl. 6. παράνοια: ἀγνωσία. Gr. Fl. 6. 9. 21. 25. 34. 56. 59. 76. μωρία. Gu.

825. ἀμφὶ φόβῳ: διὰ τὸν φόβον τοῦ θανάτου. B.M.I.

826. ἰάχησε: ἐβόησεν. I.

827. οὐ τολμᾷς: οὐχ ὅσια τολμᾷς. M. οὐ ποιεῖς. Gr. Fl. 6. 9. 21. 25. 56. 59. 76. πράττεις. Gu.

828. μὴ πατρῴαν τιμῶν χάριν: ὅρα ἵνα. Gr. μὴ χαριζόμενος τῷ πατρί. Gu. τιμῶν χάριν: τίνων χάριν γράφειν δεῖ, καὶ μὴ τιμῶν· τοῦτο μὲν γὰρ μακρὸν ἔχει τὸ ι, ἐκεῖνο δὲ βραχύ. καὶ μὴ ἐσαιεί, ἀλλ' εἰσαιεί· οὕτω γὰρ ἔχει τὰ κῶλα οἰκείως πρὸς τὰ τῆς στροφῆς. Bar. ἐξανάψῃ: ἐγείρῃς κακὴν φήμην διόλου. I. ἀπενέγκῃ κακοδοξίας αἶνον. M. λάβῃς, ἀπενέγκῃ. Gu.

831. τίς ἔλεος: δέον τίς δυστυχία εἰπεῖν, ἔλεος εἶπεν ἀπὸ τοῦ συμβαίνοντος· τοῖς γὰρ δυστυχοῦσιν ἔλεος παρὰ πάντων ἀνθρώπων γίνεται. τὸ αὐτὸ δὲ νοητέον καὶ πρὸς τὸ τίνα δάκρυα. βούλεται δὲ ἐντεῦθεν εἰπεῖν ὅτι πάντων, ὅσα παρὰ ἀνθρώποις δεινά, τὸ ἀποκτεῖναι μητέρα δεινότερον. Gu. I.

832. μείζων κατὰ γᾶν: οὐδεὶς δηλονότι. I. οὔτε γὰρ νόσος οὔτε συμφορά τις μείζων ἐστὶ τῆς μητροκτονίας. B.M.I.

ἢ ματροκτόνον: ἢ μητρὸς αἷμα διὰ τῆς χειρὸς ποιῆσαι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. φόνον. Gu. τινὲς μέχρι τοῦ θέσθαι

4. ἀσέβεια ποικίλη —] Scholion Triclinii.

6. αὕτη ἡ—] Idem sch. e Bar. 74. edidit King. sed annexum scholio ad v. 823. et truncatum: desunt enim omnia post ῥηθέντος. Pertinere vero hoc scholion ad v. 824. non ausim contendere: in Gu. inter v. 823. et 824. scriptum est, praefixa stellula, quam in apice litterae κ verbi κακοφρόνων mihi visus sum agnoscere. MATTH.

7. κακὰ] κακῶς Gu. In Fl. 10. κακῶς διατεχνουμένων.

15. τίνων χάριν—] Annotatio Triclinii.

25. οὔτε γὰρ] ἐπεὶ I.

26. τις om. I.

λέγουσιν εἶναι τὸν στίχον, καὶ ἕτερον τὸ οἷον ἔργον τελέσας, οἱ δὲ μέχρι τοῦ τελέσας στίχον ἵνα λέγουσιν. Fl. 59.

834. οἷον ἔργον τελέσας: οἷον ἔργον ὁ δυστυχὴς Ὀρέστης διαπραξάμενος διὰ τὸν φόνον καὶ περιδινούμενος τὰς τῶν ὀφθαλμῶν ὄψεις ὁ τοῦ βασιλέως Ἀγαμέμνονος παῖς. A.C.M. φεῦ τῆς δυστυχίας. M. οἷον ὁ δυστυχὴς Ὀρέστης καταπραξάμενος τὸ τῆς μητροκτονίας ἄγρευμα γεγένηται ταῖς Ἐρινύσι, συλληφθεὶς ὑπ' αὐτῶν διὰ τὸν τῆς μητρὸς φόνον. B.I. δινεύων δὲ βλεφάροις ἀντὶ τοῦ περιδινούμενος τοὺς ὀφθαλμοὺς (τοιοῦτοι γὰρ οἱ μανιώδεις) καὶ πανταχοῦ περιστρέφων αὐτούς, ὅ ἐστι τεταραγμένους ἔχων τοὺς ὀφθαλμούς. τὸ δὲ ἑξῆς, Εὐμενίσι δρομάσι. δρομάσι δὲ τοῖς εὐκινήτοις. A.B.I. οἷον ἔργον τελέσας ὁ παῖς τοῦ Ἀγαμέμνονος τετάρακται ὑπὸ μανιῶν, Εὐμενίδων ἄγρευμα διὰ τὸν φόνον γενόμενος, εὐκινήτοις ὀφθαλμοῖς περισκοπούμενος. Gr.

τελέσας: διαπραξάμενος. I. διαπράξας. Gu.

835. βεβάκχευται: τετάρακται. Gr. I. ἠγρίωται, ἐξεμάνη, ἐταράχθη. Gu.

836. Εὐμενίσι θήραμα φόνῳ: ἀντὶ τοῦ ἄγρευμα γενόμενος καὶ συλληφθεὶς ὑπὸ τῶν Ἐρινύων διὰ τὸν φόνον τῆς μητρός. A.M. ταῖς Ἐριννύσι ἐγένετο θήραμα ταῖς εὐκινήτοις ὁ τοῦ Ἀγαμέμνονος παῖς συστρέφων διὰ τὸν φόνον τῆς μητρός. C.

φόνῳ: διὰ τὸν φόνον. Gr. ἕνεκα τοῦ φόνου τῆς μητρός. Gu.

837. δρομάσι: εὐκινήτοις. Gr. ταχείαις. Gu. I. δινεύων: περισκοπούμενος. Gr. I. περιδινούμενος, συστρέφων ἑαυτόν. Gu. εἰώθασι γὰρ οἱ μαινόμενοι συστρέφειν τοὺς ὀφθαλμούς· ταραττομένων δὲ τούτων ἀνάγκη καὶ τούτους στρέφεσθαι. Gu. δινούμενος τοὺς ὀφθαλμούς, ὡς οἱ μαινόμενοι. Fl. 10. βλεφάροις: ὄμμασι. Gu.

839. ὦ μέλεος: ὡς ἄρα ἦσθα τὴν φύσιν ὠμός, ἡνίκα ἡ μὲν ὠδινήσασα προύτεινέ σοι τὸν μαστὸν ὑπὸ τῶν χρυσοϋφῶν ἱματίων, γαλακτοτροφίας ὑπομιμνήσκουσα καὶ τὸν ἔλεον διὰ τούτου θηρωμένη,

3. Ὀρέστης om. C.
4. διὰ om. C.
5. ὁ et Ἀγαμέμνονος παῖς om. C.
8. δινεύων δὲ—ἀντὶ τοῦ om. A.

30. χρυσοϋφῶν B. χρυσοῦφων I. Verba ὑπὸ τῶν χ. ἱ. om. M.
31. καὶ τὸν] καὶ πρὸς B.M., recte, si σοῦ addatur.

σὺ δὲ πρὸς τοῦτο ἀπιδὼν οὐκ ἠλέησας τὴν τεκοῦσαν, ἀλλὰ γέγονας τῆς μητρὸς ἀνόσιος φονεὺς, τῷ σῷ πατρὶ ὑπὲρ ὧν πέπονθεν ἐκδίκησιν δι' ἀσεβείας διδούς. B.M.I. μέλεος: ἄθλιος. Gr. Florr.

839. ὑπερτέλλοντα: ὑπερανατεταμένον. B. προκύπτοντα. Gr. ἀναφαινόμενον, ἀνατεινόμενον. Gu. ὑπερκύπτοντα, ὑπερανατεινόμενον. I.

841. χρυσεοπηνήτων: τῶν ἐκ χρυσοῦ καὶ μετάξης ὑφανθέντων. Gr. I. (κατεσκευασμένων ἱματίων supersc. in Gu.) ἐκ χρυσοῦ ὑφανθέντων. ἴσως παρὰ τὸ πηνίον. B.M. Fl. 10.

842. σφάγιον: θῦμα. Gu. ἔθετο: ἐποίησε. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

843. ἀμοιβάν: εἰς. Gr. διά. Gu. ἀντέκτισιν. Gu. εἰς ἐκδίκησιν. I.

844. γυναῖκες: ὦ γυναῖκες, ἆρα ἐξῆλθεν τῶν δόμων ὁ ἄθλιος Ὀρέστης τῇ ἐκ θεοῦ ἐρχομένῃ τύχῃ δαμασθείς; I. οἶδεν ὅτι ἐξῆλθεν, ἐπεὶ οὐχ ὁρᾷ αὐτόν· ζητεῖ δὲ εἰ μανεὶς ἐξῆλθεν τῶν δωμάτων ὁ τλήμων Ὀρέστης. Gr. Bar.

845. θεομανεῖ: τῇ ἐκ θεοῦ ἐρχομένῃ. Gr. ἐκ θείας ὀργῆς γενομένῃ. Gu. δαμείς: κατασχεθεὶς, δαμασθείς. Gu.

846.—848. ἥκιστα: οὐδαμῶς μαινόμενος, σωφρονῶν δὲ ἀπῆλθε πρὸς τὸν Ἀργεῖον λαὸν, δώσων ἀγῶνα τὸν προκείμενον περὶ τῆς ζωῆς, ἐν ᾧ ἀγῶνι ἀπόκειται ἢ ζῆν ἢ θανεῖν ὑμᾶς. I.

Ἀργεῖον: ἐνικῶς γράφε πρὸς τὸ λεών· Ἀργεῖος γὰρ λαός ἐστιν ὁ ἀπὸ Ἄργους, ὡς Ἀθηναῖος ὁ ἐξ Ἀθηνῶν, καὶ Θηβαῖος ὁ ἐκ Θηβῶν. οἱ δὲ μετὰ τοῦ ων γράφοντες ἀγνοοῦσι τὰ μέτρα. Bar. τὸν τῶν Ἀργείων. Gr. οἴχεται: ἀπῆλθε. Gr. ἐπορεύθη. Gu.

847. τὸν προκείμενον: τὸν ἐνιστάμενον. Gu.

849. οἴμοι: φεῦ, τί πρᾶγμα πεποίηκε; τίς δὲ κατέπεισεν αὐτόν; ὁ Πυλάδης. φαίνεται δὲ ὅδε ὁ ἄγγελος οὐ μακρὰν ὢν εἰπεῖν τὰ ἀπὸ

7. τῶν om. I.

ib. ὑφανθέντων] κατασκευασθέντων ἱματίων I. κατεσκευασμένων Florr. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

9. πηνίον] πήνη M.

15. τῶν δωμάτων—Ὀρέστης om. Gr. sed habet supra versum ἆρα μανεὶς ἐξῆλθε τῶν δωμάτων ὁ τλήμων ὀρέστης :—

19. οὐδαμῶς—] Prima scholii verba sunt in B.M. οὐδαμῶς (οὐδαμῆ M.) μαινόμενος, σωφρονῶν δέ (σωφρονεῖ, sine δέ M.).

22. ἐνικῶς—] Scholion Triclinii.

28. In Gr. ἔοικε. φαίνεται δὲ ὅδε ὁ ἄ. ὢν οὐ μακρὰν λέξειν τὰ κεῖθεν περὶ τοῦ σοῦ κασιγνήτου.

τῶν Ἀργείων περὶ τοῦ ἀδελφοῦ σου. I. ἔοικε δέ: κατὰ τὸ σιωπώμενον εἶδον τὸν ἄγγελον ἐρχόμενον αἱ τοῦ χοροῦ γυναῖκες. B.M.

851. τὰ κεῖθεν: τὰ ἀπ' ἐκεῖ, τὰ ἀπὸ τῶν Ἀργείων. βαρεῖαν χρὴ τιθέναι εἰς τὸ τά, ἵνα ᾖ βραχὺ τὸ α, καὶ ἀπόστροφον δηλοῦσαν ὡς ἔκθλιψις γέγονε τοῦ ε· ἐν ἄλλοις γὰρ γίνεται κρᾶσις καὶ ἔστι τὸ τά μακρὸν, οἷον τἀμά, ἐνταῦθα δὲ οὔ. Bar.

852. ὦ τλῆμον: ταῦτα τοῦ ἀγγέλου τοῦ ἀκροασαμένου τῆς βουλῆς καὶ σκέψεως τῆς κατὰ Ὀρέστου τυρευθείσης. διηγεῖται δὲ τῇ Ἠλέκτρᾳ οὐχ ὡς ἀγνοούσῃ, ἀλλ' ὡς τὴν περὶ Ὀρέστου καὶ αὐτὸς ἐνδεικνύμενος ὑπόθεσιν. ἠγαπᾶτο γὰρ παρ' αὐτῷ οὐκ ἔλαττον τῶν λοιπῶν, καὶ μετ' ἐπιτάσεως διηγεῖται τὴν ὄψιν καὶ μετ' ἐκπλήξεως καὶ ὀδύνης. C. ὦ ἀθλία θύγατερ τοῦ Ἀγαμέμνονος, σεβασμία Ἠλέκτρα, ἄκουσον λόγους δυστυχεῖς, οὓς σοι φέρων ἐλήλυθα. I. σεβασμία. Gr.

853. παῖ πότνια: πότνιαν αὐτὴν καλεῖ, ἢ διὰ τὸ εἶναι αὐτὴν παρθένον τοσοῦτον χρόνον, ἢ διὰ τὸ βασιλέως εἶναι θυγατέρα, καὶ βασιλέως οὐ τοῦ τυχόντος· δύστηνον δὲ καὶ τλήμονα τῶν παρουσῶν εἵνεκα συμφορῶν. Gu. I.

854. οὕς σοι δυστυχεῖς ἥκω φέρων: ὅμοιον τῷ (v. 743.) "ποῦ ἐστιν ἡ πλείστους Ἀχαιῶν ὤλεσεν γυνὴ μία." ὀφείλων γὰρ εἰπεῖν, ἄκουσον λόγους δυστυχεῖς, οὓς ἥκω φέρων σοι, ὁ δὲ συνάγει τῷ ὑποτακτικῷ ἄρθρῳ τὸν λόγον καί φησιν, ἄκουσον οὓς δυστυχεῖς λόγους ἥκω φέρων σοι. Gr. I.

855. αἶ αἶ: ἀπολώλαμεν· ἀπὸ τοῦ λόγου δῆλος εἶ (φανερὸς εἶ διὰ τοῦ λόγου Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.) κακάγγελος ὤν. B.C.M.I.

857. ψήφῳ Πελασγῶν: ἐκυρώθη τῇ ψήφῳ τῶν Ἀργείων τὸν σὸν ἀδελφὸν ἀποθανεῖν καὶ σέ, ὦ τάλαινα, κατὰ τήνδε τὴν ἡμέραν. I. ψήφῳ: τῇ κρίσει, τῇ ἐκκλησίᾳ. Gu. Πελασγῶν: τῶν Ἀργείων. Πελασγὸς γὰρ βασιλεὺς παλαιὸς Ἀργείων. A.B.C.M. Fl. 10. 33.

1. αἱ τοῦ] αἱ ἀπὸ τοῦ B., omisso γυναῖκες

3. τὰ ἀπ' ἐκεῖ etiam Gu. et τὰ ἀπὸ τῶν ἀργείων Gr.

12. σεβασμία] σεβασμένα I.

19. ὅμοιον] ὅμοιος I.

22. ἄκουσον—φέρων σοι] ἄκουσον λόγους, δυστυχεῖς λόγους ἥκω φέρων σοι I.

24. In C. δῆλος εἶ λόγων: ἀπόλογος δῆλος etc.

30. Πελασγὸς—Ἀργείων] βασιλεὺς γὰρ ἀργείων πελασγὸς τοῦ ἄργους A.

ib. παλαιὸς Ἀργείων] τοῦ ἄργους γέγονεν C.

859. οἴμοι: προσῆλθεν ἐλπὶς, ἣν ἐκ μακροῦ φοβουμένη διὰ τὸ μέλλον ἐφθειρόμην καὶ διερρεόμην ὑπὸ τῶν γόων. τίς δὲ ἀγὼν καὶ τίνες λόγοι ἐν τοῖς Ἀργείοις κατεδίκασαν ἡμᾶς ἀποθανεῖν; εἰπὲ, ὦ πρεσβύτερε, πότερα διὰ λιθοβολούσης χειρὸς, ἢ διὰ ξίφους τὴν ψυχὴν ἀποβαλεῖν ἀπόκειταί μοι, κοινὰς συμφορὰς ταῖς τοῦ ἀδελφοῦ κεκτημένη. I.

προσῆλθεν: εἰς πέρας ἐξέβη. Gr. ἐλπὶς, ἥν: ὁ φόβος, καθ' ὅν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

860. τὸ μέλλον: ἀντὶ τοῦ εἰς τὸ μέλλον ἀφορῶσα πολλὰ ἐθρήνουν. A.B.

862. κἀπεκύρωσαν: ἀντὶ τοῦ κατεδίκασαν καὶ καθαιροῦσι ψῆφον τὴν καταδικάζουσαν. A.B.M. ἤγουν ἐβεβαίωσαν. Gr. ἀπεφήναντο, ἐψήφισαν. Gu.

864. ἀπορρῆξαι: ἀποβαλεῖν. Gr. βιαίως ἀφεῖναι. Gu.

865. κοινὰς ἀδελφῷ: ἢ ἴσον θάνατον τῷ ἀδελφῷ θνήσκουσαν, ἢ τὴν αὐτὴν δυστυχίαν τῷ ἀδελφῷ ἔχουσαν, ὡς ἐκείνου μὲν τὸν φόνον ποιήσαντος, ἐμοῦ δὲ συμβουλευσάσης. καὶ διὰ τοῦτο, ἐπειδὴ ὁμοίως ἀμφότεροι δυστυχοῦμεν, καὶ τὸν αὐτὸν ὑπόσχωμεν θάνατον. Gu. I.

866.—956. Ἐτύγχανον μὲν βαίνων, ἀντὶ τοῦ ἔβαινον, ἀγρόθεν, ἀπὸ τῶν ἀγρῶν, ἔσω τῶν πυλῶν τῆς πόλεως δηλονότι, χρῄζων μαθεῖν καὶ τὰ περὶ σοῦ καὶ τὰ περὶ τοῦ Ὀρέστου· εἶχον γάρ ποτε ἀγάπην τῷ σῷ πατρὶ, καὶ ἔτρεφέ με ὁ σὸς δόμος, πένητα μὲν, ἀναγκαῖον δὲ τοῖς φίλοις εἰς τὸ χρῆσθαι ἐμοὶ δηλονότι. ὁρῶ δὲ ὄχλον στείχοντα, ἤτοι πλῆθος λαοῦ βαδίζον, καὶ καθίζοντα κατὰ τὸ ἀκρωτήριον (v. 872.), ὅπου φασὶ κατ' ἀρχὰς τὸν Δαναὸν διδόντα δίκας τῷ Αἰγύπτῳ ἀθροῖσαι τὸν λαὸν εἰς κοινὰς ἕδρας, ἤτοι εἰς συνέδριον. ἰδὼν δὲ τὴν συναγωγὴν τοῦ λαοῦ ἠρώτησά τινα τῶν πολιτῶν τί καινὸν καὶ νέον γέγονε τῷ Ἄργει δηλονότι. ἆρα ἄγγελμά τι παρὰ τῶν πολεμίων ἐλθὸν διήγειρε τὴν πόλιν τῶν Δαναϊδῶν; ὁ δὲ εἶπεν, οὐχ ὁρᾷς ἐκεῖνον τὸν Ὀρέστην πλησίον τοῦ ἀθροίσματος ἐρχόμενον, μέλλοντα δραμεῖσθαι ἀγῶνα τὸν θανάσιμον, ἤτοι τὸν θάνατον ἐπάγοντα. ὁρῶ δὲ φάσμα ἀνέλπιστον, ὃ μήποτε ὤφελον ἰδεῖν, λέγω τὸν Πυλά-

11. ἀντὶ τοῦ om. A.
16. ὡς] ἢ I.
18. ὑπόσχωμεν] ὑπόσχωμεν ἂν Gu. ὑπόσχοιμεν ἂν I. ὑπόσχοιμεν ἂν Barnes.
19. Ἐτύγχανον—] Haec I. habet post scholion v. 942.

δην καὶ τὸν σὸν σύγγονον στείχοντε, ἤγουν στείχοντας καὶ βαδίζοντας ὁμοῦ, τὸν μὲν, ἤγουν τὸν Ὀρέστην, κατηφῆ καὶ σκυθρωπὸν καὶ παραλελυμένον ὑπὸ τῆς νόσου, (v. 882.) τὸν δὲ Πυλάδην ἐπὶ τῷ φίλῳ λυπούμενον, ἴσα καὶ ὁμοίως ἀδελφῷ, κυβερνῶντα τὸ νόσημα παιδαγωγίᾳ καὶ χειραγωγίᾳ. ἐπεὶ δὲ ἐγένετο ὁ ὄχλος τῶν Ἀργείων πλήρης, κῆρυξ ἀναστὰς εἶπε, τίς θέλει λέγειν, πότερον, ἀντὶ τοῦ ἄρα, πρέπον ἐστὶν ἀποθανεῖν τὸν Ὀρέστην μητροκτονήσαντα, ἢ μὴ χρεὼν καὶ πρέπον ἐστί; καὶ ἐπὶ τούτῳ, ἤτοι μετὰ τοῦτον, ἀνίσταται, ἀντὶ τοῦ ἀνέστη, ὁ Ταλθύβιος, ὃς συνεπόρθει τῷ σῷ πατρὶ, ἤγουν σὺν τῷ σῷ πατρὶ, τοὺς Φρύγας. ἔλεξε δὲ διχόμυθα, τουτέστι διπλῆν ἔννοιαν ἔχοντα, ἤτοι δίγνωμα καὶ ἀμφιρρεπῆ, ὢν ἀεὶ ὑπὸ τοῖς δυναμένοις, ὑποκάτω τῶν δυναμένων, ἤτοι τοῖς κρατοῦσι χαριζόμενος, τὸν μὲν σὸν πατέρα ἐκπαγλούμενος καὶ θαυμάζων, τὸν σὸν δὲ σύγγονον οὐκ ἐπαινῶν, (v. 899.) λόγους κακοὺς ἑλίσσων, ἀντὶ τοῦ συνείρων καὶ συμπλέκων καλοῖς, ὅτι καθισταίη, ἀντὶ τοῦ καθίστησιν καὶ τίθησιν, εἰς τοὺς τεκόντας νόμους οὐ καλούς· τὸ δὲ ὄμμα ἀεὶ ἐδίδου χαροπὸν τοῖς φίλοις τοῦ Αἰγίσθου. τὸ γὰρ γένος τῶν κηρύκων τοιοῦτον· ἐπὶ τὸν εὐτυχῆ πηδῶσι καὶ ὁρμῶσιν ἀεὶ οἱ κήρυκες. οὗτος δὲ φίλος αὐτοῖς, τοῖς κήρυξιν, ὃς ἂν ἰσχύῃ καὶ ὑπάρχῃ ἐν ἀρχαῖς πόλεως, ἤτοι ἀρχὴν πόλεως ἔχῃ. μετὰ τοῦτον ἐδημηγόρει ὁ Διομήδης ὁ ἄναξ. οὗτος κτανεῖν μὲν οὐδὲ σὲ, οὐδὲ τὸν σύγγονόν σου εἴα καὶ παρεχώρει, φυγῇ δὲ καὶ ἐξορίᾳ ζημιοῦντας τοὺς Ἀργείους, ὑμᾶς δηλονότι, εὐσεβεῖν, ἤτοι καθαροὺς εἶναι. ἐθορυβήθησαν δὲ οἱ μὲν λέγοντες ὅτι καλῶς λέγει, (v. 902.) οἱ δὲ οὐκ ἐπῄνουν, τὰ ὑπ᾽ ἐκείνου λεχθέντα δηλονότι. καὶ μετὰ τοῦτον ἀνέστη ἀνὴρ ἀκρατόστομος, ἰσχύων θράσει καὶ ἀναισχυντίᾳ, Ἀργεῖος, οὐκ Ἀργεῖος, ἤτοι κατ᾽ ἀνάγκην ὢν Ἀργεῖος, πίσυνός τε καὶ θαρρῶν θορύβῳ καὶ ταραχῇ καὶ παρρησίᾳ ἀμαθεῖ καὶ ἀπαιδεύτῳ, πιθανὸς καὶ ἐπιτήδειος περιβαλεῖν αὐτοὺς κακῷ τινί.—ὅταν γὰρ ἡδὺς, ὢν δηλονότι, τοῖς λόγοις καὶ κατὰ τοὺς λόγους φρονῶν κακῶς πείθει τὸ πλῆθος, κακὸν μέγα ὑπάρχει τῇ πόλει· ὅσοι δὲ μετὰ γνώσεως βουλεύουσιν, ἀντὶ τοῦ συμβουλεύουσιν, ἀεὶ χρηστὰ καὶ ἀγαθὰ, κἂν μὴ παραυτίκα, αὖθις, ἤτοι εἰς τὸ μέλλον, εἰσὶ χρήσιμοι τῇ πόλει. πρέπει δὲ τὸν προστάτην (v. 912.) ἰδόντα, τουτέστιν ἐγνωκότα, ὧδε καὶ οὕτως σκοπεῖν καὶ ἐρευνᾶν· ὅμοιον γὰρ

16. χαροπὸν] χαρωπὸν I. 30. φρονῶν Matth. φησὶ I. 31. δὲ addidi.

γίνεται τὸ πρᾶγμα τῷ λέγοντι τοὺς λόγους, ἤτοι τῷ δημηγοροῦντι, καὶ τῷ τιμωμένῳ αὐτοὺς, τουτέστι τῷ ἄρχοντι.—ὃς εἶπεν ἀποκτεῖναι τὸν Ὀρέστην καὶ σὲ, τοὺς Ἀργείους δηλονότι, βάλλοντας πέτροις, ἤτοι λιθοβολοῦντας. ὑπέτεινε δὲ καὶ ὑπέβαλεν ὁ Τυνδάρεως τῷ κατακτείνοντι σφῷ, τουτέστι τῷ συμβουλεύοντι φονευθῆναι ὑμᾶς, λέγειν λόγους τοιούσδε. ἄλλος δὲ ἀναστὰς ἔλεγεν ἐναντία τῷδε, κατὰ τὴν ὄψιν μὲν οὐκ εὐειδὴς, ἀνὴρ δὲ γενναῖος καὶ εὐγενὴς τῇ ψυχῇ, ὀλιγάκις μολύνων τὸν κύκλον τῆς ἀγορᾶς, ἀντιστρόφως, ἀντὶ τοῦ ὀλιγάκις χραινόμενος καὶ μολυνόμενος ὑπὸ τοῦ ἄστεος καὶ τοῦ κύκλου τῆς ἀγορᾶς, αὐτουργὸς καὶ γεωργὸς, οἵπερ καὶ μόνοι σώζουσι τὴν γῆν, ἀντὶ τοῦ τοὺς ἀνθρώπους, συνετὸς δὲ καὶ φρόνιμος, θέλων χωρεῖν ὁμόσε τοῖς λόγοις, τουτέστι παρρησιάζεσθαι διὰ τῶν οἰκείων λόγων, πρὸς τοὺς τὰ ἄδικα λέγοντας, (v. 922.) ἀκέραιος καὶ ἀνεπίληπτος, ἐπιτηδεύσας βίον ἄμεμπτον· ὃς εἶπε στεφανοῦν καὶ τιμᾶν τὸν παῖδα τοῦ Ἀγαμέμνονος, ὃς ἠθέλησε τιμωρεῖν καὶ βοηθεῖν τῷ πατρὶ, κτανὼν γυναῖκα κακὴν καὶ ἄθεον, ἣ ἐκεῖνα τὰ πράγματα ἀπεστέρει τοὺς ἄνδρας, μήτε ὁπλίζεσθαί τινα κατὰ τὰς χέρας, τουτέστι μήτε μετὰ ὅπλων κινεῖν τὴν χεῖρα, μήτε στρατεύειν ἀφέντα τὰ δώματα, εἰ οἱ λελειμμένοι καὶ ἐναπολειφθέντες τῶν ἀνδρῶν φθείρουσι τὰ ἔνδον οἰκουρήματα, ἤτοι τὰς ἔνδον οἰκουροὺς γυναῖκας, λωβώμενοι καὶ ὑβρίζοντες τὰς εὐνάς. καὶ τοῖς χρηστοῖς ἐφαίνετο λέγειν εὖ καὶ καλῶς, καὶ οὐδεὶς εἶπεν εἰς τὸ ἑξῆς. ἐπὶ τούτῳ δὲ ἦλθεν ὁ σὸς σύγγονος· (v. 932.) ἔλεξε δὲ, ὦ ἄνδρες οἱ κεκτημένοι τὴν γῆν τοῦ Ἰνάχου, πάλαι, ἤτοι ἄνωθεν, Πελασγοὶ, δεύτερον δὲ Δαναΐδαι, ἀντὶ τοῦ ὕστερον, ὑμῖν ἀμύνων καὶ βοηθῶν οὐδὲν ἔλαττον ἢ τῷ πατρὶ, ἔκτεινα τὴν μητέρα· εἰ γὰρ ὁ φόνος τῶν ἀρσένων ἔσται ὅσιος, ἤτοι ἐνδεδομένος ταῖς γυναιξὶν, οὐκέτι ἂν φθάνοιτε καὶ καταλαμβάνοιτε θνήσκοντες, ἢ χρεὼν καὶ ἀναγκαῖον δουλεύειν ταῖς γυναιξί. τὸ ἐναντίον δὲ δράσετε, ἢ καὶ παρὸ χρεὼν καὶ πρέπον δρᾶσαι· νῦν μὲν γὰρ προδοῦσα, ἤτοι ἔκδοτα ποιήσασα, τὰ λέκτρα τοῦ ἐμοῦ πατρὸς τέθνηκεν. εἰ δὲ δὴ κτενεῖτε ἐμὲ, ὁ νόμος ἀνεῖται καὶ ἀπολέλυται, καὶ οὐκ ἂν φθάνοι τις θνήσκων, (v. 942.) ὅτι τῆς τόλμης, τῶν γυναικῶν δηλονότι, οὐ γενήσεται σπάνις καὶ ἔνδεια. ἀλλ' οὐκ ἔπειθε τὸν ὅμιλον, δοκῶν εὖ καὶ καλῶς λέγειν. νικᾷ δὲ ἐκεῖνος ὁ κακὸς λέγων ἐν τῷ πλήθει, ὃς ἠγόρευε κτανεῖν τὸν σύγγονον καὶ σέ. μόλις δὲ ἔπεισεν ὁ τλήμων

Ὀρέστης μὴ κτανεῖν πετρουμένους, ἤτοι λίθοις βαλλομένους. ὑπέσχετο δὲ ἐν σφαγῇ αὐτόχειρι, ἤτοι αὐτοεργῷ καὶ διὰ τῶν οἰκείων χειρῶν, λείψειν τὸν βίον σὺν σοὶ ἐν τῇδε τῇ ἡμέρᾳ. ἄγει δὲ αὐτὸν ἀπὸ τῶν ἐκκλήτων ἐνταῦθα, ἤτοι ἀπὸ τῆς ἐκκλησίας, ὁ Πυλάδης δακρύων. συνακολουθοῦσι δὲ καὶ οἱ φίλοι κλαίοντες, οἰκτείροντες. ἔρχεται δέ σοι (v. 952.) πικρὸν θέαμα καὶ πρόσοψις ἐλεεινή. ἀλλ' ἑτοίμαζε ξίφη, ἢ σχοινίον ἀγχόνης ἐπὶ τῷ τραχήλῳ, ὅτι ἀπόκειται λιπεῖν σε τὸ φῶς. ἡ εὐγένεια δὲ οὐδὲν ἐπωφέλησεν, ἀντὶ τοῦ ὠφέλησεν, οὐδὲ ὁ Φοῖβος, ὁ Πύθιος, ἤτοι ὁ Ἀπόλλων ὁ καθίζων τρίποδα, ἤτοι ὁ ἐπὶ τρίποδος καθίζων, ἀλλὰ ἀπώλεσεν. I.

866. ἐτύγχανον μὲν βαίνων ἐξ ἀγροῦ ἐντὸς τῶν πυλῶν, χρῄζων ἀκοῦσαι τὰ περὶ σοῦ καὶ τὰ περὶ Ὀρέστου· ἀεί ποτε γὰρ εὐνοϊκῶς διεκείμην πρὸς τὸν πατέρα σου, καί μ' ἔτρεφεν ὁ σὸς οἶκος πένητα μὲν, εὐγενῆ δὲ πρὸς τὸ χρῆσθαι τοῖς φίλοις, ἢ γενναῖον ὑπάρχοντα τοῖς φίλοις εἰς τὸ χρῆσθαι αὐτοὺς ἐμοὶ, ὅμοιον τῷ "ἡδὺς ὁ ποταμὸς πιεῖν." I.

869. ἔφερβε: ἔτρεφε. M.

870. χρῆσθαι δὲ γενναῖον: εὐγενῆ πρὸς τὸ χρῆσθαι. B.M.

871. καὶ θάσσοντ' ἄκραν: τόπος οὕτω καλούμενος· λέγει δὲ τὸν πρῶνα· ἐνταῦθά φασι τοὺς Ἀργείους ἐκκλησιάζειν. λέγουσι δὲ καὶ τὸν Δαναὸν ἐνταῦθα δεδωκέναι δίκας τῷ Αἰγύπτῳ ὑπὲρ ὧν εἰργάσαντο φόνων αἱ θυγατέρες αὐτοῦ. A.B.M.I.

872. οὗ φασι πρῶτον Δαναόν: Δαναὸς ἐγένετο Ἄργους βασιλεύς. οὗτος τὰς θυγατέρας ἑαυτοῦ πεντήκοντα οὔσας ἐκδίδωσι πρὸς

14. γενναῖον—] Ultima γενναῖον δὲ ὑπάρχ. sunt etiam in Gr. sine interpretatione praecedente. Reliqua omnia ibidem pro glossis supra adscripta sunt, nisi quod v. πυλῶν suprascriptum est τῆς πόλεως, et v. πυθέσθαι μαθεῖν, ut in Fl. 6. 9. 17. 21. 56. 59. 76. MATTH.

15. ἡδὺς ὁ ποταμὸς πιεῖν] Conf. schol. v. 806. p. 208, 1.

19. τὸν πρῶνα] τὴν πρῶνα B.I. In C. τὸν πρῶνα λέγει.

20. φασὶ om. M. φησὶ C.

ib. λέγουσι δὲ καὶ] φ^η (i. e. φησί, pro φασί scriptum) in A.C.M. in quibus haec verba usque ad αἱ θυγατέρες αὐτοῦ separatum scholion sunt.

21. δίκας om. C.

ib. ὧν—φόνων] ὃν—φόνον M.

23. οὗ φασι—Δαναόν] Sic B. In I. ἄλλως sine lemmate. In A.M. hoc scholion legitur infra post versus ex Bellerophonte allatos.

ib. Δαναὸς] δὲ add. A.

24. πεντήκοντα οὔσας] οὔσας πεντήκοντα M.

ib. ἐκδίδωσι πρὸς γάμον] ἐκδίδωσιν εἰς γάμον I. ἐξέδοτο πρὸς γάμον A.

γάμον τοῖς υἱοῖς Αἰγύπτου πεντήκοντα καὶ αὐτοῖς οὖσιν. οὗτος ἀπῆλθεν εἰς τὸ μαντεῖον, χρησόμενος εἰ ἄρα καλῶς ἔγημαν αἱ θυγατέρες. ὁ δὲ θεὸς ἔχρησεν αὐτὸν ἐκ τούτου κινδυνεύσειν. ὁ δὲ ἔπεισε τὰς θυγατέρας ἀνελεῖν τοὺς υἱοὺς Αἰγύπτου. μόνη δὲ Ὑπερμνήστρα ἐφείσατο τοῦ Λυγκέως, καὶ οὗτος ἐβασίλευσεν Ἄργους. A. B.M.I. Ἄλλως. ὅπου φασὶ πρῶτον Δαναὸν μετὰ τὸν θάνατον τῶν υἱῶν Αἰγύπτου δοῦναι δίκας. αὐτὸς γὰρ ὁ Αἴγυπτος ἧκεν εἰς Ἄργος τιμωρήσων τὸν φόνον. Δαναὸς δὲ μαθὼν ἐξῆγεν εἰς ὅπλα τοὺς Ἀργείους. ἀλλὰ Λυγκεὺς πείθει λόγοις ὁρίσασθαι τὴν ἔχθραν, καὶ καθιστῶσι δικαστὰς αὐτοῖς Αἰγυπτίων καὶ Ἀργείων τοὺς ἀρίστους. ὁ δὲ τόπος ἔνθα ἡ δίκη συνήχθη περὶ τὴν μεγίστην ἄκραν, ἔνθα καὶ Ἴναχος ἁλίσας τὸν λεὼν συνεβούλευσεν οἰκίζειν τὸ πεδίον, ἐξ ἐκείνου Ἁλιαία καλεῖται, ἡ νῦν Ἡλιαία λεγομένη. Ἄλλως. ἡ πολλὴ δόξα κατέχει μὴ ἀφῖχθαι τὸν Αἴγυπτον εἰς Ἄργος, καθάπερ ἄλλοι τέ φασι καὶ Ἑκαταῖος γράφων οὕτως "ὁ δὲ Αἴγυπτος αὐτὸς μὲν οὐκ ἦλθεν εἰς Ἄργος, παῖδας δὲ, ὡς μὲν Ἡσίοδος, ἐποίησε πεντήκοντα, ὡς δὲ ἐγὼ λέγω, οὐδὲ εἰσί." καὶ Διονύσιος ὁ κυκλογράφος τὰ παραπλήσια τούτῳ φησί. Φρύνικος δὲ ὁ τραγικός φησι σὺν Αἰγυπτίοις τὸν Αἴγυπτον ἥκειν εἰς Ἄργος.

3. αὐτὸν] αὐτῷ B.I.
ib. τούτου] τούτων I.
4. ἔπεισε] πείσας A.
5. καὶ οὗτος] καὶ om. M.
6. Ἄλλως om. M.
ib. Δαναὸν μετὰ τὸν] τὸν δαναὸν μετὰ B.I. τὸν δαναὸν μετὰ τὸν A. τὸν δαναὸν μετὰ ἄγγελον τὸν θάνατον C.
ib. τῶν υἱῶν—τιμωρήσων] τῶν υἱῶν (υἱέων A.C.) ἧκεν εἰς ἄργος αἴγυπτος τιμωρήσων A.M.
8. τὸν φόνον] τῷ φόνῳ B.I.
9. ὁρίσασθαι] λῦσαι B.I.
10. αὐτοῖς] αὐτοὺς A.M. αὐτῆς C.
11. ἡ δίκη σ.] σ. ἡ δίκη C. qui παρὰ pro περὶ et omittit ἔνθα καὶ—ἁλίσας.
12. λεὼν] λαὸν B.I.
ib. ἐξ] ὁ δὲ τόπος ἐξ A.C.M.
13. Ἁλιαία] Sic M. et C.: conf. Valcken. ad schol. Phoen. 45. ἁλιδιὰς B.I. ἁλία Cobetus. In M. est gl. interl. τὴν ἡλιαίαν φησί.
ib. καλεῖται] Quae sequuntur usque ad finem scholii om. C. Verba ἡ νῦν Ἡ. λεγομένη om. A.M.
13. ἀφῖχθαι] ἐλθεῖν I.
14. τέ φασι om. A.
ib. γράφων] γράφει B. γράφεται M. γρ. A.
15. παῖδας δὲ (μὲν A.M.)—ἥκειν εἰς Ἄργος om. I.
16. ὡς δὲ ἐγὼ—εἰσίν om. B.
ib. ὡς δὲ ἐγὼ λέγω] ὡς λέγω (λέγων A.) δὲ A.M. ὡς ἐγὼ δὲ λέγω Mueller. Fragm. Hist. vol. 4. p. 627.
17. κυκλογράφος Cobetus, ut est in scholio v. 997. κυκλογραφεὺς A. B.M.
ib. τὰ παραπλήσια τούτῳ B. ἐν τούτῳ τὰ παραπλήσια A.M.: unde Cobetus ἐν τῷ πρώτῳ τὰ παραπλήσια.
18. φησι σὺν] φησὶν ἐν Nauckius. Phrynichi tragoedia fuit Αἰγύπτιοι inscripta.

λέγεται δέ τις ἐν Ἄργει πρὼν, ὅπου δικάζουσιν Ἀργεῖοι. ἱστορεῖ δὲ περὶ τοῦ χωρίου Δεινίας ἐν θ' τῆς πρώτης συντάξεως, ἐκδόσεως δὲ δευτέρας, γράφων οὕτως "ταχέως δὲ κυριεύσαντες τὸν Μέλαγχρον καὶ τὴν Κλεομήτραν βάλλοντες λίθοις ἀπέκτειναν." καὶ τὸν τάφον αὐτοῦ δεικνύουσιν ἔτι καὶ νῦν ὑπεράνω τοῦ καλουμένου πρωνὸς, χῶμα παντελῶς, οὗ συμβαίνει τοὺς Ἀργείους δικάζειν. τάχα δ' ἂν τούτου καὶ ἐν Βελλεροφόντῃ μνημονεύοι εἰπών "καὶ ξεστὸν ὄχθον Δαναϊδῶν ἑδρασμάτων στὰς ἐν μέσοισιν εἶπε κηρύκων ὕπο." A.B.M.I.

οὗ φασι Δαναόν: ἐν κρίσει ἀπολογίας τοῦ φόνου τῶν υἱέων. μετὰ θάνατον τῶν υἱέων ἧκεν εἰς Ἄργος Αἴγυπτος τιμωρησόμενος Δαναόν. καὶ ὃς μαθὼν ἐξῆλθε μετὰ τῶν Ἀργείων εἰς μάχην. ἀλλὰ Λυγγεὺς ὁ υἱὸς Αἰγύπτου ὁ μόνος ἀποφυγὼν τὸν θάνατον πείθει λόγοις τόν τε πατέρα Αἴγυπτον καὶ Δαναὸν θεῖον καταλῦσαι τὴν μάχην καὶ εἰς κρίσιν ἐλθεῖν. καθιστῶσιν οὖν δικαστὰς αὐτοῖς Αἰγυπτίων καὶ Ἀργείων ἀρίστους. γέγονε δὲ ἡ δίκη παρὰ τὴν ἀκρόπολιν, ἔνθα καὶ πρῶτον Ἴναχος κατελθὼν ἐξ ὄρους μετά τινων ἀνδρῶν ᾤκισε τὸ πεδίον. ὁ δὲ τόπος ἐξ ἐκείνου Ἡλιαία καλεῖται, ἐν ᾧ Ἀργεῖοι ἐποίουν τὰς δίκας. Gu. τὴν Ἡλιαίαν φησί. M.

ἄκραν: τὸ ἀκρωτήριον. Gr. τῆς πόλεως. Gu. εἰς τὴν ἀκρόπολιν, ἔνθα ἦν καὶ τὸ λεγόμενον Ἡλιαία δικαστήριον. Gu.

873. ἀθροῖσαι: συναγαγεῖν. Fl. 6.

874. ἄθροισμα: τὴν συναγωγήν. Gu.

1. λέγεται] Sic A.M., non λέγει ut Cobet.

ib. Ἀργεῖοι] Addit M. ἀλλ' οὐ παρήκει (παρῆκεν Cobetus) ὁ δαναὸς αἰγύπτῳ δικάσασθαι, verba ab hoc loco aliena, quae cum scholio superiore, ubi est Δαναὸς δὲ μαθὼν etc. composuit Mueller. Fragm. Hist. vol. 3. p. 25.

2. ἐν θ' Muellerus pro ἔνθα, (ἐν θ M.) quod in ἐν τῷ πρώτῳ mutaverat Cobetus. Verba ἐν θ'—δευτέρας om. B.I.

ib. δὲ δευτέρας A. δεύτερον, sine δέ, M.

3. κυριεύσαντες] κυριεύσαντα B.I.

ib. τὸν Μέλαγχρον] τὸν Μελάγχρουν Cobetus. τὸν μελάχαριν B.M. τὸν μὲν λαν (χρ) A. Nominis Μέλαγχρος exemplum est Lesbi tyrannus sic vocatus: v. Alcaeum ap. Hephaest. p. 80. ed. Gaisf. Diog. L. 1, 74. Suidam s. v. Πιττακός.

4. Κλεομήτραν βάλλοντες om. M.

5. πρωνὸς Cobetus. πρῶνος A.B.I. πρώνου M.

7. Βελλεροφόντῃ] βελεροφόντῃ M.

ib. μνημονεύοι Matth. μνημονεύει A.B.M.I.

ib. ὄχθον Δαναϊδῶν ἑδρασμάτων] ὄχθον, Δαναϊδῶν ἑδράσματα Hermann. Opusc. vol. 2. p. 322.

ib. στὰς (στὰς om. A.)—κηρύκων add. A.B.M., om. I. ὕπο addidit Cobetus.

875. μῶν τι πολεμίων πάρα: ἆρα παρὰ πολεμίων τινῶν ἄγγελμα παραγενόμενον ἀνήγειρε τὴν πόλιν; B.

876. ἄγγελμα: μήνυμα. Gu. ἀνεπτέρωκε: διήγειρε. Gr. I. ἀνήγειρε, ἐθορύβησε. Gu. ἀνέσεισεν. Fl. 33. Δαναϊδῶν: τῶν ἀπὸ τοῦ Δαναοῦ καταγομένων. Gr. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

877. πέλας: πλησίον. Gr. τοῦ ἀθροίσματος. Gu.

878. θανάσιμον: θάνατον ἐπάγοντα. Gr.

879. ἄελπτον: ἀπροσδόκητον, ἀνέλπιστον. B. ἀνέλπιστον πρᾶγμα. M. ἀνέλπιστον. Gr. φάσμ': ὄψιν. Gr. θέαμα, θέαν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

881. κατηφῆ: σκυθρωπόν. Gr. I. παρειμένον: παραλελυμένον καὶ ἔκλυτον ὑπὸ τῆς νόσου. Gr. I.

882. τὸν δ' ὥστ' ἀδελφόν: τὸν δὲ συλλυπούμενον τῷ φίλῳ καθάπερ ἀδελφός. M. τὸν δὲ ἐπὶ τῷ φίλῳ λυπούμενον ἴσα ὥστε ἀδελφόν. Gr. I. ἴσα φίλῳ: τὸ ἴσα οὐκ ἔστι πρὸς τὸ φίλῳ, ἀλλ' ἔστι τὸ φίλῳ πρὸς τὸ λυπούμενον οὕτω· τὸν δὲ λυπούμενον τῷ φίλῳ ὥστε καὶ ὥσπερ ἀδελφὸν ἴσα καὶ ὁμοίως. ἔστιν οὖν τὸ ἴσα καὶ τὸ ὥστε ταυτοδύναμα, τὸ μὲν ὥστε πρὸς τὸ ἀδελφὸν ὄν, τὸ δὲ ἴσα ἀσύντακτον διὰ μέσου κείμενον. Gu. Bar.

883. κηδεύοντα δὲ παιδαγωγίᾳ ἀντὶ τοῦ θεραπεύοντα τῇ χειραγωγίᾳ. B.M. θεραπεύοντα, ἐπιμελούμενον. I. κυβερνῶντα, φροντίδος ἀξιοῦντα. δουλεύοντα. Gu. κηδεύω τὸ τῆς προσηκούσης τοῖς νεκροῖς ἐπιμελείας καὶ κηδεμονίας ἀξιῶ, καὶ ἀπὸ τούτου τὸ κυβερνῶ. Fl. 21. παιδαγωγίᾳ: κυβερνήσει. Gr. Florr. θεραπείᾳ. Gu.

884. πλήρης: πεπληρωμένος, πολύς. Fl. 6. ἀκέραιος. Gu. Ἀργείων ὄχλος: ἡ πληθὺς τῶν Ἀργείων. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

887. μητροκτονοῦντα: μητροκτονήσαντα. Gr. κἀπὶ τῷδε: μετὰ τοῦτον. Gr. ἢ μετ' ἐκείνου. τῷ λόγῳ. Gu.

888. συνεπόρθει: συγκατέστρεφε. Fl. 6.

1. ἆρα π. π. τ. et ἀνήγειρε in M.

14. τὸν δὲ] Ὀρέστην add. I., pro quo Barn. Πυλάδην. Neutrum est in Gr. sed in Gu. recte supra φίλῳ scriptum τῷ Ὀρέστῃ. Pro ἴσα ἀδέλφῳ, quod est in I., Gr. ἴσα ὥστε ἀδελφόν. In B. est τὸν δὲ συλλυπούμενον τῷ φίλῳ ἴσα ἀδελφῷ.

20. κηδεύοντα—τοῦ om. M. Solum χειραγωγίᾳ in I. Idem in Gr.

889. ὑπὸ τοῖς δυναμένοις: τοῖς κρατοῦσιν ἀεὶ χαριζόμενος. M. ὑπὸ τοῖς ἄρχουσιν. I. τουτέστι τοῖς δυνατοῖς χαριζόμενος καὶ πρὸς ἐκείνους νεύων τῇ γνώμῃ. Gu. Bar. τοῖς κρατοῦσι. Gu. ὑποκάτω ὢν τῶν δυναμένων, τουτέστι πρὸς τὸ θέλημα ἐκείνων. Fl. 6.

890. διχόμυθα: τὸ ἑξῆς ἀντὶ τοῦ διχόγνωμα, τοῖς κρατοῦσιν ἄλλοτε ἄλλα προσχαριζόμενος. τὸ δὲ διχόμυθα ἐξηγεῖται διὰ τοῦ καλοῖς κακοὺς λόγους ἑλίσσων. B.C.M.I. διχόμυθα: δίγνωμα, ἀμφιρεπῆ, διπλοῦς λόγους. Gu. ἐκπαγλούμενος: ἐκπληττόμενος, ἐπαινῶν. B.M. θαυμάζων. B. Gr.

891. καλοῖς κακοὺς λόγους ἑλίσσων: διὰ τοῦ καλοῖς κακοὺς λόγους ἑλίσσων ἐξηγεῖται τὸ διχόμυθα. M. ἐφερμηνευτικὸν τοῦτο τοῦ διχόμυθα. καλοῖς περὶ τοῦ πατρὸς, κακοῖς δὲ περὶ τοῦ Ὀρέστου. Fl. 6. τοῖς ὑπὲρ τοῦ πατρός. Gu.

892. ἑλίσσων: συνείρων. Gr. περιπλέκων, συνάπτων. Gu. συστρέφων. Fl. 33. καθισταίη νόμους: ἀντὶ τοῦ κυροίη, λέγων, ὅτι ὁ Ὀρέστης οὐ καλὸν νόμον εἰσήνεγκεν εἰς τοὺς τεκόντας. A.B.C.M.I. νόμους: τὸ τὰς μητέρας ἀποκτείνειν, ἐάν τι φαῦλον ποιήσωσιν. Gu. Bar.

894. φαιδρωπόν: χαρωπόν. Gr. I. χαρίεν καὶ βοηθὸν, ἱλαρόν. Gu. ἐδίδου: ἔστρεφε. I.

895. ἐπὶ τὸν εὐτυχῆ: καὶ ἐν ἄλλοις κατὰ τῶν κηρύκων λέγει ὅτι "ἀεί ποτε σπέρμα κηρύκων λάλον." B.C.M.I.

896. πηδῶσι: μεταβαίνουσιν. I. ὀξέως add. Fl. 6. ταχέως ὁρμῶσιν. Gu. ὅδε: ὁ εὐτυχής. Gu.

897. ἐν τ' ἀρχαῖσιν ᾖ: οὗτος δὲ φίλος ἐστὶ τοῖς κήρυξιν ὅστις ἂν δύνηται καὶ ἄρχῃ τῆς πόλεως, καὶ αὐτοὶ τούτῳ πείθονται. C. καὶ ὅστις ἐν ἀρχαῖς ᾖ πόλεως, ἤγουν ἀρχὴν πόλεως ἄρχῃ, ἢ ὃς ἂν δύνηται καὶ ἄρχῃ τῆς πόλεως. I.

898. ἐπὶ τῷδε: μετὰ τοῦτον. Gr. μετ' ἐκεῖνον. Gu. Διομήδης: ὁμώνυμος τῷ ἐν τῇ Τροίᾳ. Gu.

5. τὸ ἑξῆς om. I.
6. ἄλλα] ἄλλος C.
ib. τοῦ] τὸ C., omisso ἐξηγεῖται. τὸ etiam M. lin. 10.
15. καθισταίη] δὲ add. B.I.
ib. κυροίη] κυροῖ B.I. De C. non constat quia literae evanidae sunt.
ib. ὁ Ὀρέστης] ὁ om. A.B.I.
16. νόμον] δρόμον A.M.
19. χαρωπόν Gr. χαρροπόν I.
21. λέγει] λέγων A.C.M.
22. ποτε] ποτ' ἐστὶ Musgravius. Versus Euripidis ex fabula perdita.
27. ὃς ἂν—πόλεως etiam A.B.M.

899. *οὗτος κτανεῖν*: οὗτος οὐκ εἴα κτανεῖν οὔτε σὲ οὔτε τὸν σὸν ἀδελφόν. Gr. I.

900. *φυγῇ δὲ ζημιοῦντας*: ἔλεγε δὲ ἐξορίᾳ. Gr. κολάζοντας ὑμᾶς. Gu. οὐ γὰρ δύναται τὸ εἴα ἀπὸ κοινοῦ καὶ ἐνταῦθα λέγεσθαι. Gr. I. *εὐσεβεῖν*: καθαροὺς εἶναι. Gr. τὸ γὰρ Ὀρέστην καὶ Ἠλέκτραν λευσίμους γενέσθαι ἀσέβεια ἦν. Gu.

901. *ἐπερρόθησαν*: ἐθορύβησαν. I. ἐθορυβήθησαν. Gr. μετὰ ταραχῆς ἤχησαν. Gu.

903. *ἀνήρ*: Κλεοφῶν. Gu. *ἀθυρόγλωσσος*: ἀκρατόστομος, ὁ Κλεοφῶν. I. ταῦτά φασιν ἐπὶ Κλέωνι τῷ δημαγωγῷ λέγεσθαι, σφαλλόμενοι· πρὸ γὰρ τῆς τοῦ Ὀρέστου διδασκαλίας πολλοῖς χρόνοις ὁ Κλέων ἐτελεύτα. τάχα οὖν εἰς Κλεοφῶντα τείνει, ἐπεὶ καὶ ἔναγχος οὗτος τὰς πρὸς Λακεδαιμονίους συνθήκας οὐ προσήκατο. καὶ τὸ λέγειν δὲ "Ἀργεῖος οὐκ Ἀργεῖος ἠναγκασμένος" εἰς τοῦτον βλέπει. θέλει δὲ εἰπεῖν Ἀθηναῖον οὐκ Ἀθηναῖον ὄντα αὐτόν, ἀλλὰ νόθον πολίτην, παρ' ὅσον Θρᾲξ ἦν ὁ Κλεοφῶν. Ἀριστοφάνης Βατράχοις "φιλοτιμότεραι Κλεοφῶντος, ἐφ' οὗ δὴ χείλεσιν ἀμφιλάλοις δεινὸν ἐπιβρέμεται Θρῃκία χελιδών, ἐπὶ βάρβαρον ἑζομένη πέταλον." A.B.M.I.

ἀθυρόγλωσσος: ἀκρατόστομος. Gr. πολυλόγος, λάλος. Gu. οὗτοι γὰρ διὰ τὸ πάνθ' ἃ νοήσειαν ἐκφέρειν τῇ γλώττῃ θύραν οὐ δοκοῦσιν ἐν τοῖς στόμασιν ἔχειν. Gu. Bar. *θράσει*: τῇ ἀναισχυντίᾳ. Gu.

904. *Ἀργεῖος οὐκ Ἀργεῖος*: Ἀργεῖος μὲν ὡς ἐν Ἄργει γεννηθεὶς καὶ τραφείς, οὐκ Ἀργεῖος δὲ ὡς τῶν πατέρων αὐτῷ ἐκ Θρᾴκης ὄντων. Gu. Bar. *οὐκ Ἀργεῖος*: οὐ γνήσιος οὗτος ὁ Κλέων ἦν· τῷ Ἄργει γὰρ καταλεγόμενος Θρᾲξ ἦν τὸ ἀνέκαθεν. Fl. 6.

1. οὗτος] οὗτος ὁ διομήδης I.
ib. οὔτε—οὔτε] οὐδὲ—οὐδὲ Gr.
4. οὐ γὰρ—] Haec in I. post τὸν σὸν ἀδελφὸν sine lemmate.
10. φασιν] φη A.B.M.
12. ὁ Κλέων] ὁ om. I.
ib. τάχα] ταῦτα A.
ib. τείνει] συντείνει A.
ib. ἐπεὶ καὶ] καὶ om. M. ἐπείγω καὶ A.
14. οὐκ Ἀργεῖος om. A.
ib. τοῦτον βλέπει (βλέπειν A.)] τοῦτο βλέπει B.I.
15. δὲ] γὰρ M.
16. ὁ Κλεοφῶν Ruhnken. Hist. Orat. p. xlv. ἐκ δελφῶν ὁ κλεοφῶν B.I. ἐκ δελφῶν ὁ κλέων A.M.
ib. Βατράχοις] 690.
17. ἀμφιλάλοις δεινὸν] ἀμφιάλοις (sic etiam M.) δειλὸν A.
20. οὗτοι γὰρ] οἱ γὰρ πολυλόγοι Bar.
22. τοῖς στόμασιν] τῷ στόματι Bar.
24. πατέρων] πρῶον (sic) Gu.
25. ὄντων] In Gu. additum excerptum ex scholio superiore, καὶ ἀριστοφάνης ὡς θρᾷκα διασύρων αὐτὸν ἐν βατράχοις φησὶ φιλοτιμότεραι usque ad ἑζομένη πέταλον.

ἠναγκασμένος: τὸ ἑξῆς Ἀργεῖος ἠναγκασμένος, ὡς εἰ ἔλεγε νόθος πολίτης. καὶ τοῦτό φασιν αὐτὸν εἰς Κλεοφῶντα τείνεσθαι, ἐπεὶ Θρᾷξ κωμῳδεῖται. A.M. κατ' ἀνάγκην ἦν Ἀργεῖος. Gr. βεβιασμένος, νόθος πολίτης. Gu.

905. θορύβῳ τε πίσυνος: τεθαρρηκὼς, πείθειν δυνάμενος εἰς τὸ περιβάλλειν κακῷ τινι τοὺς ἀκούοντας, ὥστε αὐτοὺς ποιῆσαί τι κακόν. A.B.C.I. Ἄλλως. φίλος τε τῇ ταραχῇ καὶ τῇ ἀμαθεῖ παρρησίᾳ. C. πίσυνος: λεηλατῶν. M. λεηλατῶν, πιστεύων. Fl. 6. 21.

906. πιθανός: ἐπιτήδειος. Gr. ἔτι: περισσόν. σὺν τούτῳ. Gu. αὐτούς: τὸν Ὀρέστην καὶ τὸν Πυλάδην. I. τοὺς πολίτας. Gu. κακῷ τινι: βλάβῃ τινί. Gr.

907. ἡδύς: ὑπάρχων κατὰ τοὺς λόγους. Gr. κακῶς: κακοτρόπως. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

908. πείθῃ: ἡ γὰρ τῶν λόγων αὐτοῦ ἡδονὴ εἰς πικρίαν καταντᾷ· ἐν γὰρ μόνον θηρᾶται, ὅπως κολακεύσῃ τὸ πλῆθος καὶ ἀποδεκτὸς αὐτῷ γίνηται, τοῦ δὲ λυσιτελοῦντος αὐτῷ οὐ φροντίζει. Gu.

909. σὺν νῷ: μετὰ γνώσεως. Gr. γνώσει. Gu. βουλεύουσι: συμβουλεύουσι. Gr. κἂν μὴ παραυτίκα: λείπει τὸ ἀλλ' οὖν· κἂν μὴ παραυτίκα, ἀλλ' οὖν μετὰ ταῦτά εἰσι χρήσιμοι τῇ πόλει. B.I. εἰσὶ χρήσιμοι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. διὰ τὸ μὴ λέγειν ἡδέως τῷ πλήθει. Gu. αὖθις: ὕστερον. Fl. 6. εἰς τὸ μέλλον, εἰς τὸ μετὰ ταῦτα. Gu. χρήσιμοι: ἐπιτήδειοι εἰς χρείαν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. καὶ γὰρ οἱ τῶν ἰατρῶν παῖδες τοῖς μὲν νοσοῦσι βαρεῖς τὸ καταρχὰς φαίνονται, ἀλλ' ὕστερον πολλοῦ τινος ἄξιοι δι' ὧν πρόσθεν ἐλύπησαν τὴν ὑγείαν παρέχοντες. Gu.

911. θεᾶσθαι δ' ὧδε: ὁ δὲ τοῦ δήμου προϊστάμενος ὀφείλει τοὺς τοιούτους ἐπιλέγεσθαι δημηγόρους, τοὺς καὶ χρησιμεύειν μέλλοντας· ὁμοίως γὰρ τὸ πρᾶγμα γίνεται τῷ τε δημηγόρῳ καὶ τῷ τοῦ δήμου προϊσταμένῳ. τιμωμένῳ γὰρ εἶπε τῷ προϊσταμένῳ. A.B.C.M.I.

1. τὸ ἑξῆς om. M.
2. καὶ τοῦτο] ταῦτα A.
ib. τείνεσθαι A. γίνεσθαι M.
6. περιβάλλειν A. περιβαλεῖν B.I. παραβάλλειν C.
ib. κακῷ τινι] τινὶ κακῷ C. αὐτῷ κακῷ A.
19. εἰσι χρήσιμοι τῇ πόλει om. B. Prima verba λείπει τὸ ἀλλ' οὖν sunt etiam in M.
26. τοὺς om. I.
27. ἐπιλέγεσθαι] ἐπιλέξασθαι I.
ib. δημηγόρους] τοὺς δημηγόρους A.
28. τε δ. καὶ] γε δ. δὲ A.
29. τιμωμένῳ—προϊσταμένῳ addidi ex A.C. γὰρ om. C.

δεῖ, φησὶ, τὸν ἀγαθὸν πολίτην εἰς τὸ τῆς πόλεως συμφέρον ἀφορᾶν ἀεί· καθὼς γὰρ ἂν συμβουλεύσειεν, οὕτως εἰώθασιν ἀποβαίνειν τὰ πράγματα. B.I. Ἄλλως. τὸν προεστῶτα τῆς πόλεως, τουτέστι τὸν δημαγωγὸν, οὕτως ἀφορῶντα πρὸς τὸν λέγοντα δεῖ κρίνειν· ὁμοίως γὰρ, φησὶν, ἀποβαίνει τὸ πρᾶγμα καὶ τῷ λέγοντι καὶ τῷ ἀκούοντι· ὥσπερ γὰρ, ἐὰν ᾖ ὁ συμβουλεύων κακὸς, ἀσύμφορόν ἐστι τῇ πόλει, οὕτως καὶ, ὅταν ὁ ἀκούων κακῶς ἀκούῃ, πάλιν οὐ σύμφορος. A.B.I. Ἄλλως. τὸν δὲ προεστῶτα τῆς πόλεως καὶ τοῦ δήμου ἀνερευνᾶν δεῖ καὶ ἀνασκοπεῖν τὸν συμβουλεύοντα ὁποῖόν ἐστι τὸ ἦθος. εἰς ταυτὸν γὰρ ἀποβαίνει τὸ πρᾶγμα τῷ τε λέγοντι κακῶς καὶ σφαλερῶς συμβουλεύοντι τῷ δεχομένῳ τοὺς αὐτοὺς λόγους. A.

θεᾶσθαι: ἐνταῦθα δὲ, ἤγουν ἐν τοῖς τοιούτοις, χρὴ τὸν προστάτην τῆς πόλεως ἰδόντα, τουτέστιν ἐγνωκότα, θεᾶσθαι, ἀντὶ τοῦ σκέπτεσθαι, ἀκριβῶς σκοπεῖν. Gr. Fl. 6 9. 17. 21. 56. 59. 76. τὸ θεᾶσθαι δ' ὧδε τοῦτο λέγει, ἀντὶ τοῦ σκοπεῖν οὕτω, ποῖός τις καθ' ἡδονὴν λέγει, καὶ ποῖος οὔ, καὶ τῷ μὲν πείθεσθαι, τὸν δὲ καθ' ἡδονὴν λέγοντα μισεῖν, ὡς κακῶν ἐσύστερον αἴτιον. οἱ δὲ λέγοντες τὸ θεᾶσθαι καὶ τὸ ἰδόντα ἐκ παραλλήλου, ὥσπερ τὸ ἐτύγχανεν ὤν, οὐ καλῶς λέγουσιν. ἔχει γὰρ οὕτω· χρὴ δὲ τὸν προστάτην καὶ ἰδόντα καὶ γνόντα καὶ ἀκούσαντα τούτους θεᾶσθαι καὶ σκοπεῖν ὧδε, ὡς ἔφαμεν. Gu.

θεᾶσθαι: σκέπτεσθαι, ἀκριβῶς σκοπεῖν, ἐρευνᾶν. Gu. ὧδε: ἐνταῦθα, ἤγουν ἐν τοῖς τοιούτοις. οὕτως. Gu. τὸν προστάτην: τῆς πόλεως, τὸν δικαστὴν τῶν λόγων, τὸν ἄρχοντα. Gu.

912. ἰδόντα: ἐγνωκότα, γνόντα καὶ ἀκούσαντα τούτους. Gu. ὅμοιον γάρ: τὴν αὐτὴν κακίαν ἔχει ὅ τε τὰ μὴ καλὰ δημηγορῶν καὶ ὁ κυρῶν αὐτὰ, ἢ τὸν αὐτὸν ἔπαινον ὁ τὰ καλὰ δημηγορῶν καὶ ὁ κυρῶν αὐτά. Fl. 6. τὸ χρῆμα: τὸ πρᾶγμα. Gr. τὸ συμβησόμενον. Gu. ὅτι ἡ ἀτιμία τοῦ δημηγόρου ἀνέρχεται εἰς αὐτόν. Gr.

913. τῷ τοὺς λόγους λέγοντι καὶ τιμωμένῳ: τουτέστι τῷ προ-

1. δεῖ] ἄλλως praefixum in marg. B.

2. συμβουλεύσειεν] συμβουλεύσειαν I.

3. Ἄλλως om. A.

ib. τὸν προεστῶτα] τὸν προστάτην: τὸν δὲ προεστῶτα A.

6. ὁ] ὅτι A.

7. ὁ ἀκούων] ὁ om. A.B.I.

ib. κακῶς ἀκούῃ] κακὸς ἀκούει A.

ib. οὐ σύμφορος] ἀσύμφορον A.

16. πείθεσθαι] τίθεσθαι Gu.

29. τουτέστι—] In A. ἀντὶ τοῦ . . . . φέροντι ἀντὶ τοῦ τιμὴν ἔχοντι καὶ τὰ πρωτεῖα τῆς πόλεως τιμωμένῳ. In C. ἀντὶ τοῦ τιμὴν ἔχοντι καὶ τὰ πρῶτα τῆς

ἱσταμένῳ καὶ τὰ πρωτεῖα φέροντι τῆς πόλεως καὶ τιμωμένῳ. A.B. M.I. τῷ δημηγόρῳ. Gu. τιμωμένῳ: τῷ τιμωμένῳ αὐτούς. Gr. ἀποδεχομένῳ αὐτοὺς, ἢ τῷ ἄρχοντι, τῷ βασιλεῖ. Gu.

915. 916. ὑπὸ δ' ἔτεινε: ὑπέβαλλε δὲ αὐτῷ ὁ Τυνδάρεως τοιούτους λόγους λέγειν, ὑμᾶς φονευθῆναι, ἢ οὕτως, ὑποβάλλων ὁ Τυνδάρεως τοῖς καθ' ὑμῶν ποιουμένοις τὸν λόγον, ὑπέτεινε καὶ εἰς ταυτὸ ἦν τῷ ὑμᾶς λέγοντι φονεύεσθαι. τὸ σφώ δὲ ἀντὶ τοῦ τῷ λέγοντι τοὺς δύο φονευθῆναι. τὸ δὲ κατακτείναντι οἷον ἐπὶ τοῖς λόγοις οἷς ἔλεγεν. A.B.M.I. ἤγουν τοιούτους λόγους εἶπεν ὁ Κλεοφῶν εἰς τὸ μέσον καθ' ὑμῶν οἵους ἐνόησεν ὅτι ἀρέσκουσι τῷ Τυνδάρεῳ. C.

ὑπὸ δ' ἔτεινε: ὑπέβαλε δὲ ὁ Τυνδάρεως λόγους τοιούτους λέγειν τῷ σφὼ κατακτείνοντι, ἤγουν τῷ ἀνθρώπῳ ἐκείνῳ τῷ κτείνοντι ὑμᾶς, τουτέστι τῷ συμβουλεύοντι φονευθῆναι ὑμᾶς. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

918.—921. οὐκ εὐωπός: οὐκ εὔοπτος, τουτέστιν οὐκ εὐειδής. B. εὔμορφος: γρ. οὐκ εὔοπτος. M. κατὰ μὲν τὴν ἔξω ἐμφέρει καὶ ἐμφαίνει ἀηδὴς καὶ ἀφανὴς, ἀνδρεῖος δὲ καὶ γενναῖος κατὰ ψυχήν. A. οὐκ εὐειδὴς, οὐκ εὔμορφος. I. ἀνδρεῖος δ' ἀνήρ: γενναῖος. I. ἀνδρεῖος τῇ ψυχῇ. ἀνδρεία γὰρ ἐπὶ ψυχῆς, ῥώμη δὲ ἐπὶ σώματος. τὸ δὲ "ὀλιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον" ἀντὶ τοῦ ἐκκλησίας οὐ περιερχόμενος, οὐδὲ πλησιάζων. αὐτουργὸς δέ ἐστιν ὁ τὴν ἰδίαν ἐργαζόμενος γῆν. σώζουσι δὲ γῆν οἱ αὐτουργοῦντες· γνησίως γὰρ τοὺς ἀγροὺς ἐργάζονται. καὶ τὸ χωρεῖν ὁμόσε τοῖς λόγοις θέλων, ἀντὶ τοῦ

—πόλεως καὶ τετιμημένῳ. ἤγουν etc. (lin. 9.)

4. ὑπέβαλλε] ὑπέβαλε A.M.

5. ἢ οὕτως] ἤγουν οὕτως I.

ib. ὑποβάλλων] ὑποβαλὼν A.

6. ταυτὸ] τὸ αὐτὸ A.M.

7. τὸ σφώ] τῷ σφὼ B., recte si κατακτείναντι addatur.

ib. δὲ ἀντὶ τοῦ] κατακτείναντι A.

8. τὸ δὲ κατακτείναντι—ἔλεγεν hoc loco om. M., sed habet scholion separatum τῷ λέγοντι τοὺς $\overline{β}$ φονευθῆναι. τῷ δὲ κατακτείναντι οἷον ἐπὶ τοῖς λόγοις οἷς ἔλεγεν. Idem scholion est in C. qui post ἔλεγεν addit ὅσον τῇ ἰδίᾳ προρεύσει (i. e. προρρήσει):—

ib. οἷον A.M. ὅσον B.I.

12. ἤγουν—φονευθῆναι ὑμᾶς] Haec non solum Gr., sed etiam Gu.

17. ψυχήν] ῥώμη δὲ ἐπὶ δυνάμεως addidit m. secunda in A., ἀνδρία δὲ ἐπὶ ψυχῆς m. tertia.

19. τὸ δὲ—] Haec in tria scholia divisa sunt in M. qui incipit, ἀπὸ κοινοῦ τὸ χραίνων. ἄστυ κἀγορᾶς: ἐκκλησίαν οὔτε ἐρχόμενος οὔτε πλησιάζων.

21. αὐτουργός: σώζουσι γῆν—ἐργάζονται. αὐτουργὸς δέ ἐστιν ὁ τὴν ἰδίαν ἐργαζόμενος γῆν M. Hoc scholion etiam in A., omisso δέ ἐστιν.

23. χωρεῖν ὁμόσε: ἀντὶ τοῦ οὐ—

οὐ διχόμυθα λέγων ὡς ὁ προρρηθείς. τοῦτο γὰρ ἐναντίον ἐστι τῷ διχόμυθα, συνδραμεῖν ὑμῖν θέλων τοῖς λόγοις καὶ ταῖς ὑμετέραις βουλεύσεσι βουλόμενος· σημαίνει δὲ τὸ σώζειν ὑμᾶς ἐσπουδακώς. B.M.I.

918. ἀνδρεῖος: γενναῖος. Gr. εὐγενὴς τῇ ψυχῇ, φρόνιμος. Gu.

919. ἄστυ: ἀπὸ κοινοῦ τὸ χραίνων. B.M. κύκλον δὲ τὸ δικαστήριον, τὴν ἐκκλησίαν. B. κἀγορᾶς χραίνων κύκλον: ἐπεμβαίνων. B. διατρίβων. B. rec. Gr. διερχόμενος. Gu. οἱ γὰρ περὶ τὴν ἀγορὰν πορευόμενοι μεμολυσμένοι ἦσαν. Gr. Cant.

920. αὐτουργός: οἰκείαις χερσὶν ἐργαζόμενος. Gr. Cant. χειροτέχνης, ἢ γεωργὸς δι' ἑαυτὸν ἐργαζόμενος. Gu. οἵπερ: οἱ αὐτουργοί. M.

921. ξυνετός: φρόνιμος. Gr. καὶ ἔμπειρος. Gu. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76.

ὁμόσε τοῖς λόγοις: ὁμοῦ. M. συντρέχειν ὁμοῦ ταῖς βουλαῖς ταῖς ἡμετέραις. C. ὀρθὰ κατὰ τοὺς λόγους. Gr. Florr. iidem. τοῖς αὐτοῦ ἢ τοῖς τῶν ἄλλων, εἰ κακοί εἰσιν. Gu. τοῖς λόγοις ἢ τοῖς τῶν ἄλλων, οὕτω· θέλων χωρεῖν ὁμόσε τοῖς τῶν ἄλλων λογοις, ἤγουν ἐλέγχειν αὐτοὺς, ἐὰν ὦσιν ἄδικοι· ἢ τοῖς ἑαυτοῦ, οὕτω· θέλων χωρεῖν ἐν τοῖς οἰκείοις λόγοις ὁμόσε τοῖς ἄλλοις, ἤγουν παρρησιάζεσθαι διὰ τῶν οἰκείων λόγων πρὸς τοὺς τὰ ἄδικα λέγοντας. Gu.

922. ἀκέραιος: ἁπλοῦς. Gr. I. ἀνελλιπὴς, ἄκακος. Gu. ἀνεπίπληκτον: ἀνεπίληπτον· ἀναμάρτητον, ἀδιάφθορον, ἀβλαβῆ, οὐκ ἄξιον τοῦ ἐπιπλήττεσθαι, ἀνεπιτίμητον, ὃν οὐδεὶς διὰ τὸ σῶφρον ὕβρισεν. A.B.M. ἀνεπίληπτον: γράφεται ἀνεπίπληκτον, ἤγουν ἀνεπιτίμητον, οὐκ ἄξιον ἐπιπλήξεως καὶ ὕβρεως. Gu.

ἠσκηκώς: γυμνασάμενος. Gr. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76. μετελθών. Gu.

προρρηθείς. τοῦτο ἐναντίον ἐστι τὸ διχόμυθα — ἐσπουδακώς:— M. Idem scholion in H. qui recte τῷ διχόμυθα.

2. ὑμῖν om. I.

3. βουλεύσεσι—σώζειν] βουλεύσεσι, τουτέστι σώζειν B.I.

ib. βουλεύσεσι] βουλήσεσι M. μεταβουλήσεσι A.

5. φρόνιμος habet etiam Fl. 33.

22. ἀνεπίπληκτον om. I.

23. ἀδιάφθορον] ἀδιάφορον B.

25. γράφεται—] Idem scholion est in Cant. sed sine ἀνεπιτίμητον, et reliquis sic scriptis, οὐκ ἄξιον ἐπιτιμᾶσθαι παρ' οὐδενός.

ib. ἀνεπιτίμητον (ἀνεπίληπτον M.) —ὕβρισεν etiam Gu. nisi quod ἀναμάρτητον habet pro ἀνεπιτίμητον. In Gr. gl. est ἄμεμπτον.

923. τὸν Ἀγαμέμνονος: βίαιον ἀπὸ τοῦ ἐναντίου. Fl. 33.

924. στεφανοῦν: τιμᾶν. Gr. τιμωρεῖν: βοηθεῖν. Gr.

925. κακήν: κακότροπον. Gr. ἄθεον: ἀσεβῆ. Fl. 6.

926. ἀφῄρει: τοὺς ἄνδρας δηλονότι. B.M. Gu. ἀνέτρεπε. Gu.

μήθ' ὁπλίζεσθαι χέρα: ἥτις, φησὶν, ἡ Κλυταιμνήστρα τὸ ὅσον ἐφ' ᾧ δέδρακε φόνον κατὰ τοῦ ἀνδρὸς ἀνῄρει, καὶ ἀνέτρεπεν ἔθη καλὰ καὶ ζηλωτὰ, λέγω δὲ τὸ ὁπλίζεσθαι καὶ ἐπ' ἀλλοδαπῆς ἰέναι. νῦν δὲ ἀνῃρημένης αὐτῆς πεφρίκασιν αἱ γυναῖκες τὰς κατὰ τῶν ἀνδρῶν ἐπιβουλάς. τότε δὲ οὐκ ἂν ἐτόλμησε τῶν ἀνδρῶν οὐδεὶς ἔξω τῶν οἴκων ἐπὶ πόλεμον ὁρμᾶν, ὑφορώμενος τοὺς εἰωθότας νοθεύειν. A.B. M.I. Ἄλλως. ἥτις, φησὶν, ἡ Κλυταιμνήστρα ὅσον ἧκεν ἐφ' ἑαυτῇ καλὰ καὶ ζηλωτὰ ἔργα ἔπαυσεν, φημὶ δὴ τὸ ὁπλίζεσθαι κατὰ ἀλλοδαπῆς διὰ τὸ μὴ ἐκ τῆς γυναικὸς ἀναιρεῖσθαι. A.M.

μήθ' ὁπλίζεσθαι: καθὰ λέγεται τὸ ἀρνοῦμαι τὸ μὴ λαβεῖν ἀντὶ τοῦ ἀρνούμενος λέγω—εἰ γὰρ μὴ ἦν ἀντὶ τούτου, ἐδήλου ἂν ὁ λόγος τὸ ὁμολογῶ λαβεῖν, ὅπερ ἡ συνήθεια οὐ βούλεται—οὕτω κἀνταῦθα τὸ ἀφῄρει μὴ ὁπλίζεσθαι ἀντὶ τοῦ ἀφαιροῦσα καθίστα. ἐπεὶ γὰρ τὸ μὴ ἀφαίρεσιν δηλοῖ καὶ ἄρνησιν καὶ τὰ τοιαῦτα, ἔστιν ὅτε μέλλοντες οἱ τοὺς λόγους συντιθέντες μετὰ τοῦτο λόγον ἐπάγειν προλαμβάνοντες τὸ ἀρνοῦμαι τιθέασιν, ἢ τὸ ἀφῄρει ἤ τι τοιοῦτον, ὥσπερ προαναφωνοῦντες τὴν αὐτοῦ δύναμιν. Gu. μήτε μετὰ ὅπλων κινεῖν τὴν χεῖρά τινα ἐκλιπόντα τὰ δώματα, μήτε στρατεύειν ἐκλιπόντα τὰ δώματα. Gr. Fl. 6. 21. 56. 59. 76.

χέρα: ἄνδρα, ἀπὸ μέρους τὸ πᾶν. Gu. Fl. 6.

927. ἐκλιπόντα δώματα: κατ' ἀλλοδαπῆς, διὰ τὸ μὴ ἐκ γυναικὸς ἀναιρεῖσθαι. Fl. 10.

928. εἰ τἄνδον οἰκουρήματα: οἱ ἐν τῇ πόλει καταλειφθέντες, οἱ μὴ ἐξελθόντες εἰς πόλεμον, τὰς γυναῖκας τὰς οἰκουρούσας διαφθείροιεν καὶ τὰ ἑξῆς. B.M.I. τἄνδον: τῶν οἴκων. Gu. οἰκουρήματα:

4. δηλονότι] ἀφῄρει M., om. Gu.
6. φόνον om. I.
ib. ἀνέτρεπεν] ἀνέτραπεν I.
ib. ἔθη] ἤθη A.
11. ἥτις A. ἡ M.
ib. ὅσον] τὸ ὅσον A.
12. δὴ om. A.
13. διὰ τὸ—ἀναιρεῖσθαι om. A.
28. γυναῖκας τὰς οἰκ.] οἰκ. γυναῖκας B.I.
ib. διαφθείροιεν—ἑξῆς om. M.I. In I. est διαφθειρειεν (sic) βλάπτοντες τὰς λελωβημένας. βλάπτοντες gl. est ad λωβώμενοι referendum v. 929.

τὰς τῶν οἴκων διοικητρίας γυναῖκας. M. τὰς ἔνδον οἰκουρὰς γυναῖκας. Gr. τὰς γυναῖκας, οἴκου φυλάγματα. Gu. οἱ λελειμμένοι: οἱ ἐναπολειφθέντες τῶν πραγμάτων ἐπιμεληταί. τοῦτο δὲ λέγει διὰ τὸν Αἴγισθον. Gu. Fl. 6.

929. ἀνδρῶν: τῶν ἐν τοῖς πολέμοις ἐκστρατευόντων. Gu. εὐνιδας: τὰς εὐνάς. Gr. κοίτας. Gu. λωβώμενοι: ὑβρίζοντες. Gr. βλάπτοντες. Gu.

932. γῆν Ἰνάχου: μετὰ τὸν κατακλυσμὸν ἐν ὄρεσιν οἰκούντων τῶν Ἀργείων πρῶτος αὐτοὺς συνῴκισεν Ἴναχος, καὶ λιμναζόμενον τὸ παρὰ τὸν Ἴναχον πεδίον αὐτὸς ἐκαθάρισε, καὶ ἐκ πηγῆς τινος ποιησάμενος τὸν ποταμὸν ἀφ' ἑαυτοῦ Ἴναχον ἐκάλεσε καὶ τὸ Ἄργος Ἰνάχιον. Ἰνάχου δὲ καὶ Μελίας Φορωνεὺς καὶ Πηγεὺς ἐγένοντο. Φορωνέως δὲ καὶ Πειθοῦς ἐγένοντο Αἰγιαλεύς, Ἀπία, ἀπὸ δὲ Εὐρώπης Νιόβη, Νιόβης δὲ Ἄργος ἐγένετο, Ἄργου δὲ Κρίασος, Ἔκβασος, Πείρασος, Ἐπίδαυρος, Τίρυνς. Κριάσῳ δὲ ἀπὸ Μελανθοῦς ἐγένοντο Φόρβας καὶ Κλεόβοια· Φόρβαντι δὲ ἐκ τῆς Εὐβοίας ἐγένοντο Τριόπας καὶ Μεσσήνη· Τριόπᾳ δὲ ἐκ Σωσίδος ἐγένοντο δίδυμοι μὲν Πελασγὸς καὶ Ἴασος, νεώτεροι δὲ Ἀγήνωρ καὶ Ξάνθος. ὁ δὲ Πελασγὸς πρῶτος ἄρτου κατασκευὴν ἐξεῦρε, πάλαι τῶν ἀνθρώπων τοῖς δράγμασι σιτουμένων, καὶ Πελασγικὸν τὸ Ἄργος ὠνόμασεν. Ἰάσου δὲ καὶ Λευκάνης Ἰὼ ἐγένετο, Ἰοῦς δὲ Ἔπαφος, Ἐπάφου δὲ Λιβύη καὶ Τη-

9. αὐτοὺς] αὐτοῖς A.M.
10. παρὰ] περὶ B.I.
ib. ἐκ πηγῆς] ἐπὶ γῆς I.
12. Ἰνάχιον] ἴναχον A. Recta scriptura Ἰνάχειον est.
ib. Φορωνεὺς] φαρωνεὺς M.
ib. Πηγεὺς] φηγεὺς A.B.M.
ib. ἐγένοντο — ἐγένοντο] ἐγένετο — ἐγένετο I.
13. ἀπὸ δὲ Εὐρώπης Νιόβη] ἐρωνιόβη A.
14. ἐγένετο om. B.I.
ib. Ἔκβασος] Conf. Apollod. 2, 1, 2. ubi v. d. Heyn. p. 112.
15. Ἐπίδαυρος] ἐπίδαμνος A.
ib. Μελανθοῦς] μελάνθου A.M.
ib. ἐγένοντο] ἐγένετο B.I.
16. Φόρβας] φόρβου M.
ib. ἐγένετο, quod est in libris, hic quoque ἐγένοντο scripsi, quod paullo ante ter e libris est restitutum.
17. καὶ Μεσσήνη (codex μεσήνη) addidi ex M. In A. καὶ μεσώνη.
ib. Σωσίδος] σωΐδος B.I. σώσιδος M., quod accentu correcto recepi. De utroque nomine, Σωΐς et Σωσίς, dictum in Thesauro. σωσάϊδος A.
ib. δίδυμοι μὲν] μὲν δίδυμοι A.
19. ἄρτου] ἄργους A. ἀγρεῦ I.
ib. ἐξεῦρε] ἐφεῦρε A.
21. Ἰοῦς δὲ Ἔπαφος om. I. Post Ἔπαφος pergit A. ἐπάφου λιβύη καὶ λίγυ(s) (fort. υἱός) τηλέγονος. βήλῳ δὲ αἴγυπτος καὶ κάδμος. ἄλλως. ἴναχος αὐτόχθων etc.

λέγονος, Λιβύης Βῆλος καὶ Ἀγήνωρ, Βήλου δὲ Αἴγυπτος καὶ Δαναός. A.B.M.I.

γῆν Ἰνάχου: Ἴναχος αὐτόχθων, πρῶτος βασιλεὺς Ἄργους, δεύτερος Πελασγὸς, τρίτος Δαναὸς ὁ Βήλου. A.B.M.I. Ἴναχος ποταμὸς Ἄργους· ἀπὸ τούτου δὲ καὶ τὸ Ἄργος Ἰνάχιον. εἴληφε δὲ τοὔνομα τοῦτο ὁ ποταμὸς ἀπὸ Ἰνάχου τινὸς πρώτου συνοικίσαντος Ἄργος. λέγεται γὰρ μετὰ τὸν κατακλυσμὸν τὸν ἐπὶ τοῦ Δευκαλίωνος, ὄντων ἀνθρώπων ἐν ὄρεσι, παραλαβὼν οὗτος ἄνδρας τινὰς καὶ εἰς τὸ νῦν καλούμενον Ἄργος ἐλθὼν κατοικῆσαι, εὑρὼν ἅπαντα τὸν τόπον τοῦτον πλήρη ὕδατος καὶ καθάρας. ἐποίησε δὲ καί τινα πηγὴν ἐνταῦθα ἀναδοθῆναι, ἀφ' ἧς ὁ ποταμὸς ἐγεγόνει ἐπώνυμος τοῦ οἰκιστοῦ. Πελασγοὺς δὲ τοὺς Ἀργείους καλοῦσιν ἀπὸ Πελασγοῦ τινος, μετὰ τὸν Ἴναχον πρώτου βασιλεύσαντος. ὕστερον δὲ καὶ Ἀργεῖοι ἐκλήθησαν ἀπὸ Ἄργου. Gu.

934. πάλαι: τινὲς εἰς τὸ πάλαι στίζουσι. B.M. Gu. I.

936. ἀμύνων: βοηθῶν. Gr. I. ὅσιος: θεμιτός. Gr. δίκαιος καὶ ἀνεύθυνος· ὃ γένοιτ' ἂν, εἰ ἐμοῦ καταψηφιεῖσθε. Gu.

οὐ φθάνοιτ' ἄν: οὐκ ἀρκεσθήσεσθε πρὸς τὸν γυναικῶν φόνον. Ἄλλως. οὐ φθάνοιτε ἀποθνήσκοντες τῷ ἰδίῳ μόρῳ. B.M.I. φθάνω τὸ προλαμβάνω καὶ τὸ καταλαμβάνω, καθὸ λέγεται, οὐκ ἂν φθάνοις εἰς τὸ δικαστήριον ἰὼν καὶ διδοὺς δίκην, ἤγουν οὐκ ἂν ἀρκοίης, οὐκ ἂν καταλαμβάνοις, τουτέστι τοσοῦτόν σε ἕλξουσι συντόμως, ὡς μὴ δύνασθαί σε καταλαμβάνειν τοὺς ἕλκοντας, ἀφ' οὗ κατὰ μεταφορὰν ἐνταῦθα τὸ οὐκέτ' ἂν φθάνοιτε θνήσκοντες, τουτέστιν οὐκ ἂν ἀρκοίητε πρὸς τὴν τοῦ θανάτου συντομίαν. οὕτως ὑμᾶς ἕλξει δηλονότι μετὰ ταχυτῆτος. Gr. I. τουτέστιν οὐ προλάβητε ἀλλήλους τῷ θανάτῳ, ὁ μὲν πρόσθεν, ὁ δ' ἔπειτα θνήσκων, ἀλλ' ὁμοῦ πάντες οἰχήσεσθε. ἐδήλωσε δὲ ἐνταῦθα τὴν ὑπερβολὴν τοῦ κακοῦ, ὃ γένοιτ' ἂν, εἰ γυναιξὶν ὁ τῶν ἀνδρῶν φόνος ἀνεύθυνος ἔσται. Gu.

938. τοὐναντίον δέ: ἐναντία δὲ διακείσεσθε ἢ διακεῖσθαι πρέπον.

4. ὁ Βήλου om. A.
6. συνοικίσαντος pr. Gu., συνοική-σαντος ab correctore.
18. Ἄλλως om. I.
21. εἰς τὸ] εἰς om. I.
22. τουτέστι τοσοῦτόν σε ἕλξουσι] τοσοῦτόν σε ἕξουσι (sic) I.
24. τουτέστιν οὐκ ἂν ἀρκοίητε om. I.
25. ἕλξει] ἕλξουσι I.

Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. δέον γὰρ τὴν κακίαν καθάπαξ ἀποτεμεῖν, ὑμεῖς ταύτην τῇ κατ' ἐμοῦ ψήφῳ αὐξήσετε. Gu.

939. προδοῦσα: ἀπολύσασα, ἔκδοτα ποιήσασα. Gu. λέκτρ' ἐμοῦ πατρός: ἀντὶ τοῦ τὸν πατέρα. Fl. 6.

941. ὁ νόμος ἀνεῖται: ὅταν γάρ τι τῶν δεόντων παρίδωσιν οἱ τὸ ἄρχειν λέγοντες κέρδει κατειλημμένοι ἢ ἄλλῳ τινὶ πάθει, τότε ὁ νόμος ἀνεῖται, ἤγουν ἐνδίδοται καὶ πλατύνεται καὶ εἰς αὔξησιν ἔρχεται, πρὸς τὰ κακὰ δηλονότι, ὅτι εὐρυνθεὶς καὶ τὴν αὔξησιν λαβών. A. rec. ἐνδέδεται· ὑμεῖς γὰρ φονευθήσεσθε, οὐ φονεύσετε, καὶ ὑποταγείητε, οὐχ ὑποτάξοιτε. B.M.I. ὁ νόμος: ὁ κελεύων ὑπείκειν ἀνδράσι τὰς γυναῖκας. Gu. Cant. ἀνεῖται: ἀπολέλυται. (καταλειφθήσεται, καταλιμπάνεται.) ἢ ἀνεῖται ἀντὶ τοῦ δοθήσεται οὕτω, ἀνεῖται καὶ δοθήσεται νόμος ταῖς γυναιξὶ τοὺς ἰδίους ἄνδρας φονεύειν. Gu. Cant.

942. οὐ σπάνις γενήσεται: οὐ λείψει, οὐδὲ παύσεται, οὐδὲ πέρας ἕξει ὁ θάνατος ἡμῶν. ἐξαπλοῦται γὰρ καὶ πλατύνεται ὁ νόμος κατὰ τῶν ἀνδρῶν οὗτος. τοῦτο γὰρ σημαίνει τὸ ἀνεῖται. B.I. τῆς γε τόλμης: τῆς θρασύτητος ταύτης τοῦ φονεύειν τὰς γυναῖκας τοὺς ἄνδρας. Gu. σπάνις: ἔνδεια. Gr. ἀποχή. οὐκ ἔτι πέρας ἡμῶν ἕξει ὁ θάνατος. Gu. στέρησις. Fl. 10. οὐκ ἐπιλείψουσι αἱ τοιαῦτα ἐργασόμεναι. Fl. 6.

943. ὅμιλον: καὶ τὴν συνάθροισιν. Fl. 59. τὴν ἐκκλησίαν. Fl. 6. στρατόν. Fl. 33. εὖ: εὔλογα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

944. ὁ κακός: εἴωθε γάρ πως ἐν τοῖς συλλόγοις ὁ τῶν κακῶν κρατεῖν ὅμιλος, ἀμέλει καὶ τῶν πόλεων αἱ πλείους τούτῳ τῷ τρόπῳ ἁλίσκονται τοὺς τιμίους παρ' οὐδὲν τιθέμεναι, τοὺς δὲ ἀτίμους καὶ ἀγο-

9. ἐνδέδεται om. B.M. Proxima in M. in duo scholia interlinearia sunt divisa, ἢ γυναιξὶ δουλεύειν: ὑμεῖς ὑποταγείητε ἢ τάξοιτε. τοὐναντίον: ὑμεῖς φονευθήσεσθε ἢ οὐ φονευθήσεσθε. In A. οὐ φθάνοιτε ἰδεῖν ἀποθνήσκοντες μόρῳ ὑμεῖς ὑποταγείητε ἢ ὑποτάξοντες. τοὐναντίον δὲ ὑμεῖς φονευθήσεσθε καὶ οὐ φονεύσετε :—

ib. ὑποταγείητε A.M. ὑποταγεῖτε B. ὑποτάξεσθε I.

10. ὑπείκειν] ὑπέχειν Gu.

11. καταλιμπάνεται non legitur in Cant. ut nec οὕτω, ἀνεῖται καὶ δοθήσεται, si recte enotavit King. In Gr. ἀπολελύται, in Gu. καταλειφθήσεται, καταλιμπάνεται inter versus scripta sunt, reliqua continua serie Gu. in margine. MATTH.

14. λείψει] λήξει I.

ib. οὐδὲ πέρας ἕξει ὁ θάνατος habet etiam M.

ραίους τιμῶσαι καὶ σεβάζουσαι. A. *ὁ ἀθυρόγλωσσος.* Gu. Fl. 6. *ἐν πλήθει: χαριζόμενος.* Gu.

946. *πετρουμένους: λίθοις βαλλομένους.* (*λιθοβολουμένους* add. Gu.) Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

947. *αὐτόχειρι: αὐτουργῷ, αὐτοχειρίᾳ.* (*διὰ τῶν οἰκείων χειρῶν* add. Gu.) Gr. Florr. iidem.

949. *πορεύει: κομίζει.* (*φέρει, ἄγει ἐνταῦθα* add. Gu.) Gr. Florr. iidem. *ἐκκλήτων ἄπο: ἐκ τῶν ἐκκλησιαζόντων.* M. *ἀπὸ τῆς ἐκκλησίας.* Gr. *τῶν ἐκκλησιαζόντων.* Gu.

950. *σὺν δ' ὁμαρτοῦσιν: συνακολουθοῦσι.* Gu.

951. *οἰκτείροντες: ἐλεοῦντες.* Gr. Fl. 6. 9. 17. 21. 59. 76.

952. *πικρόν: ἀλγεινόν.* Gr. Fl. 17. 21. 56. 59. 76. *πρόσοψις: ὅραμα.* Fl. 6. *ἀθλία: ἐλεεινή.* Gr.

953. *εὐτρέπιζε: ἑτοίμαζε.* Gu. *βρόχον: σχοινίον ἐπ' ἀγχόνῃ* (*—νης* Florr.) Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *δέρῃ: τῷ λαιμῷ.* Gr. Florr. iidem. *τραχήλῳ.* Gu.

954. *ὡς δεῖ λιπεῖν σε φέγγος: γρ. ὡς οὔ σ' ὁρᾶν δεῖ φέγγος.* B.M.

955. *οὐδέν σ' ἐπωφέλησεν: γρ. οὐδέν σε ὠφέλησεν.* M.

956. *καθίζων: ὁ ἱστὰς, ὁ καθήμενος.* Gu.

957. *ὦ δυστάλαινα παρθέν': ὦ παρθένε παναθλία, λίαν ὑπάρχεις ἄλαλος, βαλοῦσα τὸ σὸν πρόσωπον σκυθρωπὸν εἰς τὴν γῆν, ὡς μέλλουσα δραμεῖσθαι εἰς στεναγμοὺς καὶ γόους.* I.

συνηρεφές: στυγνὸν, καὶ ὥσπερ ἐσκεπασμένον τοῖς κακοῖς. ἐν ἐνίοις δὲ οὐ φέρονται οἱ τρεῖς στίχοι οὗτοι. πῶς γὰρ οὐκ ἔμελλε στενάζειν, οὕτω δυστυχῶς ἔχουσα; A.B.M.I.

958. *ἄφθογγος: ἄφωνος.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

960. *ὦ Πελασγία, γῆ δηλονότι, ἀρχὴν ποιοῦμαι στεναγμῶν, τιθεῖσα καὶ ποιοῦσα διὰ τῶν παρειῶν, ἤτοι διὰ τοῦ αὐτὰς σπαράσσειν, τὸν λευκὸν ὄνυχα αἱματηρὸν, τιθεῖσα, κατὰ κοινοῦ, ἄτην καὶ βλάβην, κτύπον τε κρατὸς καὶ κεφαλῆς· ὃν κτύπον δηλονότι ἐκληρώσατο*

24. *ἐσκεπασμένον* pro *ἐστεγασμένον* e Fl. 10. Etiam 33. habet *κατεσκεπασμένον*, Gu. *συγκεκαλυμμένον* (ut Fl. 6.), *ἐσκεπασμένον*. MATTH. In A. *στεγνὸν καὶ ὡσπερεὶ ἐσκευασμένον τοῖς κακοῖς. ἐν οἷς δὲ οὐ φέρονται οἱ τῆν* (sic). *πῶς γὰρ οὐκ ἔμελεν ἐκγνάζειν,* totum scholion a m. recentiore.

ib. *τοῖς κακοῖς*] *τῷ κακῷ* M.

ὑποκάτω τῆς γῆς ἡ Περσεφόνη, ἡ καλὴ παῖς, ἡ θεὰ τῶν νεκρῶν. θρηνείτω δὲ ἡ Κυκλωπεία γῆ, ἤτοι τὸ Ἄργος, τιθεῖσα ἐπὶ τῇ κεφαλῇ σίδηρον, κουρᾶς ποιητικὸν, διὰ τὰ πήματα τῶν οἴκων τῶν Ἀτρειδῶν. ἐλεεινότης ἥδε ἔρχεται ὑπὲρ τῶν μελλόντων τεθνήξεσθαι παίδων, ὄντων τῶν ποτὲ στρατηλατῶν, ἤτοι τοῦ Ἀγαμέμνονος· ἔφθαρται καὶ πᾶσα ἡ γέννα τῶν τέκνων τοῦ Πέλοπος, καὶ ὁ οἶκος ὁ ὢν ποτὲ ζηλωτὸς καὶ θαυμαστὸς ἐπὶ μακαρίοις, πράγμασι δηλονότι, ἢ ἀνδράσιν, οἴχεται δηλονότ'. νέμεσις εἷλεν αὐτὸν ἀπὸ τῶν θεῶν, καὶ ἡ ἐν τοῖς πολίταις ἐχθρὰ καὶ δυσμενὴς ψῆφος, καὶ κρίσις ἡ φονική. I.

κατάρχομαι: ἡ Ἠλέκτρα εἶπε ταῦτα πρὸς τὸν χορόν. A.C.M. *ἔνιοι μετὰ τοῦ ῑ ἡ Πελασγία γῆ καὶ χώρα, ἔνιοι ἄνευ τοῦ ῑ.* M. *ἄρχομαι τὸ ἀρχὴν ποιοῦμαι καὶ τὸ ἀρχὴν λαμβάνω.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

961. *λευκὸν ὄνυχα: ἀδολεσχία.* Gu.

962. *αἱματηρὸν ἄταν: ἀντὶ τοῦ καταξέουσα ἐμαυτῆς τὰς παρειὰς τοῖς ὄνυξιν, ὅπερ ἐστὶ δι' αἵματος ἄτη.* A.B.M.I. *τιθεῖσα κατὰ κοινοῦ καὶ ἐπὶ τῆς κεφαλῆς καὶ ἐπὶ τῶν παρηΐδων.* A.B.M.I. *ἄταν: δέον εἰπεῖν καὶ ἄταν, ἀσυνδέτως ἐξήνεγκεν. τὸ δὲ τιθεῖσα ἀπὸ κοινοῦ.* Gu. Fl. 6.

963. *κτύπον: τιθεῖσα καὶ κτύπον τε* (om. Fl.) *κεφαλῆς, ὃν ἐκληρώσατο κατὰ χθονὸς ἡ Περσέφασσα ἡ καλλίπαις, ἡ θεὰ τῶν καταχθονίων.* Gr. Fl. 6. 9. 17. 91. 25. 56. 59. 76. *ὃν ἔλαχε: ἐπειδὴ τὸ θρηνεῖν καὶ σπαράττειν τὸ πρόσωπον καὶ τύπτειν τὴν κεφαλὴν ἐπὶ τοῖς νεκροῖς ποιεῖν εἰώθαμεν ἄνθρωποι. μυθεύονται δὲ τὴν Περσεφόνην Ἅιδου βασιλεύειν σὺν Πλούτωνι· διὰ τοῦτο τὸ ἣν ἔλαχε λέγει.* Gu.

964. *νερτέρων καλλίπαις θεά*: *Περσέφασσα καλεῖται ἡ κόρη. ἀπὸ δὲ ταύτης καὶ τὴν μητέρα βούλεται δηλοῦν. πῶς γὰρ ἡ παῖς καλλίπαις; ἡ γὰρ Περσέφασσα θυγάτηρ ταύτης. γράφεται δὲ τὸ καλλίπαις καὶ καλὴ παῖς, αὕτη οὖσα ἡ κόρη. οὕτω καὶ βέλ-*

10. *πρὸς τὸν χορόν*] In A.M. nihil praeter verba *πρὸς τὸν χορόν.*

11. *ἔνιοι μετὰ τοῦ ῑ*] *ἐὰν γὰρ μετὰ τοῦ ῑ* A. reliquis omissis.

15. *ἐμαυτῆς*] *ἑαυτῆς* I.

16. *ἄτη* A.M. *βλάβη* B.I.

18. *τὸ τιθεῖσα*] *τὸ τιθεῖσα δὲ* I.

30. *καλλίπαις*] *καὶ καλλίπαις* I. et qui proximum *καὶ* om. A. In M. supra versum est *γρ. ἡ καλὴ παῖς* et in marg. *ἡ κόρη ἡ καλλίπαις ἡ τὸν Ἴναχον γεννήσασα.* Ultima *ἡ κόρη ἡ τὸν Ἴναχον γ.* sunt etiam in Fl. 10.

ib. *κόρη*] *παῖς* M.

τιον· αὕτη γὰρ ἐκληρώθη τὸν θρῆνον· τοῖς γὰρ θρηνοῦσιν ἐγγίνεται ἡ τὸν Ἴακχον γεννήσασα ἡ καλὴ παῖς. A.B.M.I. Ἰστέον ὅτι τῆς κόρης, ἤγουν τῆς Περσεφόνης, ἁρπασθείσης ὑπὸ τοῦ Πλούτωνος, ἡ μήτηρ αὐτῆς ἡ Δηὼ νῆστις περιήρχετο, ζητοῦσα αὐτήν. καὶ δὴ περιερχομένη καὶ ζητοῦσα αὐτὴν ὑπεδέχθη ἐν τοῖς οἴκοις τοῦ Ἱπποθόοντος ὑπὸ τῆς γυναικὸς αὐτοῦ Μετανείρας. ἥτις Μετάνειρα παρέθηκεν αὐτῇ τράπεζαν, καὶ ἐκέρασεν αὐτῇ οἶνον. ἡ δὲ θεὸς οὐκ ἐδέξατο, λέγουσα μὴ θεμιτὸν εἶναι πιεῖν αὐτὴν οἶνον ἐπὶ τῇ θλίψει τῆς θυγατρὸς, ἀλφίτων δὲ κυκεῶνα ἐκέλευσεν αὐτῇ κατασκευάσαι, ὃν δεξαμένη ἔπιεν. Ἰάμβη δέ τις δούλη τῆς Μετανείρας, ἀθυμοῦσαν τὴν θεὰν ὁρῶσα, γελοιώδεις λόγους καὶ σκώμματά τινα ἔλεγε πρὸς τὸ γελάσαι τὴν θεόν. ἦσαν δὲ τὰ ῥήματα, ἅπερ αὐτὴ πρῶτον εἶπεν, ἰαμβικῷ μέτρῳ ῥυθμισθέντα· ἐξ ἧς καὶ τὴν προσηγορίαν ἔλαβον ἴαμβοι λέγεσθαι. Ἰάμβη δὲ θυγάτηρ Ἠχοῦς καὶ τοῦ Πανὸς, Θρᾷσσα τὸ γένος. B.I.

καλλίπαις ὁ καλοὺς παῖδας ἔχων, καὶ ἡ καλλίπαις ἐπὶ θηλυκοῦ. καλλίπαις καὶ ἡ καλὴ παῖς, ὡς ἐνταῦθα. Gr. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76. ἡ ἔχουσα καλὸν παῖδα τὸν Ἴακχον, ἢ ἡ οὖσα καλὴ παῖς τῆς Δήμητρος. Gu.

965. ἰαχείτω δὲ γᾶ Κυκλωπία: συνθρηνείτωσαν οὖν ἡμῖν αἱ κατὰ τὰς Μυκήνας γυναῖκες ἐπὶ τῷ πένθει τούτῳ τὰς τρίχας ἀποκείρασαι, ἢ αὐτὴ ἡ ἔφορος θεὰ τῆς πόλεως. A.M. ἡ τῶν Μυκηναίων γῆ, ἣν Κυκλωπίαν ὠνόμασαν ὡς ὑπὸ τῶν Κυκλώπων τειχισθεῖσαν, ὅτε Προῖτος καὶ Ἀκρίσιος....οἱ τοῦ Ἄβαντος υἱοὶ περὶ τῆς βασιλείας ἤριζον. A. τὸ ἑξῆς, θρηνείτω τὰ πήματα τῶν Ἀτρειδῶν οἴκων ἡ ἀπὸ τοῦ Κύκλωπος γῆ, ἤτοι αἱ Μυκῆναι, ἢ τὸ Ἄργος. I. Κυκλωπία: Κύκλωπες Θρᾳκικὸν ἔθνος ἀπὸ Κύκλωπος βασιλέως οὕτως ὀνομα-

P. 228. l. 30. οὕτω καὶ] καὶ om. B.I.
1. ἐγγίνεται] γίνεται A.M.
2. Ἴακχον] ἴαχον A.M. ἴαχνον I.
ib. Ἰστέον] ἄλλως praef. in B.
3. τοῦ Πλούτωνος] τοῦ om. I.
5. Ἱπποθόοντος] Ἱπποθόωντος Barn. De diversa nominis scriptura v. Creuzer. Symbol. vol. 4. p. 377. MATTH.
6. ἥτις] ὅστις B.
8. αὐτὴν hic et post ἐκέλευσεν B. αὐτῇ I. utrobique.
13. ῥυθμισθέντα] ῥυθμηθέντα I. Proxima ἐξ ἧς—λέγεσθαι om. I.
18. Ἴακχον Matth. pro ἴναχον.
22. ἢ αὐτὴ—πόλεως om. A.
25. τὸ ἑξῆς addidi ex M.
ib. θρηνείτω—οἴκων etiam B.M.
27. Θρᾳκικὸν — οὕτως ὀνομαζόμενοι] θράκης—ὠνομασμένοι (sine οὕτως) Gu.

ζόμενοι. οὗτοι πολέμῳ ἐξαναστάντες τῆς ἰδίας ἄλλοι ἄλλῃ ᾠκίσθησαν, οἱ πλείονες δὲ αὐτῶν ἐν τῇ Κουρήτιδι. ἦσαν δὲ ἄριστοι τεχνῖται. Ἄβαντος δὲ τοῦ βασιλέως τῶν Ἀργείων υἱοὶ ἦσαν ἐξ Ἀγλαΐας Προῖτος καὶ Ἀκρίσιος. οὗτοι μετὰ θάνατον τοῦ πατρὸς ἐστασίασαν περὶ τῆς τυραννίδος. φασὶ δὲ ὅτι ἐν τῷ πολέμῳ τούτῳ πρῶτοι ξυλίναις ἀσπίσιν ἐχρήσαντο Ἀργεῖοι, καὶ νικήσαντος Ἀκρισίου συνέβησαν ὥστε πλωτῆς γενομένης τῆς θαλάσσης ἀπαλλάσσεσθαι τὸν Προῖτον. χειμάζοντι δὲ αὐτῷ ἐκεῖσε φίλοι γίνονται οἱ Ἀργεῖοι, καὶ συμμαχία αὐτῷ ἐκ Λυκίας ἔρχεται καὶ τῆς Κουρήτιδος. ὡς δὲ λοιπὸν ἔαρ ἐφαίνετο, δεδιότες Ἀργεῖοι τὴν ἐπείσακτον συμμαχίαν τοῦ Προίτου, συντίθενται ὥστε Ἀκρίσιον μὲν ἄρχειν Ἄργους, Προῖτον δὲ Τίρυνθος. κἀπειδὴ ὕποπτα ἦν τὰ τῶν βασιλέων, τειχίζουσι τὰς πόλεις, τῶν ἐκ τῆς Κουρήτιδος Κυκλώπων τειχισάντων αὐτάς. λέγει δὲ τὰς Μυκήνας. πλησίον δὲ αὗται τοῦ Ἄργους. Κύκλωπες δὲ οἱ ἐγχειρογάστορες περιετείχισαν τὰς Μυκήνας, οὓς ἡ ἱστορία φησὶ τὸν κεραυνὸν τῷ Διὶ κατασκευάσαι. A.B.M.I. *γᾶ Κυκλωπία: τὸ Ἄργος (ἡ τῶν Μυκηναίων* add. Gu.) *ἀπὸ Κυκλώπων ἔθνους Θρακικοῦ, ὃ ἐπὶ συμμαχίαν κληθὲν ἐπὶ Προίτου αὐτόθι τὴν οἴκησιν ἐποιήσατο.* Gr. Cant.

966. *σίδαρον—κούριμον: θρηνείτω δὲ ἡ γῆ ἡ Κυκλωπία, ἤγουν τὸ Ἄργος, τὰ πήματα τῶν οἴκων τῶν Ἀτρειδῶν. σίδηρον κουρεύ-*

1. *ἰδίας*] *ἰδίας γῆς* Gu.
ib. *ἄλλοι ἄλλῃ* Gu. *ἄλλῃ ἄλλος* B. *ἄλλοι ἄλλως* A.M. *ἄλλοι ἄλλους* I.
2. *οἱ πλείονες* Gu. *οἱ* om. A.B.M.I.
ib. *Κουρήτιδι*] *κουρίτιδι* B.M.I.
ib. *τεχνῖται*] *πρὸς οἰκοδομίαν* add. Gu. In sequentibus idem codex *Ἄβαντι οὖν τῷ βασιλεῖ Ἄργους ἐξ Ἀγλαΐας ἦσαν υἱοὶ δύο, Πρ. καὶ Ἀκρ. οἳ μετὰ θ. τοῦ π. ἐστασίασαν πρὸς ἀλλήλους περὶ τῆς ἀρχῆς.* Idem post *ἐχρήσαντο Ἀργεῖοι* pergit: *μηκυνομένου δὲ τοῦ πολέμου, καὶ νῦν μὲν Ἀκρισίου, νῦν δὲ Προίτου πλέον ἔχοντος, συνθῆκαι πρὸς ἀμφοτέρους ἐγένοντο, Ἀκρίσιον μὲν ἄρχειν Ἄργους, Προῖτον δὲ Τίρυνθος. κἀπειδὴ ὑποψία ἦν πρὸς ἀλλήλους, ὡς ἀτειχίστων οὐσῶν ὧν ἦρχον πόλεων, ἄμφω μετακαλεσάμενοι Κύκλωπας ἐκ τῆς Κουρήτιδος, τειχίζουσι δι' ἐκείνων τὰς πόλεις, καὶ διὰ τοῦτο Κυκλωπία γῆ ὠνομάσθη τὸ Ἄργος:—*
5. *φασὶ* Gu. *φησὶ* A.B.M.I.
ib. *ὅτι*] *ὡς* Gu., neutrum in B.M.
ib. *πρῶτοι*] *πρῶτον* M.
7. *ἀπαλλάσσεσθαι*] *ἀπαλλάττεσθαι* I.
8. *εἰ* addidi ex A.
10. *ἐφαίνετο*] *ἐγένετο* I. Sic ap. Soph. Oed. T. 127. codex Laur. *οὐδεὶς ἀρωγὸς ἐν κακοῖς ἐγένετο*, ubi nunc ex apographis *ἐγίγνετο* legitur, sed recte Nauckius *ἐφαίνετε* restituit.
12. *τῶν βασιλέων*] *τοῦ βασιλέως* I.
13. *αὐτὰς*] *αὐτὰς κυκλώπων* M. licet praecedat *κυκλώπων*.
15. *περιετείχισαν*] *ἐτείχισαν* A.
ib. *ἡ* om. A.

σιμον ἐπὶ κάρα τιθεῖσα, τουτέστι ξυρῷ κειραμένη τὴν κεφάλην. Gr. συνθρηνείτωσαν καὶ αἱ Μυκηνίδες ἀποκειράμεναι ἐπὶ τῷ πένθει. Gu. κούριμον: κουρευτικόν. I. κουρεύσιμον, κοπτικόν. Gu. ψαλίδιον. Fl. 21. 33.

967. τῶν Ἀτρειδᾶν πήματ': διὰ τὰ πήματα τῶν Ἀτρειδῶν ἐλεεινοί, φησί, καὶ οἰκτροὶ τὴν τύχην ἡμεῖς οἱ μέλλοντες θανεῖσθαι ὅσον οὐδέπω κληθησόμεθα, παῖδες ὄντες τῶν ἐν Ἑλλάδι ποτὲ διαπρεψάντων κατὰ τὴν βασιλείαν. A.B.C.M.I.

Τὸ Ἀτρειδῶν πρὸς τὸ στρατηλατῶν Ἑλλάδος ποτ' ὄντων σύναπτε, τὸ δὲ "ἔλεος ἔλεος ὅδ' ἔρχεται τῶν θανουμένων ὕπερ" διὰ μέσου λάμβανε. ἢ σύναπτε τὸ θανουμένων πρὸς τὸ στρατηλατῶν, οὐχ ὅτι Ὀρέστης καὶ Ἠλέκτρα, οἱ μέλλοντες ἀποθανεῖσθαι, στρατηλάται ἦσαν καὶ τῆς Ἑλλάδος, ἀλλ' ὅτι ἡ τοῦ πατρὸς αὐτῶν τιμὴ αὐτῶν ἐστι. κρεῖττον δέ ἐστι τὸ πρῶτον. Gu. μὴ λάβῃς εἰς τὸ πήματα ἔξωθεν διά, ἀλλ' ἔστι πρὸς τὸ ἰαχείτω. Gu.

968.—70. ἔλεος: ὑπὲρ ἡμῶν ἔλεος ἥξει τῶν θανουμένων. B.M.I. ἐλεεινότης ἥδε (ἤδη Gr.) ἔρχεται ἕνεκα τῶν μελλόντων τεθνήξεσθαι παίδων ὄντων τῶν (τῶν om. Gr.) ποτὲ στρατηλατῶν τῆς Ἑλλάδος. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἤγουν ἡ ἐπιοῦσα ἡμῖν αὖθις συμφορὰ τοῦ θανάτου ἔλεον ἐγείρει παρ' ἁπάντων. Gu.

971. βέβακε: παρῴχετο. I. βέβακε: ἀπῆλθεν, ἐρρύη. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. οἴχεται: παρῆλθε. I. οἴχεται: ἔφθαρται. Gr. Fl. 17. ἐφθάρη. Gu.

972. μακαρίοις: οἴκοις. ἢ μακαρίοις ἀντὶ τοῦ καλλίστοις πράγμασι καὶ δεχομένοις παρὰ πάντων μακαρισμόν. Gu. ἀνδράσι. Fl. 59.

973. ζηλωτός ποτ' οἶκος: καὶ ὁ οἶκος ὁ πάλαι ποτ' εὐδαίμων διὰ τὰ εὐτυχήματα ζηλωτὸς ὢν καὶ ζηλούμενος βέβηκεν. A.M. καὶ ὁ

5. διὰ—Ἀτρειδῶν om. A.C.
ib. Ἀτρειδῶν] ἀποίκων add. M.
6. τύχην] ψυχὴν A.C.M.
ib. ἡμεῖς (ὑμεῖς M.) οἱ] οἱ om. I.
7. ὅσον οὐδέπω (οὔπου C.) κληθησόμεθα om. B.I. Mox ὄντες om. B. C.I.
ib. διαπρεψάντων] διατριψάντων C.
8. βασιλείαν] In M. additum ab manu seculi 15. τοῦτό ἐστι ὑπὲρ ἡμῶν ἐλεημοσύνη παρὰ τῶν αὐτοχθόνων μυκηναίων γυναικῶν τὸ θρηνεῖσθαι παρ' αὐτῶν ἡμᾶς ὅσον οὔπω τεθηξομένους γεννηθέντας παρὰ τῶν ποτε ὄντων στρατηλατῶν τῆς ἑλλάδος, ἤγουν τοῦ ἀγαμέμνονος.
26. καὶ ὁ οἶκος—] Similiter in B. καὶ ὁ οἶκος ὁ πάλαι διὰ τὴν εὐδαιμονίαν ζηλωτὸς ὢν βέβηκε καὶ οἴχεται.
ib. ποτ' εὐδαίμων] ποτ' (παρ' A.) εὐδαιμόνων A M. In M. gl. interl. καὶ ὁ οἶκος ὁ πάλαι ποτὲ ζηλωτὸς ὢν καὶ μακάριος.

οἶκος ὁ ὢν ποτὲ ζηλωτὸς ἐπὶ μακαρίοις, νέμεσις αὐτὸν εἷλε θεία καὶ ἡ ἐν τοῖς πολίταις δυσμενὴς φονία ψῆφος. ἀφ' ἑτέρας δὲ πτώσεως ἀρξάμενος, ὥσπερ ἐκ μεταμελείας, ἐφ' ἑτέραν πτῶσιν ἀποδίδωσι τὴν σύνταξιν. συνήθης δὲ οὗτος ὁ σχηματισμὸς καὶ τῷ πεζῷ λόγῳ, ὡς παρὰ Φιλοστράτῳ· "φαρέτραι μὲν οὖν χρυσόπαστοι καὶ χρυσαῖ, καὶ τὰ ἐν αὐταῖς βέλη, γυμνὴ τούτων ἡ ἀγέλη." Gr. I. οὕτω χρὴ γράφειν καὶ τὰ παρόντα κῶλα, ἵν' εἴη πρὸς τὰ μέτρα ὀρθά. οὕτω δὲ χρὴ, καὶ ὁ οἶκος ὁ πάλαι διὰ εὐδαιμονίας ζηλωτὸς ὢν βέβηκε καὶ οἴχεται. καὶ τὸν ἄλλον στίχον "πολύστονά τε δὴ καὶ πολύπονα," ἵν' εἴη ἴαμβος, ὡς ὁ τῆς στροφῆς· ἐλλιπὴς γὰρ ἦν. διὸ καὶ διωρθώθη παρ' ἡμῶν, καὶ οἶμαι ὡς καλῶς. I. ζηλωτός: ἐπίφθονος. I. μακαριστός. (ἐπίφθονος, θαυμαστός add. Gu.) Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὁ διὰ τὰ εὐτυχήματα ζηλούμενος οἶκος. Fl. 10.

975. φθόνος νιν εἷλε: ὀργὴ αὐτὸν κατέλαβε, καὶ ἡ ἐχθρὰ φονικὴ καταδίκη τῶν πολιτῶν. I. φθόνος: νέμεσις. Gr. ὀργὴ, μῖσος. Gu. νιν: αὐτὸν, τὸν οἶκον, ἢ τὴν γένναν. Gu. εἷλε: κατέβαλε, καθεῖλε. Gu.

976.—981. ἰὼ ἰώ: ὦ πλήθη τῶν ἀνθρώπων πολυστένακτα, βλέπετε πῶς ἡ τύχη ἔρχεται παρὰ προσδοκίαν. ἕτερα δὲ πήματα ἑτέροις πήμασιν ἀμείβεται, καὶ κατὰ διαδοχὴν ἔρχεται ἐν τῷ μακρῷ χρόνῳ· πᾶσα δὲ ἡ ζωὴ τῶν ἀνθρώπων ἀστάθμητος καὶ ἄτακτος. I.

ἰὼ πανδάκρυτ': ὦ πολύπονα τῶν ἀνθρώπων ἔθνη καὶ ὑπὸ πάντων ἄξια θρηνεῖσθαι. B.M.I. πάγκλαυστα διὰ τὰς συμφορὰς, αἷς ἀεὶ περιπίπτει. Gu.

977. πολύπονα: πολυπαθῆ καὶ πολυσύμφορα. Gu.

979. ἕτερα δ' ἕτερος ἀμείβεται: ἄλλα ἐπ' ἄλλοις κατὰ διαδοχὴν ἐπέρχεται κακὰ τοῖς ἀνθρώποις. B.M.I. ἐφ' ἑτέροις πήμασι. Gr. ἀμείβεται: κατὰ διαδοχὴν ἔρχεται. Gr. ἐκ διαδοχῆς ἀπαντᾷ, ἢ ἀλλεπάλληλα ἔρχεται. Gu.

980. ἐν χρόνῳ μακρῷ: διηνεκῶς. Fl. 21.

6. ἀγέλη] ἀγέλη πᾶσα I.
ib. οὕτω—] Scholion Triclinii.
16. κατέβαλε in Gu. factum ex κατέλαβε.
23. τῶν ἀνθρώπων ἔθνη] ἔθνη τῶν ἀνθρώπων M. reliquis omissis.

27. κατὰ διαδοχὴν—ἀνθρώποις] In marg. M. a manu sec. 15. ἀμείβεται ἤτοι κατὰ διαδοχὴν ἐπέρχεται τοῖς ἀνθρώποις ἐπὶ τοῖς προλαβοῦσι κακοῖς ἔτι κακά.

981. *βροτῶν δ' ὁ πᾶς*: ὁ βίος δὲ τῶν ἀνθρώπων ἀβέβαιος, ἄνισος, ἄστατος· ἄλλοι γὰρ ἄλλας ἔχουσι τύχας. B.M.I.

μόλοιμι: ἀπέλθοιμι εἰς πέτραν τὴν τεταμένην ἐν αἰωρήμασιν, ἤτοι τὴν αἰωρουμένην καὶ κρεμαμένην, μέσον τοῦ οὐρανοῦ καὶ τῆς χθονὸς, λέγω τὴν βῶλον τὴν ἁλύσεσι χρυσείαις, ἤτοι δι' ἁλύσεων χρυσῶν, φερομένην ἐν συστροφαῖς ἐκ τοῦ οὐρανοῦ, ὅπως θρηνητικῶς διηγήσωμαι τῷ γέροντι τῷ Ταντάλῳ, ὃς ἔτεκε τοὺς ἀρχηγοὺς τῶν δόμων ἐμοῦ, ἤτοι τὸν Πέλοπα καὶ τοὺς ἐξ αὐτοῦ, οἳ κατεῖδον ἄτας, ὅτε κατὰ τὸν ταχύτατον δρόμον τῶν ἵππων, τὸν γινόμενον τῇ διὰ τεσσάρων ἵππων κινήσει, ὁ Πέλοψ ἀπὸ τοῦ δίφρου ἐποίησε τὸν φόνον τοῦ Μυρτίλου, κατὰ τοῦ πελάγους δικὼν αὐτὸν εἰς τὸ κῦμα τοῦ πόντου, ἁρματεύσας, ἤγουν δραμὼν πρὸς ταῖς ἠϊόσι τῶν ποντίων σάλων ταῖς τοῦ Γεραιστοῦ ταῖς λευκοκύμοσιν· ἀφ' ἧς αἰτίας ἦλθε τοῖς ἐμοῖς δόμοις ἀρὰ πολλῶν στεναγμῶν αἰτία, ὁπότε ἐγένετο ἐν τοῖς ποιμνίοις τοῦ Ἀτρέως τοῦ ἱπποτρόφου τὸ τέρας τὸ ὀλέθριον τοῦ υἱοῦ τῆς Μαίας, ἤγουν τοῦ Ἑρμοῦ, τουτέστιν ὃ ἐποίησεν ὁ Ἑρμῆς, τὸ λόχευμα λέγω τὸ χρυσόμαλλον τοῦ ἀρνὸς, ἀντὶ τοῦ ὁ τόκος τοῦ ἀρνὸς τοῦ χρυσομάλλου. ἀφ' ἧς αἰτίας ἡ ἔρις καὶ τὸ ταχινὸν ἅρμα τοῦ ἡλίου μετεποίησε προσαρμόσασα, ἀντὶ τοῦ μεθαρμόσασα καὶ μεταλλάξασα τὴν ὁδὸν, ἤγουν τὴν πορείαν, τοῦ οὐρανοῦ, τὴν πρὸς ἑσπέραν, ἤγουν τὴν πρὸς τὸ ἑσπέριον μέρος, εἰς μονόπωλον ἠῶ, ἤτοι εἰς ἡμέραν ἑνὸς δρόμου ἵππων, τουτέστιν εἰς ἡμέραν μίαν, καὶ τὸν δρόμον τῆς ἑπταπόρου Πλειάδος, ἤτοι τῆς ἑπτὰ πορείας ποιούσης (ἑπτὰ γὰρ ἀστέρες ἐστὶν ἡ Πλειὰς καὶ ὁ εἷς ἀμυδρὸς) μεταβάλλει, ἀντὶ τοῦ μετέβαλεν, ὁ Ζεὺς εἰς ὁδὸν ἄλλην, ἤγουν ἐκ δύσεως πρὸς ἀνατολήν.

1. ὁ βίος—ἀβέβαιος om. B.M.

5. δι' ἁλύσεων] δι' om. I. Additum ex scholio inferiore in Gr.

8. οἳ κατεῖδον] Hic incipit scholion in Gr.

ib. ἄτας] συμφορὰς I.

9. δρόμον—ἵππων] δρόμον τῶν ἵππων, τὸν τεινόμενον τῇ διὰ τῶν ἵππων I.

11. πελάγους] τὸ πέλαγος I.

ib. δικὼν—ἀφ' ἧς] ῥίψας τὸν μυρτίλον δηλονότι, πρὸς τοῖς αἰγιαλοῖς τῶν θαλασσίων σάλων τοῦ γεραιστοῦ, τοῖς λευκοῖς διὰ τῶν λυμάτων (typothetae error pro κυμάτων), ἀφ' ἧς I.

15. τοῦ Ἀτρέως] τοῦ om. I.

16. Μαίας, ἤγουν—ταχινὸν] μαίας ἑρμοῦ. λέγω τὸ λόχευμα καὶ ὁ τόκος τὸ χρυσόμαλλον ἀρνὸς, ὅθεν καὶ ἀφ' ἧς αἰτίας ἡ ἔρις, καὶ τὸ ταχεινὸν I.

19. μετεποίησε—διαδόχους] μετέβαλε μεθαρμόσατα τὴν πορείαν τοῦ οὐρανοῦ τὴν πρὸς τὸ ἑσπέριον μέρος εἰς ἡμέραν μίαν καὶ τὸν δρόμον τῆς ἑπταπόρου πλειάδος ὁ ζεὺς μετέβαλεν εἰς ὁδὸν ἄλλην καὶ ἀπὸ τῶνδε ἤτοι μετὰ ταῦτα διαδόχους Gr. Sic etiam Flor. 6. 9. 17. 21. 56. 59. 76.

καὶ ἀπὸ τῶνδε, ἤτοι μετὰ ταῦτα, ἀμείβει, ἀντὶ τοῦ διαδόχους ἐπήγαγεν, ὁ Ζεὺς δηλονότι, θανάτους θανάτων, καὶ τὰ ἐπώνυμα δεῖπνα τοῦ Θυέστου, ἐπήγαγε δηλονότι, (οὐ γὰρ ἁρμόζει ἐνταῦθα τὸ κατὰ διαδοχὴν ἐπήγαγε,) καὶ τὰ λέκτρα τῆς Ἀερόπης τῆς Κρήσσης τῆς δολίας ἐν δολίοις γάμοις. τὰ πανύστατα δὲ, κακὰ δηλονότι, ἦλθεν εἰς ἐμὲ καὶ εἰς τὸν ἐμὸν πατέρα σὺν πολυπόνοις ἀνάγκαις τῶν δωμάτων. Gr. I.

981.—1000. *μόλοιμι τὰν οὐρανοῦ: εἴθ' ἀπέλθοιμι εἰς τὴν πέτραν τὴν αἰωρουμένην μέσον τοῦ οὐρανοῦ καὶ τῆς χθονὸς, τὴν βῶλον λέγω τὴν δι' ἁλύσεων χρυσῶν φερομένην ἐν στροφαῖς ἐξ Ὀλύμπου, ἤγουν ἐκ τοῦ οὐρανοῦ.* Gr. *μόλοιμι καὶ ἀνέλθοιμι εἰς τὴν πέτραν τὴν μέσον τοῦ οὐρανοῦ καὶ τῆς χθονὸς τεταμένην ἐν αἰωρήμασι καὶ ἐν κρεμάσμασιν ἐν ἁλύσεσι χρυσέαισι φερομένην καὶ κινουμένην ἐν δίναισι καὶ συστροφαῖς, βῶλον καὶ λίθον ἐξ Ὀλύμπου, ἵνα ἀνὰ τῷ γέροντι πατρὶ Ταντάλῳ βοήσω ἐν θρήνοις ἤτοι κλαήσω, ὃς ἔτεκε τοὺς γεννήτορας ἐμέθεν καὶ ἐμοῦ, ἤτοι τὸν Πέλοπα καὶ τοὺς ἐξ αὐτοῦ, οἵτινες τὸ δίωγμα καὶ τὸν δρόμον τῶν πώλων καὶ τῶν ἵππων τοῦ Οἰνομάου ἢ τοῦ Πέλοπος τὸ πτηνὸν καὶ τὸ ταχὺ ἐν τεθριπποβάμονι στόλῳ καὶ πορείᾳ κατεῖδον καὶ ἐθεάσαντο ἄτας καὶ συμφορὰς τῶν οἰκείων δόμων, ἤγουν οἷστισιν ἡ πρὸς Οἰνόμαον διφρεία Πέλοπος μεγάλων συμφορῶν γεγένηται, ὅτε ὁ Πέλοψ ἐν τοῖς πελάγεσι διεδίφρευσε καὶ ἐκ δίφρου ἔρριψε τὸν φόνον τοῦ Μυρτίλου δικὼν καὶ ῥίψας εἰς τὸ οἶδμα καὶ τὸ κῦμα τοῦ πόντου πρὸς ταῖς Γεραιστίαις πέτραις ταῖς λευκοκύμοσι καὶ ταῖς διὰ τῶν κυμάτων λευκαῖς γινομέναις, ἁρματεύσας καὶ ἐκ τοῦ ἅρματος ῥίψας ἐν ταῖς ἠϊόσι καὶ αἰγιαλοῖς τῶν ποντίων σάλων. ὅθεν, ἤγουν ἀπὸ τῆς ῥίψεως ταύτης, τὸ λόχευμα καὶ τὸ γέννημα τοῦ τόκου καὶ τοῦ υἱοῦ τῆς Μαιάδος, ἤτοι ὁ Μυρτίλος ὁ Ἑρμοῦ παῖς, ἦλθεν ἀρὰ πολύστονος τοῖς ἐμοῖς δόμοις, ὁπότε τὸ χρυσόμαλλον ὀλοὸν καὶ ὀλέθριον τέρας τῆς ἀρνὸς ἐγένετο ἐν τοῖς ποιμνίοις τοῦ Ἀτρέως τοῦ ἱπποβότα, τουτέστιν ὁπότε ἡ χρυσόμαλλος ὄϊς ἐδόθη*

1. *ἐπήγαγεν*] *ἐποίησεν* I.

3. *οὐ γὰρ—διαδοχὴν ἐπήγαγε* om. I.

5. *ἐν δολίοις γάμοις*] *δολίων γάμων* Gr.

ib. *τὰ πανύστατα — δωμάτων*] *τὰ ἔσχατα δὲ κακὰ εἰς ἐμὲ καὶ τὸν ἐμὸν πατέρα ἦλθεν ἐν ταῖς πολυπόνοις ἀνάγκαις τῶν δόμων* Gr.

17. *τὸν δρόμον* Matth. pro *τῶν δρόμων*.

20. *διφρεία* Matth. *διφρία* Gu.

21. *συμφορῶν*] Adde *αἰτία*.

τῷ Ἀτρεῖ τέρας, ὡς ἄξιός ἐστι τῆς ἀρχῆς ἐγκρατὴς γεγενῆσθαι. Gu.

μόλοιμι τὰν οὐρανοῦ: τὸ ἑξῆς· μόλοιμι πρὸς τὴν πέτραν καὶ τὴν βῶλον, τὴν τεταμένην ἐξ Ὀλύμπου χθονὸς μέσον καὶ οὐρανοῦ ἁλύσεσι χρυσαῖς, καὶ φερομένην δίναισι καὶ αἰωρήμασιν. ὁ δὲ λόγος, εἴθε παραγενοίμην εἰς τὴν μεταξὺ γῆς καὶ οὐρανοῦ τεταμένην πέτραν, ἥτις αἰωρεῖται καὶ φέρεται μυρίαις στρεφομένη χρυσαῖς ἁλύσεσιν ἄνωθεν ἐξ οὐρανοῦ, ἵνα πρὸς τὸν Τάνταλον ἐλθοῦσα, ἀπωδυράμην τὰ συμβάντα. Ἀναξαγόρου δὲ μαθητὴς γενόμενος ὁ Εὐριπίδης μύδρον λέγει τὸν ἥλιον. οὕτω γὰρ δοξάζει. μύδρον δὲ καλοῦσι τὸν πεπυρακτωμένον σίδηρον. πέτραν δὲ καὶ βῶλον τὸ αὐτὸ εἴρηκεν. ἀλλ' ἡ μὲν ἱστορία λέγει τὸν Τάνταλον ἀνατεταμέναις χερσὶ φέρειν τὸν οὐρανόν· νῦν δὲ ὁ Εὐριπίδης ἰδίως τὸν ἥλιον ἐπηρτῆσθαι λέγει αὐτῷ, διάπυρον ὄντα μύδρον, ὑφ' οὗ καὶ δειματοῦσθαι αὐτὸν ἀεί, Ἀναξαγόρᾳ πειθόμενος μύδρον αὐτὸν εἶναι λέγοντι. τινὲς δὲ κυρίως ἀκούουσι βῶλον χρυσῆν ἐπῃωρῆσθαι τῇ κεφαλῇ τοῦ Ταντάλου. ὑφιστᾷ δὲ ὁ Εὐριπίδης ἐν τούτῳ τὴν Ἠλέκτραν εὐχομένην, ὅπως τῷ Ταντάλῳ ἀποδύρηται τὰ συμβάντα τοῖς ἀπογόνοις αὐτοῦ. ὅμοιον τούτῳ τὸ ἐν Πειρίθῳ "σὲ τὸν αὐτοφυῆ τὸν ἐν αἰθερίῳ ῥόμβῳ πάντων φύσιν ἐμπλέξαντα." οὐδὲ γὰρ διαφέρει ὑπὸ τῆς φύσεως εἰπὼν πάντα διαπεπλέχθαι καὶ ὑπὸ ἁλύσεως ἐξηρτῆσθαι τοῦ λίθου. A.B.M.I. Ἄλλως. διὰ τούτων παραδηλοῦται ὅτι ὁ Τάνταλος αὐ-

4. μέσον καὶ A.B. καὶ om. M.I.
5. χρυσαῖς] χρυσέαις A.
ib. αἰωρεῖται καὶ φέρεται] αἰώρηται καὶ φέρηται A.
7. στρεφομένη] στροφαῖς στρεφομένη καὶ προσηρτημένη A.
8. ἄνωθεν om. I.
ib. ἀπωδυράμην] ἀποδυρομένη M. ἀποδύρωμαι A. ἀποδυραίμην Barnes.
9. δὲ addidi ex A.M.
ib. ὁ Εὐριπίδης] ὁ om. A.
11. σίδηρον om. A.
ib πέτραν] πέτρον I.
ib. τὸ αὐτὸ M. κατὰ τοῦ αὐτοῦ A. κατὰ ταυτὸ I. κατὰ τοῦτο αὐτὸ B.
12. εἴρηκεν] εἴρηται M. Idem in gl. interl. πέτραν καὶ βῶλον τὴν αὐτὴν εἴρηκεν.
13. νῦν—τὸν] νῦν μὲν ὁ εὐριπίδης τὸν A.
14. αὐτῷ] αὐτὸν A.M.
15. Ἀναξαγόρᾳ] δὲ addit M.
ib. τινὲς δὲ] δὲ om. A.
16. ἐπῃωρῆσθαι] ἐπαιωρῆσθαι A.
17. ὑφιστᾷ] ὑφίσταται A.M.
ib. ἐν τούτῳ addidi ex M. ἐν τούτοις A.B. et A. quidem post τὴν Ἠλέκτραν.
18. ἀπογόνοις] προγόνοις A. Idem mox πειρίνθῳ.
19. τούτῳ τὸ B. τούτῳ τῷ M. τοῦτο τὸ A.I.
20. οὐδὲ—εἰπὼν] οὐ—εἰπεῖν A.
ib. ὑπὸ τῆς] ὑπὲρ τῆς B.M.
21 καὶ ὑπὸ] καὶ om. A.M.
22. Ἄλλως om. M., sed lemma habet πέτραν ἁλύσεσι.

τόθι ἐστὶ μεταξὺ γῆς καὶ οὐρανοῦ, αἴσθησιν ἔχων πάντων τῶν πεπραγμένων. εἰ δ' ἄρα τινὲς διαπορoῦσι πῶς ἐξ ἁλύσεως διηρτημένος περίεισιν ὁ ἥλιος, γινωσκέτωσαν ὅτι τὰ φυσικὰ τοῖς μυθικοῖς καταμίγνυσιν ὁ Εὐριπίδης. B.M.I.

Ἄλλως. εἴθε πορευθείην εἰς τὴν ἐξ οὐρανοῦ κατὰ τὸ μέσον τῆς γῆς, ἤτοι κατὰ κάθετον, τεταμένην καὶ κρεμαμένην ἐν αἰωρήμασι πέτραν... εἰς τὴν ἐξ Ὀλύμπου φερομένην μετὰ συστροφῆς ἐν χρυσείαις ἁλύσεσι βῶλον, ἵνα παρὰ τῷ Ταντάλῳ τῷ γέροντι προγόνῳ θρήνους ποι...ὃς τοὺς ἐμοὺς ἐγέννησε γεννήτορας, οἵτινες δυσχερείας καὶ βλάβης πολλὰ ἐθεάσαντο. καὶ λέγει τίνες αἱ βλάβαι ἃς εἶδον οἱ ταύτης...νοι. ὁ Πέλοψ, φησὶν, ἐθεάσατο τὸ ἅρμα τοῦ Οἰνομάου τὸ πτερωτὸν καὶ ταχύτατον. οὗτος γὰρ συνέτρεχε τοῖς ἑαυτοῦ...... ομένοις ἐπὶ τῇ Ἱπποδαμείᾳ καὶ νικῶν αὐτοὺς ἐφόνευεν. εἶδεν οὖν, φησὶν, ὁ Πέλοψ τὸν ταχύτατον δρόμον τῶν ἵππων τοῦ Οἰνομάου τὸν ...τετραΐππου στόλου καὶ πορείας γινόμενον, ὁπότε νικήσας τὸν Οἰνόμαον καὶ λαβὼν τὴν Ἱπποδάμειαν καὶ τὸν Μυρτίλον ἐπὶ τοῦ ἅρματος ὡς ἡνίοχον ποιησάμενος, ἐπεὶ ἐζηλοτύπησεν αὐτῷ δι' Ἱπποδαμείας, διεδίφρευσεν, ἤτοι διὰ τοῦ δίφρου ἐποίησεν αὐτὸν τὸν φόνον, βαλὼν καὶ ῥίψας αὐτὸν εἰς τὸ κῦμα τῆς θαλάσσης, ἤτοι ἁρματεύσας ἐκ τοῦ ἅρματος ῥίψας αὐτὸν ἐν ταῖς τῶν ποντίων σάλων ῥόσι ταῖς Γεραιστίαις, ἔνθα ἡ Γεραιστὸς, τὸ τῆς Εὐβοίας ἀκρωτήριον, ταῖς λευκοκύμοσι διὰ τοὺς ἀποτελουμένους αὐταῖς ἐκ κυμάτων ἀφροὺς, εἰς τὸν Ἠριδανὸν ποταμὸν κρει...A.

982. μόλοιμι: εἴθε παραγενοίμην. M.I.

983. αἰωρήμασι: κρεμάθραις καὶ κρεμάσμασι. Gu. βαστάγμασι. Fl. 21.

ἁλύσεσι χρυσέαισι: τὸ ἁλύσεσι χρυσέαις ἑρμηνεία ἐστὶ τοῦ αἰωρήμασι. Gu. φερομέναν: κινουμένην, ἀγομένην. Gu. βασταζομένην. Fl. 21.

984. δίναισι: ἐν στροφαῖς. (συστροφαῖς add. Gu.) Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τορνευτόν. Fl. 33. τὸ βῶλον καὶ τὸ πέτραν οὐκ ἔστιν ἐκ παραλλήλου, ἀλλ', ἐπειδὴ πέτραν εἶπεν, ἡ δὲ πέτρα ἐκ

2. διηρτημένος A. περιηρτημένος ceteri.

3. περίησιν A. περιίησιν ceteri. Correxi περίεισιν.

γῆς, αὕτη δὲ ἡ ἐπὶ Ταντάλου κρεμαμένη ἐξ οὐρανοῦ ἦν, διὰ τοῦτο εἴρηκε βῶλον ἐξ Ὀλύμπου. Gu.

985. ἐν θρήνοισιν: τουτέστι μετὰ θρήνων. M. Fl. 21. θρηνητικῶς διηγήσομαι, μεγάλως βοήσω, ἤτοι κλαύσω. Gu.

ἀμβοάσω: τὰ συμβάντα. B.

987. οἳ κατεῖδον ἄτας: οἵτινες, φησὶν, οἱ ἐμοὶ προπάτορες (λέγει δὲ Ἀτρέα καὶ Θυέστην καὶ Ἀγαμέμνονα) αὐτόπται καὶ θεαταὶ γεγόνασι πολλῶν κακῶν, ἐξ οὗ ὁ Πέλοψ κατὰ τὸ αὐτοῦ πτηνὸν καὶ ταχύτατον ἅρμα ἔχων Μυρτίλον ἐξεδίφρευσε, τουτέστιν ἀπὸ τοῦ δίφρου ἔρριψεν εἰς τὴν θάλασσαν. τὴν δὲ ἱστορίαν ταύτην ἤδη προεθέμεθα, ὅτι Πέλοψ ὁ Ταντάλου, τὸν Οἰνόμαον νικήσας συνεργήσαντος τοῦ Μυρτίλου, καὶ τὴν παρὰ θάλασσαν ἐλαύνων, ἀπωθήσατο αὐτὸν κατ' ἐκείνου τοῦ τόπου τῆς θαλάσσης, ἔνθα Γεραιστός ἐστιν ἀκρωτήριον τῆς Εὐβοίας. ὅθεν τὸ πέλαγος ἐκεῖνο τῆς Εὐβοίας τὴν ἐπωνυμίαν εἴληφεν. A.B.M. ἀρχὴ τῆς ἄτης ἡ ἱπποδρομία Πέλοπος ἡ γενομένη διὰ τοῦ πελάγους. πτηνὸν δὲ ἀντὶ τοῦ ἱππικὸν, ἐν ᾧ τὸν Μυρτίλον. A.M.

988. πτανόν: μὴ λάβῃς εἰς τὸ πτανόν ἔξωθεν τὸ διά, ἀλλ' ὥσπερ ἔφαμεν ἐν τῇ παραφράσει, οὕτω σύνταξον. ἢ πρὸς τὸ βοήσω, οὕτω· ἀνὰ τῷ γέροντι πατρὶ Ταντάλῳ βοήσω ἐν θρήνοις, ἤτοι μετὰ θρήνων διηγήσομαι τὸ πτανὸν δίωγμα, καὶ τὰ ἑξῆς, ἵν' ᾖ τὸ "ὃς ἔτεκε" μέ-

3. θρήνων] θρήνου Fl. 21.

6. λέγει δὲ] δὲ om. M.

8. οὗ] ὧν M.

ib. καὶ ταχύτατον A.M. ὅ ἐστι ταχύτατον B.I. In Gr. verbis τὸ π. δίωγμα superscriptum κατὰ τὸν ταχύτατον δρόμον τῶν ἵππων.

9. τὸν Μυρτίλον] τὰ μυρτίλου I. Recta scriptura est etiam in alio scholio A.M. ἐξ οὗ ὁ πέλοψ κατὰ τὸ ταχύτατον αὐτοῦ ἅρμα ἔχων τὸν μυρτίλον ἐξεδίφρευσε.

10. ταύτην] τὴν αὐτὴν A.

11. τὸν Οἰνόμαον νικήσας addidi ex B. In A.M. est πέλοψ νικήσας ταντάλου τὸν οἰνόμαον.

13. ἐκείνου τοῦ τόπου] ἐκεῖνον τὸν τόπον B.I.

14. ἐκεῖνο—εἴληφεν] ἐκεῖνο ὁμωνύμως. ὃς ἦν ἡνίοχος τοῦ οἰνομάου ἔλαβεν τὴν ἱπποδάμιαν (ἱπποδρομίαν M. corrige ἱπποδάμειαν) καὶ ἀναχωρῶν τοῦ ἀγῶνος ἔλαβε μεθ' ἑαυτοῦ ἐπὶ τοῦ δίφρου (verba ἔλαβε—δίφρου post μυρτίλον habet A.) ὡς δὴ φίλον τὸν μυρτίλον A. M. Post quae sequuntur in M. illa, ἀρχὴ τῆς ἄτης etc.

15. ἀρχὴ—Πέλοπος] Haec etiam in B.

16. πτηνὸν—ἱππικὸν] πτηνῶν δὲ ἀντὶ τῶν ἱππείων A.

17. Μυρτίλον] Addendum ἔλαβε vel ἐξεδίφρευσε. Verba ἐν ᾧ τὸν Μυρτίλον om. A. addit vero ἄλλως, quia hoc scholion praepositum est superiori οἵτινες, φησὶν etc.

19. σύνταξον] σύνταξε Gu.

χρι τοῦ "ἄτας" διὰ μέσου. Gu. ἀντὶ τοῦ ἱππικὸν ἢ ταχύ. M. λείπει τὸ ἀνύσας. B.

989. τεθριπποβάμονι στόλῳ: τῇ τετραΐππῳ πορείᾳ. B.M. γρ. δὲ καὶ πώλῳ. B.

990. Πέλοψ ὅτε: προτακτέον τοῦ λόγου τὸ ὁπότε, τουτέστι· καὶ κατεῖδον οἱ ἐμοὶ προπάτορες ἄτας ἐν δόμοις, ἐξ οὗ Πέλοψ ἐξεδίφρευσεν εἰς θάλασσαν τὸν Μυρτίλον. (ἔνθεν καὶ Μυρτῷον ἀπὸ Μυρτίλου τὸ πρὸς Εὔβοιαν κέκληται.) μηνίσαντα γὰρ Ἑρμῆν τὸν τούτου πατέρα ὑποβαλεῖν τοῖς ποιμνίοις χρυσόμαλλον ἄρνα, ἣ πολλῶν αἰτία κακῶν αὐτοῖς γέγονε. τὰ δὲ λοιπὰ τῆς ἱστορίας ἑξῆς ἐπάγει. ἀνεῖλε δὲ τὸν Μυρτίλον προσδοκήσας καὶ αὐτὸς ὁμοίως ὑπ' αὐτοῦ προδοθήσεσθαι, ἵνα μὴ ἐξείποι ὅτι αὐτὸς ἐνίκησε, καὶ οὐ Πέλοψ. οἱ δὲ, ὅτι μετὰ τὴν νίκην ὡς φίλον συλλαβόμενος τὸν Μυρτίλον ἐξεδίφρευσε, ζηλοτυπήσας εἰς Ἱπποδάμειαν. A.B.I. ὁ Οἰνόμαος πατὴρ τῆς Ἱπποδαμείας. οἱ ἵπποι τοῦ Οἰνομάου ἦσαν ἡ Ψύλλα καὶ Ἅρπιννα. ὁ δὲ ἱπποκόμος ἦν ὁ Μυρτίλος. A.

Πέλοψ ὅτε: Οἰνόμαος προέθηκε τῆς Ἱπποδαμείας, τῆς αὐτοῦ θυγατρὸς, γάμον τῷ κατὰ τὴν ἱππικὴν αὐτὸν νικῆσαι δυνησομένῳ. ἰδοῦσα δὲ τὸν Πέλοπα ἡ Ἱπποδάμεια ἠγάπησε, καὶ μελλόντων ἀγωνίζεσθαι Πέλοπος καὶ Οἰνομάου ὁ Μυρτίλος, ὃς ἦν ἡνίοχος τοῦ Οἰνομάου, ἐξ ὑποθήκης Ἱπποδαμείας ἐξέβαλεν ἀπὸ τῶν τροχῶν τοῦ τεθρίππου τοὺς σιδηρέους δεσμοὺς, καὶ οὕτως ἡττήθη ὁ Οἰνόμαος. εἶτα συναπῆρε μετὰ τοῦ Πέλοπος ἡ Ἱπποδάμεια, καὶ ὁ Μυρτίλος οὗτος διαβληθεὶς παρὰ τῆς Ἱπποδαμείας, ὡς ἐρῶν αὐτῆς, ἢ δεδιότος Πέλοπος μὴ καὶ αὐτὸν τὰ ὅμοια δράσῃ τῷ πενθερῷ, ἢ μὴ ἐξείπῃ

5. προτακτέον—] In A. hoc scholion sic scriptum, τετριπποβάμονι στόλῳ: τῇ τετραΐππῳ πορείᾳ· ἐξ οὗ ὁ πέλοψ κατὰ τὸ ταχύτατον αὐτοῦ ἅρμα ἔχων τὸν μυρτῖλον (hoc accentu hic et alibi, ut plerumque in codicibus) ἐξεδίφρευσεν. (Haec ex scholio v. 987. repetita.) ἄλλως. ἐξ οὗ ὁ πέλοψ ἐξεδίφρευσε. προτακτέον δὲ τοῦ λόγου—δόμοις, ἐξ οὗ ὁ πέλοψ—τὸν μυρτῖλον. ἐντεῦθεν καὶ μυρτῷον—μηνίσαντος δὲ ἑρμῆν τὸν—χρυσόμαλον—προσδοκήσας ὁμοίως—ἐξείπῃ ὅτι αὐτὸς ἐνίκησεν ὁ πέλοψ—τὸν μυρτῖλον ἐνφόνευσεν ζηλοτυπήσας εἰς ἱπποδάμειαν:—

8. μηνίσαντα γὰρ Ἑρμῆν Heathius p. 16. μηνίσαντος γὰρ (δὲ B.) ἑρμοῦ B.M.I. Conf. schol. ad v. 998.

12. ἐξείποι] ἐξείπῃ B.

14. ὁ Οἰνόμαος—] Scholion manus recentioris.

15. Ψύλλα καὶ Ἅρπιννα] ψυ^λλ^ καὶ ἅρπυια A. Correxi ex Lycophr. 166. et schol. Apoll. Rh. 1, 752.

18. αὐτὸν Matth. αὐτῷ Gu.

ὡς αὐτὸς αὐτῷ αἴτιος τῆς νίκης ἐγένετο, συνελαύνων Πέλοπι παρὰ αἰγιαλοῖς ἐρρίφη ὑπ' αὐτοῦ πρὸς τὴν θάλασσαν πλησίον Γεραιστοῦ, ἀκρωτηρίου Εὐβοίας, καὶ ἀποπνιγόμενος ηὔξατο Ἑρμῇ τῷ αὐτοῦ πατρὶ ἔριν ἐμβαλεῖν τῷ γένει Πέλοπος· ἥτις ἐγένετο ὕστερον Ἀτρεῖ καὶ Θυέστῃ περὶ τῆς ἀρχῆς. ἡ δὲ ἱστορία πᾶσα δεδήλωται πρόσθεν ἐν τῷ χορῷ τῷ "ὁ μέγας ὄλβος." Gu. διεδίφρευσε: ἀντὶ τοῦ ἐξεδίφρευσεν, ἐξέρριψε τὸν Μυρτίλον ἐπὶ τὸ ἀπολέσθαι. B.M.I. τὸ διεδίφρευσεν ἐν πελάγεσι, καὶ τὸ δικὼν εἰς οἶδμα, καὶ τὸ ἠόσιν ἁρματεύσας ταυτὸ σημαίνουσι. διαδιφρεύω δὲ κυρίως τὸ δίφρον ἐλαύνω. Gu.

ὁ Οἰνόμαος ἐβασίλευσιν ἐν τῇ Λέσβῳ, εἶχε δὲ καὶ ἵππους ταχεῖς, οὓς οὐδεὶς ἐνίκησεν εἰ μὴ ὁ Πέλοψ. εἶχε δὲ ὁ Πέλοψ ἡνίοχον τὸν Κύλαν. ἡ δὲ Ἱπποδάμεια Οἰνομάου θυγάτηρ, ἣ καὶ παρὰ τοῦ ἰδίου πατρὸς ἐρωμένη καὶ διὰτοῦτο μὴ ἐκδιδομένη πρὸς γάμον, καθὼς οἱ ἀκριβέστεροι τῶν ἱστοριογράφων γράφουσιν, ἠρᾶτο καὶ παρὰ Μυρτίλου τοῦ ἡνιοχοῦντος τῷ ταύτης πατρὶ, υἱοῦ δὲ ὑπάρχοντος Ἑρμοῦ καὶ Κλεοβούλης τῆς Αἰόλου ἢ Αἰτωλοῦ θυγατρός. αὕτη τὸν Πέλοπα ἰδοῦσα ὡραῖον μετὰ τὴν τῶν δώδεκα νυμφίων ἀναίρεσιν ἔρωτι τούτου κατείχετο, ἣ τῷ Μυρτίλῳ φησι συνεργῆσαι τῷ νεανίᾳ εἰς τὴν κατὰ τοῦ πατρὸς νίκην. ὁ δὲ ταῖς χοινικίσι τῶν τροχῶν τοὺς ἥλους μὴ ἐμβαλὼν ἐποίησε τὸν Οἰνόμαον ἐν τῷ τρέχειν ἡττηθῆναι καὶ ἀναιρεθῆναι ὑπὸ τοῦ Πέλοπος ἐκπεσόντων τῶν τροχῶν. ἐδίδου γὰρ ὁ Οἰνόμαος τοῖς μνηστῆρσι τὴν Ἱπποδάμειαν ἐπὶ τῶν οἰκείων ἔχειν ἁρμάτων, θεὶς πέλας τοῦ δρόμου ἔπαθλον γάμου τὸν Κορίνθιον ἰσθμὸν, εἰ δυνηθεῖεν ἀφικέσθαι μέχρι τούτου. αὐτὸς δὲ ὄπισθεν ἐλαύνων μετὰ δόρατος καὶ καταλαμβάνων αὐτοὺς ἀνῃρεῖτο. τότε δὲ οὕτω νικηθεὶς δόλῳ καὶ ἀναιρούμενος κατηράσατο τῷ Μυρτίλῳ, γνοὺς τὴν ἐπιβουλὴν, ἵνα ὑπὸ Πέλοπος ἀνέληται, ὃ καὶ γέγονεν ὕστερον. διαβληθεὶς γὰρ παρ' Ἱπποδαμείας ὡς βιάζων αὐτὴν ἢ, ὡς οἱ πολλοί φασι, πειράζων αὐτὴν, ῥίπτεται παρὰ Πέλοπος περὶ Γεραιστὸν ἀκρωτήριον. ὁ δὲ τελευτῶν ἀρὰς ἀρᾶται τοῖς Πελοπίδαις δεινὰς, αἳ καὶ πεπλήρων-

7. ἐξέρριψε om. M.
15. ἠρᾶτο] ἤρατο C.
19. ἣ—φησὶ] Fort. ἣν—φασί.
27. ἀναιρούμενος] ἀναί (μν) C.
28. ὑπὸ] ἀπὸ C.
ib. ἀνέληται] Immo ἀναιρεθῇ.
29. Ἱπποδαμείας] ἱπποδάμειαν C.

ται ὕστερον, γεννηθείσης μᾶλλον καὶ τῆς χρυσῆς ἀρνὸς Ἑρμοῦ βουλῇ τοῦ Μυρτίλου πατρὸς ἐν τοῖς Ἀτρέως ποιμνίοις· ὅθεν τὰ δεινὰ τῆς τραγῳδίας ἔπη. ὁ δὲ Γεραιστὸς ἀποθανόντος ἐκεῖ τοῦ Μυρτίλου Μυρτῷον πέλαγος ὠνομάσθη. ὁ δὲ Πέλοψ εἰς Ὠκεανὸν ἐλθὼν καὶ Ἡφαίστῳ ἁγνισθεὶς, λαβὼν Νήσσαν τὴν Οἰνομάου βασιλείαν καὶ τὴν Ἀπίαν Πελασγίαν λεγομένην Πελοπόννησον ὠνόμασεν. ἡ δὲ ἱστορία τῆς χρυσῆς ἀρνὸς ἐγράφη ὄπισθεν "ὁπότε χρυσέας ἔρις ἀρνός." C.

992. δικών: ἐμβαλὼν εἰς τὸν πόντον, ὅτε ἐφόνευσεν. B.M.I.

993. λευκοκύμοσι: τοῖς λευκοῖς κύμασιν, ἐπειδὴ προσρηγνύμενα τῷ ἀκρωτηρίῳ ἀφρώδη γίνεται. A.B.M. Gu. I. αἷς προσκρουόμενα τὰ κύματα ἀφρὸν ἐμποιεῖ, ὃς ἐξ ἀνάγκης ἐστὶ λευκός. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ταῖς λευκαῖς διὰ τῶν κυμάτων. Gu. τὰ κύματα γὰρ προσπεπηγμένα τῷ ἄκρῳ ἀφρίζει. Fl. 10. Γεραιστίαις: Γεραιστὸς ἀκρωτήριον τῆς Εὐβοίας. I.

994. ἁρματεύσας: ἐκ τοῦ ἅρματος βαλών. ὅμοιον δέ ἐστι τῷ διεδίφρευσε. ἠϊόνας δὲ λέγει τὴν ἐπιφάνειαν τοῦ κύματος, ἢ τοὺς αἰγιαλούς. B.M.I. ἁρματεύσας: δραμών. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76. ἐκ τοῦ ἅρματος ῥίψας. Gu. Fl. 21.

995.—1000. ὅθεν: τουτέστι διὰ τὸ φονευθῆναι τὸν Μυρτίλον συμφορὰ κατέλαβε τοὺς οἴκους, τὴν ἀρχὴν λαβοῦσα, ἐξ οὗ ἐγένετο τέρας ἐν τοῖς ποιμνίοις τοῦ ἱπποτρόφου Ἀτρέως τὸ ὀλέθριον. λέγω δὲ τὴν ἄρνα τὴν χρυσόμαλλον, ἣν ὁ Μαιάδος τόκος Ἑρμῆς ὑπέβαλεν.

1. μᾶλλον] Suspectum. χρυσόμαλλον ἄρνα dixit Euripides.

2. ὅθεν τὰ δεινὰ τῆς τραγῳδίας ἔπη] Notandus trimeter vel casu factus vel aliunde sumtus.

5. Νήσσαν] ?

6. Ἀπίαν] ἀππίαν C.

ib. Πελοπόννησον] πελοπόννησον C.

7. ὄπισθεν] v. 812. ubi vide scholion ex C., editum in annotatione.

10. λευκοκύμασι: τοῖς λ.] λευκοκύμασι (sic) λ. A. τοῖς λ. κύμασιν om. Gu.

ib. προσρηγνύμενα] προσρηγνυμένης τῆς θαλάσσης Gu.

11. γίνεται] γίνονται A. Gu. Post γίνεται M. addit γεραιστὸς δὲ ἀκρωτήριον τῆς εὐβοίας. ἐντεῦθεν καὶ μυρτῷον ἀπὸ μυρτίλου τὸ πρὸς εὔβοιαν κέκληται. Quae in B.I. leguntur ad v. 990.

16. δέ ἐστι] ἐστι om. B.I.

19. ἐκ τοῦ] ἀπὸ Fl.

20. ὅθεν, τουτέστι διὰ] τουτέστι ὅθεν διὰ M. ὅθεν διὰ B. ὅθεν δόμοις τοῖς ἐμοῖς ἦλθεν ἀρὰ πολύστονος ὅτε ἐγένετο ποιμνίοις τέρας ὀλοὸν ἀτρέως ἱπποβότα λόχευμα ἀρνὸς χρυσομάλου μαιάδος τόκου. τουτέστιν ὅθεν διὰ A.

21. ἐξ] καὶ ἐξ A.

23. τὴν ἄρνα τὴν] τὸν ἄρνα τὸν I.

ib. χρυσόμαλλον om. M.

ib. ὑπέβαλεν] ὑπέβαλλεν A.

A.B.M.I. τὸ δὲ λόχευμα πρὸς τὸ ἀρνὸς, τουτέστι τὸ χρυσόμαλλον λόχευμα ἀρνὸς, περιφραστικῶς τὴν ἄρνα. A.M.

997. λόχευμα: ὅτε ἐγένετο ποιμνίοις τέρας ὀλοὸν Ἀτρέως ἱπποβότα, λόχευμα ἀρνὸς χρυσομάλλου Μαιάδος τόκου. I.

λόχευμα ποιμνίοισι: τὸ ἑξῆς, λόχευμα χρυσόμαλλον ἀρνὸς, ὅ ἐστι περιφραστικῶς ὁ ἀρνός. B.M.I. ἀκολουθεῖν δοκεῖ τῷ τὴν Ἀλκμαιωνίδα πεποιηκότι εἰς τὰ περὶ τὴν ἄρνα, ὡς καὶ Διονύσιος ὁ κυκλογράφος φησί. Φερεκύδης δὲ οὐ καθ' Ἑρμοῦ μῆνίν φησι τὴν ἄρνα ὑποβληθῆναι, ἀλλ' Ἀρτέμιδος. ὁ δὲ τὴν Ἀλκμαιωνίδα γράψας τὸν ποιμένα προσαγαγόντα τὸ ποίμνιον τῷ Ἀτρεῖ Ἀντ.... καλεῖ. A.B.I. λόχευμα: τόκος. Gr. τὸ γέννημα, ἤγουν ὁ Μυρτίλος. Gu.

998. τὸ χρυσόμαλλον: Ἑρμοῦ φησι τὰ ποίμνια, καθότι ἀποδίδοται τούτῳ ἡ ἐπιμέλεια αὐτῶν. Ἑρμοῦ δὲ καὶ μιᾶς τῶν Δαναοῦ θυγατέρων Φαεθούσης ἐγένετο Μυρτίλος. οἱ δὲ ἐκ Κλυμένης φασὶν αὐτὸν καὶ Διὸς γεγενῆσθαι. Ἄλλως. ὁπότε τὸν ἀρνειὸν ὑπέβαλε τοῦτον Ἑρμῆς ὀργιζόμενος Ἀτρεῖ, ἐπειδὴ ὁ πρόγονος αὐτοῦ Πέλοψ τὸν Μυρτίλον αὐτοῦ υἱὸν εἰς τὸ ἐξ αὐτοῦ Μυρτῷον κληθὲν πέλαγος ἔρριψε, συναγωνισάμενον αὐτῷ καὶ ποιήσαντα ἀπὸ κηροῦ τοὺς τροχοὺς, ἤτοι τοὺς σφῆνας τῶν τροχῶν. ὁ δὲ Ἀτρεὺς βουλόμενος δεῖξαι ὅτι αὐτοῦ ἐστιν ἡ βασιλεία ἔφη δεῖξαι ὅτι χρυσόμαλλος ἀρνειὸς αὐτῷ ἐτέχθη. τούτου δὲ ὑπονοθεύσας τὴν γυναῖκα Θυέστης ἔκλεψε τὸν ἀρνειόν. μὴ δυνηθεὶς οὖν κατὰ τὴν ὑπόσχεσιν δεῖξαι ὁ Ἀτρεὺς ἔμελλεν ἀφαιρεῖσθαι τὴν βασιλείαν, ἐκείνου τὸ ὑπ' αὐτοῦ ὑποσχεθὲν δεικνύντος, εἰ μὴ, ὡς ἂν φιλόσοφος, ἀπέδειξεν αὐτοὺς ἀσεβοῦντας, εἰ

2. τὴν ἄρνα] Pergit A. ἄλλως. ἀκολουθεῖν ἀεὶ δόξειε τῷ τὴν etc.

5. ὅ ἐστι om. B.I.

8. καθ' Ἑρμοῦ—ὑποβληθῆναι] κατ' ἑρμοῦ—ἐπιβληθῆναι A.

9. ἀλλ' Ἀρτέμιδος om. I.

10. ἀντ.... καλεῖ, relicto aliquot literarum spatio, B. ἀνταποκαλεῖ I. Excidit nomen pastoris, quod Ἀνταῖον vel Ἄντανδρον vel aliud ab literis αντ incipiens fuisse Bentlejus viderat in Epist. ad Millium p. 17. (469. ed. Lips.) Verba ὁ δὲ τὴν—ἀνταποκαλεῖ om. A.

12. ἀποδέδοται—αὐτῶν] ἐπιδέδοται τὰ ποίμνια αὐτῷ I. In A. est ἑρμοῦ φησὶ τὸ ποίμνιον καθότι παραδέδοται—αὐτῶν.

14. φασὶ post Διὸς B.I.

15. ὁπότε—ὑπέβαλε] τὸ χρυσόμαλον ἀρνός. ὁπότε ὑπέβαλλε A.

17. αὐτοῦ υἱὸν] υἱὸν αὐτοῦ B.I.

ib. M. κληθὲν] κληθὲν μ. I.

18. αὐτῷ] αὐτὸν A.M.

20. χρυσόμαλλος] χρυσόμαλος A. hic et infra.

21. τούτου δὲ] δὲ om. M.

24. δεικνύντος] Sequentia a m. recentiore scripta in A.

ib. ὡς ἂν] ὡς ὢν A.

Θυέστην βασιλέα ἕλωνται, τεκμήριον δὲ τῆς βασιλείας τὸν ἥλιον καὶ τὰς Πλειάδας ἐκ δύσεως ἀνίσχοντας. καὶ οὕτως ἐβασίλευσε, καὶ τὸν ἀδελφὸν σφόδρα ἐτιμωρήσατο. τινὲς δέ φασι τὸν Δία πρὸς χάριν Ἀτρέως ποιῆσαι τὸν ἥλιον καὶ τὰς Πλειάδας ἐκ δύσεως ἀνατεῖλαι, μεταστρέψαντα τὴν τάξιν ἐν μιᾷ ἡμέρᾳ. A.B.M.I.

Ἄλλως. τὸ χρυσόμαλλον ἀρνός: καὶ τοῦτο πάντως ἐκτιθέμεθα οὕτως· φιλονεικίας γὰρ οὔσης αὐτοῖς περὶ τῆς βασιλείας παρελθὼν ὁ Ἀτρεὺς ἐπηγγέλλετο δεῖξαι πρὸς τὸ βεβαιωθῆναι αὐτῷ τὴν βασιλείαν χρυσόμαλλον ἐν τοῖς ποιμνίοις αὐτοῦ ἄρνα· ἣν ὁ Θυέστης λάθρα παρὰ τῆς Ἀερόπης αἰτήσας ἔλαβεν. ὅθεν Ἀτρεὺς ὡς ἀπατήσας τοὺς Ἕλληνας ἐξεβλήθη τῆς ἀρχῆς, Θυέστης δὲ ἐκράτησεν. ἀλλ' ὕστερον πάλιν ὁ Ἀτρεὺς, φιλονεικίᾳ τῇ πρὸς τοῦτον, προσελθὼν ἐπηγγέλλετο δεῖξαι τὸν ἥλιον ἐκ δυσμῶν εἰς ἀνατολὰς τὴν πορείαν ποιούμενον, καὶ τὴν Πλειάδα ὁμοίως εἰς ἀνατολὴν ὁρῶσαν. τοῦτο οὖν οὐ λέγει ὅτι μετὰ τὸ φανῆναι τὴν ἄρνα ἡ Ἔρις τοῦ Ἀτρέως πεποίηκεν ἐπιδειχθῆναι τοῖς Ἕλλησι τὸν ἥλιον τὴν ἐναντίαν πορευόμενον καὶ τὴν Πλειάδα μηκέτι πρὸς δύσιν, ἀλλὰ πρὸς ἀνατολάς. πιθανῶς δὲ ὁ Εὐριπίδης τὸν μῦθον προσήρμοσεν· ὁ γὰρ φυσικὸς λόγος τὸν ἥλιον ἀποδείκνυσι τὴν ἐναντίαν ἰόντα πορείαν τῷ οὐρανῷ· φησὶ γὰρ ὅτι πρότερον μὲν ἐκ καρκίνου εἰς διδύμους ἐποιεῖτο τὴν πορείαν, ὥστε τὸν σωματοειδῆ ἥλιον ἀπεστροφέναι μὲν πρὸς τὴν δύσιν τὸ πρόσωπον. νῦν δὲ διὰ τὴν τοῦ Ἀτρέως καὶ Θυέστου ἀδικίαν ἀποστραφέντα πρὸς ἀνατολὴν φέρεσθαι, ἔχοντα φαινόμενον ἡμῖν τὸν νῶτον. διόπερ τὴν μὲν δύσιν αὐτῷ γενέσθαι ἀνατολὴν, τὴν δὲ ἀνατολὴν δύσιν. πιθανῶς δὲ τὸ κατὰ τὰς Πλειάδας εἴληπται· τὰ μὲν γὰρ ἄλλα ζώδια πρώτην

1. ἕλωνται] ἕλονται (sic) M. In A. est εἰς τὸν αὐτὸν βασιλέα ἕλενται.

2. ἀνίσχοντας A.M. ἀνίσχοντα B. εὑρίσκοντα I.

4. ἐκ δ. ἀ.] ἀ. ἐκ δ. I.

6. Ἄλλως—ἀρνός om. B.I.

ib. πάντως ἐκτιθέμεθα] προεκτιθέμεθα B.I.

7. γὰρ om. B.I.

8. αὐτῷ] αὐτοῦ I.

13. τὸν] τὸν μὲν A.B.

14. εὐ om. A.

15. τὴν ἄρνα scripsi pro τὸν ἄρνα. Nam paullo ante est ἄρνα, ἣν—.

ib. ἡ Ἔρις] ἡ ἔρις ἢ A.

16. τοῖς Ἕλλησι] τοῖς om. B. I.

19. ἐναντίαν] πῶς addit B., πῶς (fort. ἢ ὡς) ὑπείληπται A.

ib. ἰόντα π.] π. ἰόντα I.

20. πρότερον μὲν] μὲν om. I.

21. ἀπεστροφέναι B. ἀπεστραφέναι I. ἐπεστραφέναι A. Idem mox ἐπιστραφέντα.

24. πιθανῶς] Similem annotationem post schol. v. 1005. habent A. M. πιθανῶς (πειθανῶς M.) δὲ τὰς πλειάδας φησί. τῶν γὰρ ἄλλων (πάντων add. A.) ἐν ταῖς ἀνατολαῖς δεικνυ-

φαίνει τὴν κεφαλὴν κατὰ ἀνατολὰς, ὁ δὲ ταῦρος τὸ στῆθος προφαίνει, καθ᾽ ὅ εἰσιν αἱ Πλειάδες, ὥστε ἀνεστραμμένην καὶ τούτων τὴν ἀνατολὴν γίνεσθαι. Ἔρις δὲ ἀντὶ τοῦ διὰ τὴν ἔριν Ἀτρέως τὴν πρὸς Θυέστην. A.B.I. τὸ χρυσόμαλλον: δέον χρυσομάλλου εἰπεῖν πρὸς τὸ ἀρνὸς, χρυσόμαλλον εἶπε πρὸς τὸ τέρας. Gu.

1000. ἱπποβότα: ἵππους τρέφοντος καὶ ἵπποις ἐπιβαίνοντος. B.M.I.

1001. ὅθεν ἔρις: ὅθεν, ἤγουν ἀπὸ τῆς ἀρνὸς, ἔρις καὶ φιλονεικία ὑπῆρξεν Ἀτρεῖ καὶ Θυέστῃ. τότε εἰς μονόπωλον ἀῶ, ἤγουν ἐς μίαν ἡμέραν μετέβαλεν ὁ Ζεὺς τὴν πρὸς ἕσπερον κέλευθον τοῦ οὐρανοῦ, προσαρμόσας τὸ πτερωτὸν καὶ ταχὺ ἅρμα τοῦ ἡλίου εἰς ὁδὸν ἄλλην, καὶ μεταβάλλει τὸ δρόμημα τῆς ἑπταπόρου Πλειάδος εἰς ὁδὸν ἄλλην, τουτέστι τὸν ἥλιον καὶ τὰς ἑπτὰ Πλειάδας, ἐξ ἀνατολῶν ἐς δύσιν ἀνατέλλοντας, ἐκ δύσεως εἰς ἀνατολὴν ἀνατεταλκέναι πεποίηκε, δεικνὺς τὴν τῶν γινομένων παρανομίαν τῇ τούτων μετατροπῇ. καὶ ἐκ τῶνδε ἀμείβει καὶ ἐκ διαδοχῆς ἐπιφέρει καὶ τὰ ἐπώνυμα δεῖπνα τοῦ Θυέστου καὶ τὰ λέκτρα τῆς Κρήσσης Ἀερόπης τῆς δολίας ἐν δολίοις γάμοις, ἀμείβει θανάτους θυνάτων, τουτέστιν ἀπὸ τούτων τῶν πραγμάτων καὶ ἀπ᾽ ἐκείνου τοῦ καιροῦ συμφοραὶ καὶ θάνατοι οὐ λείπουσιν· ὧν αἴτια τό τε φαγεῖν τὸν Θυέστην τοὺς αὐτοῦ παῖδας παρὰ Ἀτρέως σφαγέντας καὶ προτεθέντας εἰς δεῖπνον, καὶ τὸ τὴν Ἀτρέως γυναῖκα Ἀερόπην τῷ Θυέστῃ μοιχεύεσθαι. εἰ μὴ γὰρ ἐκεῖνα συνέβη, οὐδὲ ταῦτ᾽ ἐγεγόνει. τὰ πανύστατα δὲ τῶν οἴκων ἦλθεν εἰς ἐμὲ καὶ εἰς τὸν ἐμὸν πατέρα σὺν πολυπόνοις ἀνάγκαις, τουτέστι τὰ ὕστερον δυστυχήματα ὁ ἐμὸς πατὴρ καὶ ἐγὼ δεδυστυχήκαμεν. Gu. γρ. τὸ τέτρωρον. M. γρ. τό τε πτερωτόν. B.

1003. μεθαρμόσασα: μεταστρέψασα. I. προσαρμόσασ᾽: ἐναλλάξας, μεταβιβάσας. Gu.

1004. μονόπωλον ἐς ἀῶ: Εὐριπίδης μὲν ἐν ἵππῳ ἐποχεῖσθαι

των τὴν κεφαλὴν ὁ ταῦρος τὸ στῆθος ὑποφαίνει :—

1. ἀνατολὰς] τὰς ἀνατολὰς A.

2. τούτων] ταύτην B.I.

3. Ἀτρέως—Θυέστην] ὁ ἀτρεὺς τὴν παρὰ τὸν θυέστην A.

6. ἵππους—ἐπιβαίνοντας] τοὺς ἵππους τρέφοντος ἢ ἐπιβαίνοντος M.

29. ἵππῳ] ἵπποις I. In A. est μὲν ἕνα ἵππον ἐποχεῖσθαί φησι τὸν ἥλιον, τοῦτον δὲ εἶναι—. In C. μὲν ἵππῳ ἐποχεῖσθαι, τοῦτον δὲ εἶναι—.

φησὶ τὴν Ἡμέραν, καὶ τοῦτον εἶναι τὸν Πήγασον, ἄλλοι δὲ ἐπὶ δίφρου. ἠὼς δέ ἐστιν ἡ πρὸ τῆς ἀνατολῆς ἡλίου λάμπουσα. ἔνιοι δὲ μονόπωλον οὐχὶ τὴν ἕνα πῶλον ἔχουσάν φασιν, ἀλλ' ἐν μιᾷ ἡμέρᾳ καὶ μόνῃ, ἵν' ᾖ ὁ Ἀτρεὺς τοῦτο ἐσχηκὼς κατὰ χάριν Διὸς, διὰ μιᾶς ἡμέρας τότε τὸν ἥλιον ἐκ δύσεως ἀνατεῖλαι καὶ τὰς Πλειάδας. A.B. C.M.I. μονόπωλον: διὰ μιᾶς ἡμέρας. I. τουτέστιν ἐν μιᾷ ἡμέρᾳ. M.

μονόπωλον ἐς ἀῶ: εἰς ἡμέραν ἑνὸς δρόμου ἵππων, τουτέστιν εἰς ἡμέραν μίαν. Gr. ἑνὶ πώλῳ τῷ Πηγάσῳ ἐποχουμένην. ἰστέον ὅτι ὁ Πήγασος πτερωτὸς ἦν κατὰ Λυκόφρονα "Ἠὼς μὲν κραιπνοῖς ὑπερποτᾶτο Πηγάσου πτεροῖς." ἢ μονόπωλον ἀντὶ τοῦ μίαν ἐκληπτέον, ἵν' ᾖ τὸ μονόπωλον ἀντὶ τοῦ μονόκυκλον. ἢ μονόπωλον λέγει τὴν ἑνὶ πώλῳ ὀχουμένην τῷ Πηγάσῳ. ἐκ δὲ τοῦ εἰπεῖν ἡμέραν μίαν ἐδήλωσεν. ἰστέον δὲ ὅτι καὶ παρά τισιν ἐποχεῖσθαι δίφρῳ αὐτὴν λέγεται. Gu.

1005. ἑπταπόρου: ἐξ ἑπτὰ γὰρ ἀστέρων ἡ Πλειάς. B.M.I. ἑπτὰ πορείας ποιούσης· ἑπτὰ γὰρ ἀστέρες εἰσὶν ἡ Πλειάς. Gu. δρόμημα: δρόμον. Gr. τὴν πορείαν. Gu. δραμήματα: τὸν ἥλιον καὶ τὴν ἑπτάπορον Πλειάδα. M.

1006. Ζεὺς μεταβάλλει: ἤτοι διὰ τῆς χάριτος ἧς παρέσχεν ὁ Ζεύς (διὰ γὰρ τοῦτον κατέσχεν) ἢ παρὰ τὸ κρατῆσαι τὸν Ἀτρέα, ἢ ἀντὶ τοῦ φόνου τοῦ Μυρτίλου διαδοχαὶ φόνων ἐγίνοντο. A.M. Ἄλλως. Ζεὺς μεταβάλλει: ἤτοι διὰ τῆς χάριτος ἣν παρέσχεν ὁ Ζεύς. A.

μεταβάλλει: ἀντὶ τοῦ μετέβαλλεν. B.I.

1007. τῶνδέ τ' ἀμείβει: ἀπὸ τούτων, ὅ ἐστιν ἑξῆς δὲ τούτων, ἀπὸ τοῦ Ἀτρέως καὶ τοῦ Θυέστου, κατὰ διαδοχὴν θανάτους ἀλλεπαλλήλους ἐπήγαγεν ὁ Μαιάδος τόκος, καὶ τὰ δεῖπνα τῶν τέκνων τοῦ Θυέστου. ἐπώνυμα δὲ αὐτὰ εἶπεν, παρετυμολογῶν τὸν Θυέστην παρὰ

1. καὶ τοῦτον B. φησὶ δὲ τοῦτον M. καὶ τοῦτον δὲ I.
2. λάμπουσα] λάμψις C.
4. ἵν' ᾖ—Πλειάδας om. A.
ib. μιᾶς ἡμέρας] ἡμέρας μιᾶς I.
5. ἥλιον] οὐρανὸν M.
10. Λυκόφρονι] 17.
16. Πλειάς] πληϊάς I.
25. ἀπὸ] ἀπὸ δὲ B.I.
26. ἀπὸ τοῦ Ἀτρέως καὶ τοῦ Θυέστου hic om. A.B.M., sed habet B. a m. rec. supra versum, omisso altero τοῦ.
ib. ἀλλεπαλλήλους] ἐπαλλήλους B. I., om. A.
ib. τοῦ Θυέστου] τοῦ om. A.
28. αὐτὰ εἶπεν] εἶπεν αὐτὰ I. Verba ἐπώνυμα—τῶν τέκνων αὐτοῦ om. A.,

τὴν θύσιν τῶν τέκνων αὐτοῦ. Ἄλλως. ἀμοιβαδὶς κατὰ διαδοχὴν θανάτων ἐπήγαγε τῷ γένει ὁ Ζεὺς ἀντὶ τῆς χάριτος ἧς παρέσχεν ὁ Ζεὺς, ἢ μᾶλλον ὁ Ἑρμῆς. ἢ οὕτως. ἀντὶ τοῦ φόνου τοῦ Μυρτίλου διαδοχαὶ φόνων ἐγένοντο. A.B.M.I.

1008. Θυέστου: τὰ γὰρ παιδία αὐτοῦ ὁ Θυέστης ἔφαγε. B.

1009. λέκτρα τε Κρήσσας: ἀνέστρεψε τὴν τάξιν τῆς ἱστορίας. B.M.I.

1011. τὰ πανύστατα: τὰ ἔσχατα δὲ κακὰ εἰς ἐμὲ καὶ τὸν ἐμὸν πατέρα ἦλθεν ἐν ταῖς πολυπόνοις ἀνάγκαις τῶν δόμων. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

τὰ πανύστατα: λείπει τὸ κακά. B.I. τὰ πανύστατα: ὕστερα δυστυχήματα, ἔσχατα κακά. Gu.

1012. πολυπόνοις ἀνάγκαις: λείπει ἡ σύν, σὺν πολυπόνοις, ἀνάγκαις. B.M.I. καὶ πολλὴν λύπην ἐχούσαις. Fl. 59. ἀνάγκαις: καὶ βίαις καὶ εὐναστείαις (sic) τῶν κακῶν. Fl. 59.

καὶ μήν: καὶ μὴν ὁ σὸς ἀδελφὸς οὗτος ἔρχεται κατακριθεὶς τῇ ψήφῳ τοῦ θανάτου, τουτέστι καταδικασθεὶς ἀποθανεῖν, ὁ πιστότατός τε πάντων Πυλάδης, ἔρχεται δηλονότι, λέγω ὁ ἰσάδελφος ἀνὴρ, κυβερνῶν τὸ νενοσηκὸς σῶμα τοῦ Ὀρέστου, παράσειρος καὶ συνεζευγμένος ἐν ποδὶ κηδοσύνῳ, ἤτοι ἐν πορείᾳ κηδεμονικῇ. I.

---

neque hic habet M., sed habet in scholio proximo sic scripto, ἄλλως. ἀμοιβαδὶς κατὰ διαδοχὴν θανάτους ἐπήγαγε θανάτους τῷ γένει ἤτοι ὁ ζεὺς ἀντὶ τοῦ τῆς χάριτος ἧς παρέσχε, τουτέστιν ἀλλεπαλλήλους διαμείβει. τουτέστιν ὁ ἑρμῆς. ἀπὸ δὲ τούτων, ὅ ἐστιν ἑξῆς δὲ τούτων κατὰ διαδοχὴν θανάτους ἀλλ' ἐπαλλήλους ἐπήγαγεν ὁ μαιάδης τόκος καὶ δεῖπνα τῶν τέκνων θυέστου. ἐπώνυμα δὲ αὐτὰ εἶπεν παρετυμολογῶν τὸν θυέστην παρὰ τὴν θύσιν τῶν τέκνων αὐτοῦ: — Praeterea inter textum et scholia haec habet, θανάτους θανάτῳ: ἤτοι διὰ τῆς χάριτος ἧς παρέσχειν ὁ ζεύς· διὰ γὰρ τοῦτο κατέσχεν· ἢ περὶ τοῦ κρατῆσαι τὸν ἀτρέα, ἢ ἀντὶ τοῦ φόνου τοῦ μυρτίλου διαδοχὴ φόνων ἐγένετε:— quae paullo aliter scripta in A. posuimus p. 254, 20. Ex Fl. 10. Matth. haec attulit, ἀπὸ τούτων ἢ ἑξῆς τούτων κατὰ διαδοχὴν θανάτους ἐπαλλήλους ἐπήγαγε τῷ γένει ὁ ζεὺς χάριν ἑρμοῦ.

1. ἀμοιβαδὶς M. ἀμοιβὰς B.I. ἀμοιβαδὸν A. qui pergit κατὰ διαδοχὴν θανάτους ἐπήγαγε τῷ παντὶ γένει ἤτοι ὁ ζεὺς ἀντὶ τῆς χάριτος ἧς παρέσχε τουτέστι ἀλλεπαλλήλους ἀμείβει θανάτευς ὁ ἑρμῆς:— reliquis omissis.

2. ἀντὶ τῆς B. ἀντὶ τοῦ τῆς I.

ib. παρέσχεν ὁ ζεὺς M. in scholio modo allato. παρέσχετο, omisso ὁ ζεὺς, I.

6. ἀνέστρεψε] ἀνέτρεψε B.

11. τὸ κακά] τὸ om. I.

13. λείπει ἡ om. M.

ib. πολυπόνοις] πολυπόνοισιν B. (qui in textu πολυστόνοις habet). πολυστόνοις I., om. M.

ἕρπει: ἀντὶ τοῦ ἔρχεται. Gr. τουτέστι μετά τινος κακοπαθείας βαδίζει. B.M. Gu. I.

κατακυρωθείς: κατακριθείς. B.M. Gr. I.

1016. ἰθύνων: κυβερνῶν τὸ νενοσηκὸς σῶμα τοῦ Ὀρέστου πορείᾳ κηδεμονικῇ, ἤγουν κατὰ πορείαν κηδεμονικὴν παρασυνεζευγμένος. Gr. I. κῶλον: τὸν πόδα, ἀπὸ μέρους τὸ πᾶν, ἤγουν τὸ σῶμα. Gu. Fl. 6. τὰ τῶν ποδῶν ἄρθρα. Fl. 33.

1017. ποδὶ κηδοσύνῳ παράσειρος: τῷ ποδὶ τῷ συγγενικῷ παράσειρος καὶ συνεζευγμένος, τουτέστι πορευόμενος μετὰ κηδεμονίας. A.M. τῇ κηδοσύνῃ συνεζευγμένος, καὶ τὸ νοσερὸν κῶλον τοῦ Ὀρέστου ἰθύνων. κῶλα δὲ κυρίως λέγει τὰς ἁρμονίας τῶν μελῶν. B.I. κηδοσύνῳ: φροντιστικῷ, συγγενικῷ. Gu. παράσειρος: συνδεδεμένος, μετ' αὐτοῦ πορευόμενος. παράσειρος κυρίως ὁ ὀπίσω τοῦ ἅρματος ἑπόμενος ἵππος. Gu.

1018. οἶ 'γώ: ἰαμβικοί. Gu. φεῦ, ἀθλία εἰμὶ ἐγώ· ὁρῶσα γάρ σε, ὦ ἀδελφὲ, πρὸ τοῦ τύμβου, ἤτοι ἔμπροσθεν τοῦ τύμβου, ἢ πρὸ τοῦ τύμβου, ἀντὶ τοῦ πρὸ τοῦ τυχεῖν σε τάφου, καὶ πρότερον τῆς νερτέρου πυρᾶς, ἤτοι τῆς πρὸς τοὺς νερτέρους πεμπούσης πυρκαϊᾶς, ἀναστένω. οἶ ἐγὼ λίαν πάλιν, λίαν ἐξέπεσον τῶν φρενῶν, ἰδοῦσα τοῖς ὄμμασι σὲ θέαν τελευταίαν. I. πρὸ τύμβου: τουτέστι πρὸ τοῦ τυχεῖν σε τάφου βλέπουσά σε οὕτως ἀθλίως ἔχοντα καὶ μέλλοντα θανεῖσθαι στένω. ἢ τὸ πρὸ τύμβου ἀντὶ τοῦ ἔμπροσθεν καὶ ἐγγὺς τοῦ τύμβου. Gu.

οἶ 'γώ: πρὸ τύμβου γὰρ ὁρῶ σε πλησιάζοντα καὶ ἐγγὺς ὄντα τῷ τάφῳ ἢ τῷ θανάτῳ. ὁρᾷ δὲ τὸν Ὀρέστην πλησίον τοῦ τάφου τοῦ πατρὸς καὶ θρηνεῖ τὸ καὶ κατ' αὐτὸν ὅσον οὐδέπω ἐκεῖ καθήσεται. A.M. πλησιάζοντα καὶ ἐγγὺς ὄντα τοῦ τάφου καὶ τοῦ θανάτου ὁρῶσα στενάζω. ἢ οὕτως, πρὶν ἐν τῷ τάφῳ καὶ ἐν τῇ πυρᾷ σε θεάσομαι, θρηνῶ. B.I.

1019. πάροιθε: ἀπὸ κοινοῦ τὸ ὁρῶσα. B.M.

1. τουτέστι om. M. Gu. I.

5. παρασυνεζευγμένος] παρασυνεζευγμένον I.

8. τῷ ποδὶ τῷ et παράσειρος καὶ om. A.

10. κηδοσύνῃ] κηδεμοσύνῃ I.

15. οἶ 'γώ—σε] οἶ ἐγὼ τύμβου M.

24. τῷ τάφῳ ἢ τῷ θανάτου] τοῦ τάφου ἢ τοῦ θανάτου A.

ib. ὁρᾷ (ὁρῶ A.) δὲ τὸν Ὀρέστην] ὁρῶσα γὰρ ὀρέστην M.

1020. οἴ 'γὼ μάλ' αὖθις: φεῦ μοι καὶ πάλιν ἐμοὶ τῇ ἀθλίᾳ. B. M.I. γρ. καὶ ὡς ἰδοῦσά σ' ὄμμασι. B.M.

1021. πανυστάτην πρόσοψιν: ἐσχάτην θέαν. Gr. I. οὐ γὰρ ᾤετο αὐτὸν αὖθις θεάσασθαι. Gu. λέγεται δὲ ἐνταῦθα ἐπὶ τῆς ἐνεργείας τῆς ὄψεως. Gr. I.

1022. οὐ σῖγ' ἀφεῖσα: οὐ μετὰ σιγῆς καταλείψασα τοὺς γυναικείους λόγους ὑπομενεῖς τὰ κυρωθέντα; ἐλεεινὰ μὲν ταῦτα, ἀλλ' ὅμως ἀνάγκη ἐστὶν ἡμᾶς ὑπομένειν τὰς παρούσας δυστυχίας. I.

γυναικείους λόγους: γρ. γόους. M.

1023. τὰ κρανθέντα: τὰ κυρωθέντα. Gr. τὰ ψηφισθέντα, τὰ τελειωθέντα. Gu. ὅμως: λείπει τὸ δεῖ φέρειν. τινὲς δὲ γράφουσιν οἰκτρὰ μὲν, ἀλλ' ὅμως φέρε. M.

1024. τὰς παρεστώσας: τὰς ἐνισταμένας ἡμῖν. Gu.

1025. καὶ πῶς: καὶ πῶς σιωπήσω, ἐπεὶ οὐκέτι μέτεστιν ἡμῖν τοῖς ἀθλίοις βλέπειν τόδε τὸ φῶς τοῦ ἡλίου, ἐπεὶ τὸ φῶς τοῦ ἡλίου ὁρᾶν οὐ μέτεστιν ἡμῖν τοῖς ταλαιπώροις. I.

1027. 1028. σὺ μή μ' ἀπόκτεινε: αὐτάρκης ὁ ὑπὸ τῆς Ἀργείας χειρὸς θάνατος. B.M.I. διὰ τῶν λόγων σου. Gu. ἅλις: ἀρκούντως. Gr. Fl. 6. 9. 17. 56. 59. 76. ὑπ' Ἀργείας χερός: ὑπὸ τῆς τῶν Ἀργείων δυναστείας. Gr. Florr. iidem.

1028. τὰ παρόντα: τὰς παρούσας λύπας. Gr. ἤγουν τὸ κλάειν καὶ θορυβεῖν. Gu. Florr. iidem.

1029. ὦ μέλεος: ὦ τλήμων Ὀρέστα ἕνεκα τῆς σῆς ἡλικίας τῆς δυστυχοῦς, καὶ χάριν τοῦ ἀώρου καὶ ἀκαίρου θανάτου. I. γρ. ὦ τλῆμον. Gr.

καὶ πότμου: καὶ τῆς δυστυχίας. Gr. καὶ τῆς τύχης, ἤγουν τοῦ συμβάματος. Gu. Fl. 6. 9. 17. 56. 59. 76.

1030. ἀώρου: τοῦ ἔξω τοῦ ἁρμοδίου καιροῦ. Gr. Fl. 6. 9. 17. 25. 56. 59. 76. ζῆν ἐχρῆν σε: τότε ἐχρῆν σε ζῆν, ὅτε οὐδαμῶς εἰ.

1. φεῦ—τῇ] φεῦ μοι καὶ πάλιν τῇ B. οἴμοι καὶ πάλιν τῇ I.

2. καὶ om. M.

3. οὐ γὰρ—θεάσασθαι om. I.

6. In Gr. gl. μετὰ σιγῆς, ὑπομενεῖς τὰ κυρωθέντα et ἐλεεινά.

11. λείπει τὸ δεῖ] Hoc etiam in B. legitur. Qui hac scripsit, non legit versum proximum φέρειν ἀνάγκη τὰς παρεστώσας τύχας.

15. ἐπεὶ—ταλαιπώροις] Haec habet B. sic scripta, οὐκέτι τὸ φῶς τοῦ ἡλίου ὁρᾶν μέτεστιν ἡ. τ. τ.

17. ὁ ὑπὸ] ὁ om. B.

ib. Ἀργείας] ἑλληνικῆς B.I.

21. ἤγουν—θορυβεῖν om. Florr.

25. καὶ τῆς τύχης—συμβάματος om. Florr.

ὃ νομίζει ἐξ ἀνάγκης γενήσεσθαι, τοῦτ' ἤδη καὶ μήπω γενόμενον ὡς ἤδη γεγονὸς ἀποφαίνεται. Gr. I. νῦν ὅτε ἀνὴρ γέγονας καὶ ἀκμάζεις καὶ ὤφειλες ζῆν, ἀπόλλυσαι κατακριθείς. A.C.M. νῦν σε, φησὶν, ἐχρῆν ζῆν, ὅτε οὐκέτι σε ζῆν συγχωροῦσιν οἱ Ἕλληνες. A.B. C.M.

1031. μὴ πρὸς θεῶν: μὴ ἐνυβρίσῃς σὺ τῷ Ἀγαμέμνονος γόνῳ. M. περιβάλῃς: ἐμβάλῃς. Gu. Fl. 6. περιάψῃς. Fl. 33. ἀνανδρίαν: δειλίαν. Gr. Fl. 6. 9. 17. 33. 56. 59. 76.

1032. εἰς δάκρυα: θηλύνουσι γὰρ ταῦτα. Gu. πορθμεύουσα: τουτέστι διὰ τὴν ὑπόμνησιν τῶν κακῶν εἰσάγουσά με εἰς δάκρυα. A.B.M.I. φέρουσα, διαβιβάζουσα. Gu. μετακομίζουσα. Gr. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76. παράγουσα. Fl. 33.

1033. κακά: τὴν ἀπώλειαν. Gr. Fl. 6. 17. 59. 76.

1034. πᾶσιν γὰρ οἰκτρόν: οὐκ ἐκράτησε τοῦ διανοήματος· θέλει γὰρ εἰπεῖν ὅτι πᾶς ἀποθνήσκων οἰκτίζεται τὴν ἰδίαν ψυχήν. A.B. M.I. ἐλεούμενον πρᾶγμα (ἐλέους ἄξιον add. Gu.) ἡ φιλουμένη ζωή. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1035. κύριον: κεκυρωμένον. Gr. I. δεῖ δ' ἢ βρόχους: χρεὼν δ' ἐστὶν ἢ σχοινία καὶ ἀγχόνην ἀνάπτειν καὶ κρεμᾶν μετέωρον, ἢ ξίφος ἀκονᾶν χερὶ, ἤγουν διὰ χειρός. I. θίγειν: ψαύειν, λαμβάνειν. Gu. θήγειν ἀκονᾶν διὰ τοῦ η, ψαύειν δὲ διὰ τοῦ ι. Fl. 6. ἀκονᾶν. Gr.

1037. σύ νύν μ', ἀδελφέ: σύ μου, φησὶν, αὐτόχειρ γενοῦ, ἵνα μή τίς με τῶν ἐχθρῶν ἀνελὼν ὕβριν ταύτην προστρίψῃ καὶ ἐπιτωθάσῃ σε τὸν Ἀγαμέμνονος γόνον· ἢ οὕτως, ἵνα μή τις ἐνυβρίσῃ σε τὸν Ἀγαμέμνονος γόνον. γράφεται καὶ δόμον· οὕτω γὰρ καὶ Καλλίστρατός

3. νῦν σε —] In A. νῦν σε φησὶ χρὴ ζῆν ὅτε οὐκέτι σοι συγχωροῦσιν οἱ ἀργεῖοι γῆν. In C. νῦν φησὶν ἐχρῆν σε ζῆν ὅτε οὐκέτι σοι συγχωροῦσιν οἱ ἕλληνες.

10. τουτέστι om. M., τουτέστι διὰ om. A. qui μὲν post ὑπόμνησιν addit et με omittit.

15. ἰδίαν A.B. αὑτοῦ M.I. In Gu. τὴν ἰδίαν ζωήν.

19. καὶ ἀγχόνην] ἐπ' ἀγχόνῃ Gr. Fl. 6. 17. 59. 76.

20. θίγειν] θήγειν Gu. Vitiosum θίγειν postulat interpretatio.

23. ἐχθρῶν] ἀργείων I.

ib. προστρίψῃ Matth. pro προστρίψειε. προστρίψει σε M.

ib. ἐπιτωθάσῃ σε] ἐπιτωθάσειε A.B. ἐπιτωθάσει I. Post ἐπιτωθάσειε pergit A. τὸν ἀγαμέμνονος γόνου. οὕτως οὖν καλλίστρατος—γράφειν. Sequentia ἢ οὕτως—δόμον hic om. M., sed post γράφειν pergit, ὕβρισμα θέμενος: ἵνα μή τις ἐνυβρίσῃ σε τὸν ἀγαμέμνονος γόνον. γόνον: γρ. δόμον οὕτως καὶ ἐν τοῖς ἀρίστοις καλλίστρατος :—

φησιν Ἀριστοφάνη γράφειν. A.B.M.I. Ἄλλως. μὴ ἐνυβρίσῃς σὺ τὸν Ἀγαμέμνονος γόνον. B.I.

1038. ὕβρισμα θέμενος: ἵνα μή τις ἐνυβρίσῃ σε τὸν Ἀγαμέμνονος γόνον. A.C. ὑβρίσας. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀτιμήσας. Fl. 6. ἀτιμίαν. Gu. θέμενος: ποιούμενος. Fl. 6. γόνον: σπέρμα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τὴν γένναν, ἤγουν ἐμέ. Gu.

1039. ἅλις τὸ μητρός: ἀρκούντως ἔχει ὁ φόνος τῆς μητρὸς, ὃν ἐφονεύθη δηλονότι ὑπ' ἐμοῦ. ἀλλὰ αὐτοχειρὶ θνῆσκε, ἢ ὅτῳ τρόπῳ βούλει. Gr. I.

ἅλις τὸ μητρὸς αἷμ' ἔχω: τὸ ἔχω μετὰ ἐπιρρήματος συγκείμενον, εἰ μὲν γενικῇ συντάσσεται, τὸ ἐπίρρημα ἔχει τὴν δύναμιν, οἷον οὕτως ἔχω γνώμης, καὶ καλῶς ἔχω τῶν πραγμάτων. εἰ δὲ αἰτιατικῇ, τὸ ἔχω, οἷον "ἅλις τὸ μητρὸς αἷμ' ἔχω," καὶ "εἰ μὲν οὕτως εἶχον, ὦ ἄνδρες Ῥόδιοι, τὸ σῶμα." Gu.

1040. αὐτόχειρι: αὐτοχείρως εἰπεῖν ἔμελλε, πρὸς δὲ τὸ τρόπῳ ἐξήνεγκεν, ὥσπερ ἐποίησε καὶ τὸ κρεμαστούς (v. 1036.)· κρεμαστῶς γὰρ κἀκεῖ ὤφειλεν εἰπεῖν. Gu.

1041. ἔσται τάδε: γενήσεται ταῦτα. οὐκ ἐπὶ πολὺν χρόνον τῆς σῆς σφαγῆς ἀπολειφθήσομαι. B.I. Ἄλλως. τουτέστιν οὐκ ἀπολειφθήσομαι τοῦ σοῦ θανάτου, ὡς μετὰ σὲ τεθνηκέναι, ἀλλ' ἅμα σοὶ τοῦ παρόντος οἰχήσομαι βίου. Gu. I. οὐδὲν σοῦ ξίφους λελείψομαι: οὐδαμῶς τοῦ σοῦ ξίφους δεήσομαι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. οὐκ ἀποστήσομαι τοῦ σοῦ ξίφους, ἀλλ' αὐτόθεν ἐμαυτὴν κἀγὼ διαχειρίσομαι. A.C. Fl. 10. 33. ἀντὶ τοῦ οὐ μετὰ πολὺν χρόνον τῆς σῆς σφαγῆς. M.

1. γράφειν] γραφήν M. Corrupte A. in alio scholio (post 1038.) γράφε δόμον ὅτι καὶ ἀρίσταρχος καὶ καλλίστρατος. Post ὅτι καὶ literae φρ in unum compendium conjunctae. Requiritur φησί vel φασί.

2. τὸν—γόνον] τῷ—γόνῳ B.

3. ἐνυβρίσῃ] ὑβρίσῃ C.

ib. τὸν Ἀ. γόνον] τὸν γόνον τοῦ ἀγαμέμνονος C.

8. δηλονότι om. Gr. qui pergit ὑπ' ἐ. ἀλλὰ θνῆσκε αὐτόχειρι τρόπῳ ὅτῳ βούλει.

19. σφαγῆς ἀπολειφθήσεμαι] His B.I. adjungunt illa εἰ ὅλως ἔστι etc. ex scholio 1043.

ib. Ἄλλως (hoc om. Gu.) τουτέστιν οὐκ] ἄλλως. οὐκ I.

22. βίου] χρόνου I.

24. κἀγὼ om. A.

ib. αὐτόθεν] αὐτόθι A.

ib. διαχειρίσομαι] χρήσομαι C. Fortasse διαχρήσομαι.

1042. *ἀμφιθεῖναι*: *περιθεῖναι.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *περιβαλεῖν.* Gu. *περιπλακῆναι.* Fl. 33.

1043. *τέρπου*: *τέρπου τέρψιν ματαίας ὠφελείας, εἰ τὸ περιβαλεῖν χέρα τοῖς πέλας βεβηκόσι θανάτου ὑπάρχει τέρψεως ποιητικόν* (*τέρψεως παρεκτικόν.* Gr. Fl. 6. 9. 21. 56. 59. 76.). I. *εἰ τερπνὸν τόδε*: *εἰ ὅλως ἔστι τέρψις τοῖς πέλας θανάτου βεβῶσι.* B.C.M.I.

1044. *βεβῶσιν*: *πλήσιον βεβηκόσιν, ἐλθοῦσιν, ἑστῶσιν.* Gu.

1045. *ὦ φίλτατ'*: *ἀντὶ τοῦ διὰ στοργῆς καὶ φιλίας ἔχων τὴν ἐμὴν ψυχὴν καὶ τὸ ἐμὸν ὄνομα. ποῖον ὄνομα; τὸ καὶ αὐτὸν καλεῖσθαι ἀδελφὸν* (*ὅ ἐστι καλούμενος ἀδελφός*)· *ὁ γὰρ ἀδελφοῦ ἔχων ὄνομα ἀδελφὸς ἂν καλοῖτο.* A.B.M. *ὦ ὁ ἔχων ὄνομα τῆς σῆς ἀδελφῆς, ἤγουν τὸ τοῦ ἀδελφοῦ, ποθεινόν, ἐμοὶ δηλονότι, καὶ ἥδιστον, καὶ ψυχὴν μίαν, ἤγουν τὴν αὐτὴν αὐτῇ δηλονότι, τουτέστι τῇ ψυχῇ αὐτῆς.* Gr. Cant. Fl. 21. *ἀδελφῆς δ' ὄνομα ἔχειν ἔφη τὸν Ὀρέστην, ἤγουν αὐτὸ τὸ εἶναι ἀδελφὸν αὐτῆς· ἡ γὰρ τῆς ἀδελφότητος κλῆσις πρὸς ἀλλήλους ἀντιστρέφει.* Fl. 21.

1046. *τῆς σῆς ἀδελφῆς*: *ἐπεὶ καὶ αὐτὸς ἀδελφὸς αὐτῆς καλεῖται.* M. *τὸ τῆς σῆς ἀδελφῆς πρὸς τὸ ποθεινόν ἐστιν, οὐ πρὸς τὸ ὄνομα· οὐ γὰρ μόνον ποθεινός εἰμι τούτῳ λέγομεν, ἀλλὰ καὶ ποθεινός εἰμι τούτου, οὕτω· ὦ Ὀρέστα, ὁ ἔχων ὄνομα ποθεινὸν τῆς σῆς ἀδελφῆς, ἤγουν ὁ ποθούμενος ὑπ' αὐτῆς. ἐρεῖ δὲ καὶ προϊὼν ὅμοιον,* "*ὦ ποθεινὸν ὄνομ' ὁμιλίας ἐμῆς.*" *ἢ τὸ ὄνομα πρὸς τὴν Ἠλέκτραν νοητέον.* Gu.

1047. *ἔκ τοί με τήξεις*: *ἐκτήξεις με ὑπὸ τῶν σῶν δακρύων· καὶ αὐτὸς περιβαλεῖν σε βούλομαι. διὰ τί γὰρ ἀποτουνῦν αἰδοῦμαι τάλας; ὦ στέρνα ἀδελφῆς, ὦ σὺ ἣν προσφιλῶς προσπτύσσομαι ἐγώ, τάδε τὰ προσφθέγματα πάρεισι τοῖς ταλαιπώροις ἀντὶ παίδων καὶ λέχους γαμικοῦ.* Cant.

ἔκ τοί με τήξεις: *ἐκτήξεις.* Gr. *ἐξ ὧν λέγεις.* Fl. 6. *δαμάσεις καὶ καταβαλεῖς εἰς δειλίαν.* Gu. *ἀμείψασθαι*: *οἷον καὶ αὐ-*

6. *ἔστι τέρψις*] *ἔστιν ὄνησις* C.
10. *ὅ ἐστι κ. ἀ.* om. B.
27. *τάδε—γαμικοῦ*] In Gr. ad v. 1049. *ἀντὶ τοῦ σὺ ἣν προσφιλῶς προσπτύσσομαι ἐγώ.* et *τάδε τὰ—γαμικοῦ.*
30. *οἷον*] *ἤγουν* I. Totum scholion sic scriptum in C. *ἐπεὶ ἀδελφός ἐστι καὶ αὐτὸς οἷον τὸ περι* (sic) *αὐτὸ περιβαλεῖν σε θέλω*:—

τὸς περιβαλεῖν σε βούλομαι. B.M. Gu. I. ἀντιδεξιώσασθαι. Gu. Fl. 6.

1048. φιλότητι χειρῶν: ἁφῇ φιλικῇ χειρῶν. Fl. 6. 9. 17. 21. 34. 56. 76. τί γὰρ ἔτ' αἰδοῦμαι: οὐ γάρ ἐστιν αἰδεῖσθαι τοῖς εἰς θάνατον ἐρχομένοις. Gu. Cant.

1049. πρόσπτυγμα: περίπλεγμα, φίλημα. Gu. φίλημα, περιπλοκή. Fl. 6.

1050. γαμηλίου: γαμικοῦ. Gr. I.

1051. ἀμφί: ἀντὶ τοῦ ἐπί. καὶ χωρὶς δὲ αὐτῆς ὁ λόγος σώζεται. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1052. ταυτόν: τὸ αὐτὸ, ἤγουν ἕν. Gr. Florr. iidem et 25. εἰ θέμις: εἰ δυνατόν. Gr.

1053. κέδρου τεχνάσματα: τουτέστι κέδρινον κατασκεύασμα. Gu. τὰ ἐκ κέδρου κατασκευάσματα. I. ἐκ γὰρ κεδρίνου ξύλου εἰώθασι τὰς θήκας κατασκευάζειν. A.B.C.M. Gu. I. λέγει δὲ ἡ Ἠλέκτρα, πῶς ἂν ἡμᾶς τὸ αὐτὸ ξίφος φονεύσειε καὶ ἀμφοτέρους ἓν μνῆμα δέξαιτο; καὶ τὸ μὲν ἄμφω φονευθῆναι ὑφ' ἑνὸς ξίφους δυνατόν· σφαγέντος γὰρ πρῶτον τοῦ Ὀρέστου, ἔλαβεν ἂν Ἠλέκτρα τὸ ξίφος καὶ ἑαυτὴν διεχρήσατο· τὸ δὲ μετασχεῖν ἑνὸς τάφου, ἄπορον ἦν τοῦτο· ζῶντος γὰρ ἐδεῖτο τὸ ἔργον. ὅτι δὲ τοῦτο οὕτως ἔχει ἐδήλωσεν Ὀρέστης πρὸς ἓν μόνον ἀποκρινάμενος τὸ περὶ τοῦ τάφου· ὁρᾷς δὲ δὴ φίλων ὡς ἐσπανίσμεθ', ὥστε κοινωνεῖν τάφου. Gu. Bar.

1054. ἥδιστ' ἄν: εὐφραντικώτατα εἴη ἂν ταῦτα, εἰ οὕτω γένοιτο. ὁρᾷς δὲ δὴ νῦν ὅτι ἐστερήμεθα φίλων, ὥστε κοινωνεῖν ἡμᾶς, ἀλλήλοις δηλονότι, τοῦ τάφου. I.

1055. ἐσπανίσμεθ': ἐστερήμεθα. Gr. I. διὰ τὸ μηκέτι φίλους ἔχειν. B.M.

1056. οὐδ' εἶφ' ὑπὲρ σοῦ: οὐδὲ ὑπὲρ σοῦ εἶπε, μὴ θανεῖν σε σπουδάζων Μενέλαος ὁ κακότροπος, ὁ τὸν ἐμὸν πατέρα ἐγκαταλίπων; Gr. Bar. ὁ προδότης: προδότην καλεῖ ἡ Ἠλέκτρα Μενέλαον τοῦ πατρὸς

1. περιβαλεῖν σε βούλομαι] ἀντιπεριβαλεῖν σε θέλω Gu.

14. ἐκ γὰρ] γὰρ om. Gu. πῶς δέξαιτο ἡμᾶς τετορευμένον ξύλον; ἐκ γὰρ C.

ib. κεδρίνου ξύλου] κεδρίν̄ ξύλ̄ (i. e. κεδρίνων ξύλων) C.

15. τὰς θήκας κ.] κ. τὰς τῶν νεκρῶν θήκας Gu.

16. φονεύσειε scripsi pro φονεύσῃ.

18. σφαγέντος — διεχρήσατο om. Bar.

26. μηκέτι] μηκέτι μηδὲ B.

28. οὐδ'—σε om. Gr.

αὐτῆς ὡς αἴτιον Ἀγαμέμνονι τῶν συμβάντων αὐτῷ κακῶν· εἰ μὴ γὰρ δι' ἐκεῖνον εἰς Τροίαν ἀπέπλει, οὐκ ἂν οἴκοι τοιαῦτα ἐγεγόνει κακὰ, καὶ αὐτὸς ἐπανελθὼν ἀθλίως πεφόνευται. ἢ προδότην λέγει ὡς προδεδωκότα τὴν ἐξ Ἀγαμέμνονος γενομένην αὐτῷ χάριν, ἐπειδὴ τοῖς αὐτοῦ παισὶ κινδυνεύουσιν οὐκ ἐβοήθησεν. Gu. Bar.

1058. οὐδ' ὄμμ' ἔδειξεν: ἤγουν οὐδὲ διάθεσιν ἔδειξε καὶ γνώμην, ὅπερ ἐστὶν ὀλίγον πρὸς τὸ διεγερθῆναι καὶ ἀντιτάξασθαι τοῖς ἐχθροῖς. Gr. I. ἐπὶ σκήπτροις: ἐπὶ τῇ ἡμετέρᾳ βασιλείᾳ. Gu. ἀλλ' ἐπὶ τοῖς σκήπτροις ἔχων τὴν ἐλπίδα, ἤγουν ἐπὶ τῇ βασιλείᾳ, τοῦ Ἄργους δηλονότι, ἣν ἤλπιζε κατέχειν ἀποθανόντος τοῦ Ὀρέστου, ηὐλαβεῖτο σώζειν τοὺς φίλους. Gr. I. ἀλλ' ἄγε, σκεψώμεθα ὅπως, ἀντὶ τοῦ πῶς, δράσαντες γενναῖα καὶ ἀξιώτατα τοῦ Ἀγαμέμνονος καταθανούμεθα. ἤγουν ἀποθανούμεθα. Gr. I.

οὐδ' ὄμμ' ἔδειξεν: ἀντὶ τοῦ οὐδὲ ἐφάνη ἐν τῇ ἐκκλησίᾳ. B.C.M. Gu.

1059. μὴ σώζειν φίλους: τὸ μή περιττεύει, ὅτι ηὐλαβεῖτο καὶ παρῃτεῖτο ἀντειπεῖν μὴ σώζειν τοὺς φίλους· οἱ γὰρ γνήσιοι φίλοι καὶ πρὸς τὸ πλῆθος οὐ παραιτοῦνται κινδυνεύειν. ἢ τὸ πλῆθος ηὐλαβεῖτο πρὸς τὸ μὴ σώζειν τοὺς φίλους, ἢ εἰπεῖν ηὐλαβεῖτο. A.B.C. M.I. τοῦ μή καὶ παρόντος καὶ ἀπόντος ὁ λόγος ὁμοίως σώζεται. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1061. ἀξιώτατα: γρ. δεξιώτατα. M.

1062. κἀγὼ μὲν εὐγένειαν: ἤγουν τοῖς πολίταις ἀποδείξω τὴν εὐγένειαν. I. μεγαλοψυχίαν. Fl. 6. τὸ εὐτόλμως ἀποθανεῖν. Fl. 33. πόλει: γρ. πατρός. M.

1064. ὅμοια πράσσειν: ποιεῖν. Gr. τουτέστιν αὐτόχειρα σφαγῆναι. Gu. τολμήμασιν: βουλεύμασιν. Gu. ἔργοις. Fl. 6.

1065. βραβεύς: οἰκονόμος, διοικητής. B. ἀντὶ τοῦ ἔφορος καὶ

6. ἔδειξε καὶ γνώμην] καὶ γνώμην ἔδειξεν I.

8. ἀλλ' ἐπὶ—ἐλπίδα om. Gr.

9. τοῦ Ἄργους δηλονότι om. I.

11. ηὐλαβεῖτο—φίλους om. Gr.

13. καταθανούμεθα] ἀποθανούμεθα I., omisso ἤγουν ἀποθανούμεθα.

14. οὐδὲ] οὐκ C.

ib. ἀντὶ—ἐκκλησίᾳ] οὐδὲ ἐν τῇ ἐκκλησίᾳ ἐφάνη Gu.

16. περιττεύει] περιττὸν C. qui verba proxima ὅτι—ἀντειπεῖν μὴ σ. τ. φ. om.

18. ηὐλαβεῖτο πρὸς τὸ μὴ] εὐλαβεῖτο (sic etiam I.) πρὸς τὸ (sine μή) C.

19. ηὐλαβεῖτο ex A. pro εὐλαβεῖτο. His addit C. καὶ παρῃτεῖτο ἀντειπεῖν τῷ πλήθει μὴ σθένων σώζειν τοὺς φίλους.

προνοητής. A. rec. *ἐπιστάτης.* Gr. *κυρίως ὁ ἀγωνοθέτης λέγεται βραβεύς.* Gr. *οἰκονόμος ἐκ τοῦ διδόναι ἡμῖν ξίφη.* Gu.

1066. *κατθανόντων: ἡμῶν δηλονότι.* Gr. Fll. *εὖ περίστειλον: κατὰ κόσμον τάξον καλῶς.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *οἰκονόμησον, κόσμησον.* Gu. *παραγγέλλει γὰρ ἀποθανόντων περιστεῖλαι καὶ κηδεῦσαι τὸ ἑαυτῶν σῶμα σεμνῶς.* A. Fl. 33. *δέμας: τὰ σώματα.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1067. *θάψον τε: οὗτος ὁ στίχος ἐν ἀντιγράφοις οὐχ εὑρίσκεται.* Gu. *κοινῇ: ὁμοῦ.* Fl. 6.

1069. *ἐπίσχες: καρτέρησον.* Gu. I. *σαυτὸν δηλονότι, ἤγουν καρτέρησον.* Gr. *ἐπίσχες: "ἐπίσχες· οὗτοι τὸ ταχὺ τὴν δίκην ἔχει."* Gu. *μομφὴν ἔχω: ἀντὶ τοῦ μέμφομαί σοι, εἰ ζῆν μ' ἐθέλειν, σοῦ ἀποθανόντος, ἤλπισας.* I.

1070. *ἤλπισας: ὑπέλαβες.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1071. *τί γάρ: τί γὰρ ἁρμόζει ἀποθανεῖν σε μετ' ἐμοῦ;* I.

1072. *ἤρου: ἠρώτησάς με εἰ προσήκει με ἀποθανεῖν μετὰ σοῦ. κἀγώ σε ἀντερωτήσω, τί δὲ προσήκει με ζῆν τῆς σῆς φιλίας καὶ ἑταιρείας χωρίς;* B.I. *ἠρώτησας. κατὰ τί δὲ ἁρμόζει ζῆν με.* Gr. *ἑταιρίας: ἑταιρία ἡ φιλία ι, ἑταιρεία δὲ τὸ ἀξίωμα διφθογγον, ἀφ' οὗ ἑταιρειάρχης.* Gu.

1073. *οὐκ ἔκτανες: οὐκ ἐφόνευσας τὴν σὴν μητέρα, καθάπερ ἐγώ.* B.I.

1074. *σύν σοί γε: ἐφόνευσα τὴν μητέρα σου, καὶ τὰ αὐτὰ σοὶ πρέπει πάσχειν με.* Gr. Cant. Fl. 6. *ταῦτα: ἃ μέλλεις παθεῖν.* Gu. Fl. 6.

σύν σοί γε: οὐ πρὸς τὸ ῥηθὲν ἀπεκρίνατο Πυλάδης ὑπὸ Ὀρέστου· θέλει γὰρ λέγειν ὅτι συνησέβησά σοι. ἰδίως δὲ ταῦτα ὁ Εὐριπίδης,

1. *κυρ. ὁ ἀγων.* est etiam in I. *οἰκον. ἐπιστ. κυρ. ὁ ἀγων. λέγ. βραβεύς* in Bar. *ἐπιστ. οἰκον. ἐκ τοῦ διδ. ἡ. ξ.* in Cant. Praeterea *διοικητής* addit Bar. MATTH.

5. *γὰρ* addidi ex A. qui mox *σεμνῶς* ante *σῶμα* collocat.

11. *ἐπίσχες· οὗτοι*] Phoen. 452.

16. *ἠρώτησάς με—*] *ἠρώτησάς με, φησὶ, ἰδοὺ, κἀγώ σε ἀντερωτήσω. τοῦτό με ἠρώτησας. ἀλλ' ἐκεῖνο, διὰ τί δὲ ζῆν:* —A.M.

26. *τὸ ῥηθὲν—Ὀρέστου*] *τὸ λεγόμενον ὑπὸ ὀρέστου ἀπεκρίνατο* A.M. Iidem vero scholion brevius habent, *οὐ πρὸς τὸ ῥηθὲν ἀπεκρίνατο. θέλει γὰρ εἰπεῖν ὅτι συνησέβησά σοι:*— Et C. *σεαυτὸν, φησὶ σῶζε τῷ πατρί σου. ἰδίως καὶ τοῦτο φησὶ τοῦ πυλάδου προειρηκότος ἐκβεβλῆσθαι ὑπὸ τοῦ πατρός:*—

27. *δὲ* om. A.

τοῦ Πυλάδου ἔμπροσθεν εἰρηκότος ὅτι ἐκβέβληται ὑπὸ τοῦ πατρὸς, εἰ μὴ ἄρα αἰνίττεται ὡς μετὰ θάνατον τοῦ πατρὸς δυνήσεται κατελθεῖν. A.B.M.I.

1075. ἀπόδος: σεαυτὸν ἄπαγε πρὸς τὸν πατέρα σου σῶον. B.I. ἀντὶ τοῦ σεαυτὸν σῶζε τῷ πατρί· οὐ γὰρ οὕτως ἔχεις τύχης ὡς ἐγώ· σοὶ γὰρ ἔξεστιν εἰς τὴν πατρίδα ἐπανελθεῖν. B.M.I.

1078. τῆς δ' ἐσφάλης: τῆσδε τῆς Ἠλέκτρας ἀπέτυχες, ἥν σοι ἠγγυησάμην τὴν σὴν φιλίαν τιμῶν. σὺ δὲ ἄλλο γύναιον λαβὼν τεκνοποίησον· ἐμοὶ γὰρ πρὸς σὲ συγγένεια οὐκέτι γενήσεται. I. δυσπότμου: δυστυχοῦς. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐσφάλης: ἠστόχησας, ἀπέτυχες. B. Fl. 6. ἠστόχησας. Gr. Florr. iidem et 25. ἀπέτυχες. Gu.

1079. κατηγγύησ': ἐμνήστευσα. Gr. Florr. iidem et 34. ὑπεσχόμην. Gu. διὰ τῆς ἀδελφῆς αὐτοῦ τοῦτο λέγει, ὅτι ὑπέσχητο τῷ Πυλάδῃ τὴν ἀδελφὴν αὐτοῦ εἰς γάμον δοῦναι. C.

1080. ἄλλο λέκτρον: ἀντὶ τοῦ ἄλλην γυναῖκα. Gr. Florr.

1081. κῆδος: ἤγουν ἡ διὰ τοῦ γάμου συγγένεια ἡμῶν. Gr. Florr. iidem. τὸ διὰ τοῦ γάμου· μὴ γαμηθείσης γὰρ αὐτῆς οὐκ ἔμελλε κῆδος εἶναι. A.B.M. Fl. 33.

1082.—1084. ἀλλ' ὦ ποθεινόν: ἤγουν ὦ ποθεινὴ ὁμιλία ἐμὴ, τουτέστι σὺ, ᾧ ποθεινῶς ὡμίλουν ἐγώ. σύνηθες δὲ τοῦτο, τὸ τιθέναι ἀντὶ τῶν προσώπων τὰ πράγματα ὧν ἐστιν αἴτια τὰ πρόσωπα, οἷον ὦ ἀνάπαυσις ἐμή, καὶ ὦ ἄλγος ἐμόν, ἀντὶ τοῦ σὺ ἐφ' ᾧ ἀναπαύομαι ἐγὼ, καὶ σὺ ὃς ἄλγος ἐμοὶ προξενεῖς. Gr. I. ἀλλ' ὦ ποθεινὴ ὁμιλία ἐμὴ, χαῖρε· οὐ γὰρ ἡμῖν ἐστι τὸ χαίρειν, σοὶ δὲ ἐστί, ζῶντι δηλονότι· οἱ γὰρ μέλλοντες τεθνήξεσθαι εὐφροσυνῶν στερούμεθα. Cant.

1. τοῦ Πυλάδου] τοῦ γὰρ πυλάδου A.
ib. ἐκβέβληται] ἐκβέβλημαι A.
2. Pro εἰ μὴ ἄρα etc. Flor. 33. in quo idem scholion est: εἰ μὴ ἐκεῖνος (l. ἐκεῖνο) ἐνθυμούμενος λέγει ὅτι, Στροφίου μεταλλάξαντος, ἐξεστιν αὐτοῦ (leg. αὐτῷ) κατελθεῖν. MATTH. Cum Fl. 33. consentit A. nisi quod εὐθυμούμενος—ὅτι τοῦ στροφίου—habet et recte αὐτῷ pro αὐτοῦ.
4. σεαυτὸν] τὸν ἑαυτόν (sic) σου B.
5. ἀντὶ τοῦ om. I. In A. est σοὶ μὲν γάρ ἐστι πόλις. ἀντὶ τοῦ σὺ τοῦτον σῶζε etc.
ib. σεαυτὸν M. σἀυτὸν (sic) B. σοι σαυτὸν I.
8. ἠγγυησάμην] ἐγγυησάμην I.
11. ἠστόχησας] ἠστήχησας (sic) B.
18. γὰρ αὐτῆς—εἶναι] αὐτῆς. οὐ γὰρ κῆδός τε ἔμελλε εἶναι A.
20. ἐμή Gu. ἐμοί I. Ex eodem cod. recepi τὸ ante τιθέναι, τῶν ante προσώπων,—ἐφ' ᾧ ἀναπ. pro ἐφ' οὗ. MATTH.

ὦ ποθεινὸν ὄνομ᾽: ἤγουν ᾧ ὁμιλεῖν καὶ συνεῖναι ποθῶ, ἤγουν Πυλάδη. Gu. ὅτι ὁμιλίας τῆς φιλίας φησί. σημειωτέον δὲ πρὸς τὸ ἐν Φοινίσσαις "ὁμιλία χθονός." A.B.C.M.I.

1083. ἔστι τοῦτο: τὸ χαίρειν. C. Gr. I.

1084. οἱ γὰρ θανόντες: δέον οὕτως εἰπεῖν, οἱ γὰρ θανόντες χαρμάτων τητῶνται, τητώμεθα εἶπεν, ἐπειδὴ καὶ αὐτὸς μετὰ τῶν θανόντων ὅσον οὔπω ἔσεσθαι ἔμελλεν. Gu. I. τητώμεθα: στερούμεθα. Gr. I.

1085. ἦ πολύ: ὄντως μακρὰν ἀπέχεις τοῦ ἐμοῦ σκοποῦ. I. ὄντως ἐνδεὴς εἶ τῶν ἐμῶν βουλευμάτων, τουτέστιν ἀγνοεῖς τὰ ἐμὰ βουλεύματα. Gr. Cant. ἀπελείφθης, ἀπέστης, ἤγουν οὐ συνῆκας τὰ ἐμὰ βουλεύματα. Gu.

1086. μήθ᾽ αἷμά μου: ὅ ἐστιν, ἀποθανὼν μὴ ἑνωθείην τοῖς στοιχείοις ἐξ ὧν εἰμι, ἀλλὰ πλανῴμην εἰκῇ, ὑπ᾽ οὐδενὸς τῶν στοιχείων λαμβανόμενος. Ἄλλως. μήτε τὸ σῶμά μου, φησὶν, ἀποθανόντος ἡ γῆ παραδέξαιτο, μήτε εἰς αἰθέρα ἡ ἐμὴ ψυχὴ χωροίη, εἴ σε προδοίην τανῦν, τουτέστι μὴ ἑνωθείην τοῖς στοιχείοις τελευτήσας· οἱ γὰρ ἀποθνήσκοντες κατ᾽ αὐτοὺς εἰς τὰ στοιχεῖα ἀναλύονται ἐξ ὧν εἰσί. A.B.M.I. ἤγουν εἴθε μὴ προσδέξαιτό με τὰ στοιχεῖα ἀποθανόντα, ὡς βδελυρὸν δηλονότι καὶ ἀποτρόπαιον, εἰ σὲ ἐγὼ ποτὲ ἐγκαταλιπὼν, ἐλευθερώσας τὸ ἐμὸν, μέρος δηλονότι, ἤγουν ἐμαυτὸν ἄφετον ποιήσας, ἀπολίποιμί σε. Gr. I.

1089. καὶ ξυγκατέκτανον: καὶ γὰρ συνεφόνευσά σοι τὴν μητέρα, καὶ οὐκ ἀπαρνήσομαι, καὶ πάντα συνεβούλευσα ὧν ἕνεκα σὺ δίδως τιμωρίας. πρέπον οὖν ἐμοὶ σὺν σοὶ θανεῖν καὶ τῇδε· ἐμὴν γὰρ αὐτὴν κρίνω γυναῖκα, ἥστινος τὴν κοίτην ἐπῄνεσα. I.

1092. ἐπῄνεσα: συνεπῄνεσα. Gr. Bar. ἀπεδεξάμην, ἠγάπησα. Gu. συγκατέθην. Fl. 6. 33.

2. ὅτι] ἔτι A., om. C. Iidem φησί om.

3. Φοινίσσαις] 1472.

ib. ὁμιλία A. ὁμιλίαι C. ὁμιλίας ceteri.

12. ὅ ἐστιν om. C. ex quo addidi τοῖς.

13. ἀλλὰ — Ἄλλως (ἀλλὰ A.M.) om. C.

ib. πλανῴμην] πλανοίμην M I.

14. φησὶν ἀποθανόντος om. C.

15. παραδέξαιτο] παραδέξεται A. et mox χωρήσεται.

ib. εἰς αἰθέρα ἡ ἐμὴ ψυχὴ] ἡ ψυχή μου εἰς πρὸς (sic) αἰθέρα C.

ib. χωροίη] χωρήσοι B.I. χωρεῖν C. Sequentia om. C.

16. οἱ γὰρ — ἀναλύονται] ὅτε γὰρ ἀποθνήσκουσι εἰς τὰ στοιχεῖα ἀναλίσκονται A.

17. κατ᾽ αὐτοὺς om. M.

18. ἤγουν] Ἄλλως I.

ib. προσδέξαιτο] προσδέξαιντο Gr.

1093.—1096. *τί γὰρ ἐρῶ καλόν ποτε: τί γὰρ ἔχω, φησὶν, ἀπολογήσασθαι εἰς τὴν πατρίδα ἐπανελθὼν, εἰ προδοίην σε δυστυχοῦντα, τότε φίλος ὢν, ὅτε εὐτύχεις.* A.B.M.I.

τί γὰρ ἐρῶ: ἤγουν τίνα εὐπρόσωπον ἀπολογίαν δώσω. Gr. Fl. 6. 9. 17. 21. 34. 59. 76. *ἡ κατασκευὴ τὸ τί γὰρ ἐρῶ πρὸς τὸ ἀπολίποιμί σε.* Gu.

1094. *γῆν Δελφίδ' ἐλθών: Ὕαμος ὁ Λυκώρου μετὰ τὸν κατακλυσμὸν βασιλεύων τῶν περὶ τὸν Παρνασσὸν Ὕαν πόλιν ἔκτισε. καὶ γήμας Μελάνθειαν τὴν Δευκαλίωνος ἐποίησε Μελανίδα· ἐκ δὲ Μελανίδος Δελφὸς, ὃς τὴν ἀρχὴν τοῦ μητροπάτορος παραλαβὼν ἔγημε Κασταλίαν, ἀφ' ἧς ἡ κρήνη τοὔνομα ἔχει. καὶ ἔσχε Καστάλιον καὶ Φημονόην, ἥν φασι πρώτην ἐξαμέτρῳ χρῆσαι. πόλιν δὲ κτίσας ὁ Δελφὸς Δελφίδα ὠνόμασε. μετὰ δὲ θάνατον αὐτοῦ ἦρξε Καστάλιος, οὗ υἱὸς Λάφριος, οὗ Νούτιος· ἐφ' οὗ Δελφοὶ πολεμοῦντες πρὸς τοὺς ὁμόρους ἀναρχίαν εἵλοντο, καὶ τὸν Ἀκρίσιον μετεπέμψαντο ἐξ Ἄργους, ὃς αὐτοῖς τόν τε πόλεμον καλῶς διέθετο, καὶ κατὰ ζῆλον τοῦ Ἀμφικτυονικοῦ συνεδρίου οὗ κατεστήσατο Ἀμφικτύων ὁ Δευκαλίωνος ἐν Θερμοπύλαις τῆς Θεσσαλίας ἕτερον ἐν Δελφοῖς κατεστήσατο. καὶ τὸ ἐν Θεσσαλίᾳ ἀναλαβὼν τὰς συνόδους ἀντὶ μιᾶς δύο πεποίηκε, καὶ νόμους ἔθετο, καθ' οὓς ἔμελλον ἕκαστα διοικεῖν, ἀτέλειάν τε προεῖπεν ἐφ' ἑκατέραις ταῖς συνόδοις, καὶ τὴν πρόνοιαν τοῦ ἱεροῦ καὶ τῶν Δελφῶν τῷ συνεδρίῳ ἐπέτρεψε. μετὰ δέ τινα*

7. *Ὕαμος ὁ Λυκώρου* Barnes. ex Pausan. 10, 6. *ὕασσος* (*ὕαπος* A. *ὕασπος* B.I.) *ὁ λυκόρας* A. B. M. Fl. 33. I.

ib. *μετὰ* om. A.

8. *Ὕαν πόλιν*] Scholiastam usitata nominis forma usum esse *Ὑάμπολιν*, quam Matth. restituit, probabilius est quam divisim *Ὕαν πόλιν* scripsisse, etsi hoc quoque reperitur, de quo dictum in Thesauro vol. 8. p. 10.

9. *Μελάνθειαν*] *μελάνθιαν* A. *λευκάνθειαν* Fl. 33.

ib. *ἐκ δὲ*] *καὶ ἐκ* A.

12. *Φημονόην, ἥν* Barnes. *φημινὸν ἣν* M. *φημονὴν ἣν* A. *φημῖνον ἥν* B. *φημῖνον ὃν* I. *σφημίνον ὃν* Fl. 33.

ib. *πρώτην* A.B. *πρῶτον* M.I.

ib. *ὁ δελφὸς*] *ἀδελφὸς* I.

14. *Λάφριος, οὗ Νούτιος*] *οὐ λάφριος οὐ νούτιος* A.B.I.

ib. *ἐφ' οὗ*] *ἐξ οὗ* I.

ib. *Δελφοὶ* om. A.

15. *εἵλοντο*] *εἵλαντο* A.M.

ib. *Ἀκρίσιον*] *ἀρχίσιον* A.

16. *Ἄργους* Barnesius pro *ἀγροῦ*.

ib. *ὃς αὐτοῖς τόν τε* A. *ὡς ἂν τοῖς τότε* M. *ὃς αὐτοῖς τὸν* B.I.

17. *οὗ* B.M. *οὐ* A. *ὃ* I.

18. *κατεστήσατο* om. A.

19. *Θεσσαλίᾳ*] *θερμοπύλαις* I.

21. *καὶ τὴν—Δελφῶν*] *τουτέστι—ἀδελφῶν* A.

χρόνον Ὄρνυτος ὁ Σισύφου ἥκων ἐκ τῆς Ἀονίας αὐτόσε, καὶ πολεμοῦντας εὑρὼν Ὑαμπολίτας πρὸς Ὀπουντίους Λοκροὺς περὶ Δαφνοῦντος, συμμαχήσας τε ἐνίκησε καὶ ἦρξεν αὐτῶν. ἐγένοντο δ' αὐτῷ παῖδες Φῶκος καὶ Θόας. ἀλλ' ὁ μὲν Θόας ἅμα τῷ πατρὶ εἰς Κόρινθον ἀπήλασε, Φῶκος δὲ διαδεξάμενος τὴν ἀρχὴν τοῦ πατρὸς Φωκέας αὐτοὺς ὠνόμασεν. A.B.M.I. ἀκρόπτολιν: μητρόπολιν. Gr. ἐν γὰρ τῷ ἄκρῳ τῆς Φωκίδος κεῖται. Gu.

1097. οὐκ ἔστιν: ἤγουν οὐχ οὕτω ποιήσω. Gr. I. ἀλλὰ ταῦτα μέν: ἅ ἐστι δηλονότι ὑμῖν διὰ φροντίδος, τουτέστιν ὁ θάνατος, κἀμοὶ ἐστὶ διὰ φροντίδος. Gr. I. διὰ φροντίδος ὑπάρχει. B. rec.

1098. ἐπεὶ δὲ κατθανούμεθα: ἐπεὶ δὲ ἅπαξ ἐκρίθη ἀποθανεῖν ἡμᾶς, πρὸς ἀλλήλους σκεψώμεθα ὡς ἂν τῷ Μενελάῳ κακόν τι προστριψώμεθα, ἵνα μὴ μόνοι δυστυχῶμεν ἡμεῖς. A.B.M.I. εἰς κοινοὺς λόγους ἔλθωμεν: ἤγουν δεῦρο κοινῶς βουλευσώμεθα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1100. ὦ φίλτατ': ἀντὶ τοῦ εἴθε γὰρ τοῦτο ἰδὼν ἀποθάνοιμι. B.M.I. γάρ: ἀργόν. ἔστι δὲ διὰ κάλλος λόγου. Gu.

1101. πιθοῦ νῦν: πείσθητι δή, καὶ τὴν σφαγὴν ἀναβαλοῦ. I. ἀνάμεινον: καρτέρησον. Gu. εἰς ἀναμονὴν θές. Gu. μήπω σφάξῃς σεαυτόν. Gu.

1102. μενῶ: προσκαρτερήσω, εἰ τὸν ἐχθρὸν κολάσω. I.

1103. σίγα νῦν: σίγα δή, ὅτι γυναιξὶν οὐδὲν θαρρῶ. Cant. βραχύ: ὀλίγον, ἀντὶ τοῦ οὐδέν. Gr. οὐδαμῶς. B. Gu. Fl. 6. 9. 17. 21. ὑφορᾶται τὰς τοῦ χοροῦ· ἐνόμιζε γὰρ ἐχθρὰς αὐτὰς εἶναι. B. M.I. τὸ δὲ ὡς ἀντὶ τοῦ γάρ, ἢ ἀντὶ τοῦ ὅτι. B.I.

1104. μηδὲν τρέσῃς: μηδαμῶς φοβηθῇς, ὅτι πάρεισιν ἡμῖν φίλαι. Cant. ὡς: ὅτι. Gr. ἀντὶ τοῦ γὰρ τὸ ὡς. Gu.

1105. λύπην: διά. Gu. εἰς Fl. 9. 17. 59. 76. εἰς ἐσομένην. Fl. 6. ὥστε λυπεῖν αὐτόν. Fl. 10. 21.

1. τινα χρόνον] τινας χρόνους I.
ib. Ὄρνυτος] ὤρνυτο A.
ib. ἥκων] ἐλθὼν I. et Fl. 33.
ib. Ἀονίας] ἰονίας Fl. 33.
2. Ὑαμπολίτας] πολίτας A. Fl 33.
3. ἐγένοντο] ἐγένετο A.
4. εἰς Κόρινθον] ἐκ κορίνθου A.
5. διαδεξάμενος A. δεξάμενος ceteri.
8. ἤγουν om. I.
10. ἐστὶ δ. φ.] δ. φ. ἐστίν I.
11. ἐπεὶ δὲ] ἐπειδὴ A.
12. ὡς] πῶς A.
ib. τι addidi ex A.
16. ἀντὶ τοῦ om. B.I.
24. ἐ. αὐτὰς] αὐτὰς ἐ. I.

πῶς; τὸ γὰρ ἕτοιμόν ἐστιν: τὸ ἑξῆς, εἰ γάρ, φησὶ, τοῦτο ἕτοιμον καὶ εὔκολον τὸ φονεῦσαι τὴν Ἑλένην, καλῶς ἂν ἡμῖν ἔσται. ἀλλὰ τὸ ἐπ' ἐμοὶ ἑτοιμόν ἐστι· τὸ γὰρ ἕτοιμον καλόν ἐστιν. ὁ δὲ λόγος τοιοῦτός ἐστι· τὸ γὰρ ἑτοίμως καὶ εὐχερῶς τὴν Ἑλένην κατεργάσασθαι καλόν ἐστιν, εἰ ὅλως δυνατὸν τοῦτο πρᾶξαι. A.B.C.M.I. Ἄλλως. ἕτοιμος γὰρ εἰς τοῦτό εἰμι, εἴ γε μὴ καταληφθήσομαι. ἀλλὰ τίνι τρόπῳ, φησὶν, ἀνέλωμεν; ἕτοιμος γάρ εἰμι πρὸς τὸ σφάξαι, εἰ ἔστιν εὐμαρὲς τὸ κτεῖναι, τουτέστιν, εἰ μὴ καταληφθήσομαι. A.B.M.I.

τὸ γάρ: τὸ ἐξ ἐμοῦ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἔσται: γενήσεται, ἀποβῇ. Fl. 59. καλῶς: καὶ ὠφελίμως. Fl. 59. εὐκόλως, εὔκολον τοῦτο, εἰ μὴ καταλειφθῶμεν. Fl. 6. εἰ μὴ φωραθῶμεν. Gu.

1108. ἀποσφραγίζεται: σφραγῖδας ἐπιτίθησιν, ὡς δὴ πάντα κληρονομήσασα τὰ ἐμά. Ἄλλως. τὰ μὲν, φησὶ, σφραγίζει τῶν ἡμετέρων, τὰ δὲ ἀποσφραγίζει. A.B.C.M.I. γράφεται καὶ ἀπασφαλίζεται. I. διὰ σφραγίδων ἀσφαλίζεται, ὡς ἤδη κληρονομήσουσα αὐτά. Gr. Fl. 6. 9. 17. 34. 56. 59. 76. ἰδιοποιεῖται, (om. Bar.) σφραγῖδας ἐπιτίθησι πᾶσι (τοῖς add. Bar.) κιβωτίοιςκαὶ τοῖς ἄλλοις. Gu. Bar.

1109. ἀλλ' οὐκέθ': ἀπασφαλισθήσεται δηλονότι. I. ἀποσφραγίσεται. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1110. καὶ πῶς: τίνα τρόπον φονεύσομεν αὐτὴν, ἀπορῶ δηλονότι· ἔχει γὰρ βαρβάρους ἀκολούθους. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὀπάονας: ἤγουν ἀκολούθους καὶ δούλους. I. δούλους. Gu.

1. πῶς—ἑξῆς om. C. In A. lemma ἑλένην κτάνωμεν. et πῶς γὰρ pro εἰ γάρ.

ib. φησὶ post τοῦτο C.

ib. ἕτοιμον καὶ εὔκολον A.C. εὔκολον καὶ ἕτοιμον B.M.I.

2. ἀλλὰ] ἀλλὰ καὶ C.

3. ὁ δὲ λόγος—καλόν ἐστιν om. A.

4. τὴν Ἑλένην post κατεργάσασθαι C.

5. εἰ] In ἢ mutatum in A.

ib. Ἄλλως om. I.

6. καταληφθήσομαι] καταληφθείημεν M.

13. σφραγῖδας recto accentu B. σφραγίδας A.M.I.

14. κληρονομήσασα τὰ ἐμά] κληρονομήσαντας τὰ ἡμέτερα A. In C. est εἰς πάντα σφραγίδας τίθησιν ὡς δὴ κληρονομήσασα τὰ ἡμέτερα:—et gl. τὰ ἡμέτερα πράγματα ἐξουσιάζει.

ib. κληρονομήσουσα] κληρονομήσασα Fl.

ib. Ἄλλως addidi ex M.

ib. τὰ μὲν—ἀποσφραγίζει om. A.

1111. τίνας: ἐπὶ εὐτελισμοῦ. Gr. Florr. iidem. τρέσαιμι: δειλιάσαιμι. I. φοβηθείην. Gr. Florr. iidem.

1112. οἵους ἐνόπτρων: προθύμους εἰς τὴν τῶν ἐνόπτρων καὶ μύρων ὑπηρεσίαν. A.B.M. Gu. I. τοιούτους ἔχει οἵους εἶναι δηλονότι ἐπιστάτας, ἤγουν ἐπιτρόπους, τῶν ἐνόπτρων, ἀντὶ τοῦ τῶν κατόπτρων καὶ τῶν μύρων. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐπιστάτας: ἐνόχους, οἰκονόμους, ἐπιτρόπους. Gu.

1113. τρυφάς: τρυφὰς λέγει οὓς ἐκ Τροίας εὐνούχους καὶ θεράποντας ἤγαγεν. I. βλακείας. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. σπατάλας. Fl. 33.

1114. ὥσθ' Ἑλλάς: ὥστε ἡ Ἑλλὰς, ὅσον εἰς αὐτὴν, μικρὸν ὑπάρχει κατοικητήριον. I. σμικρόν: τοσούτους ἧκεν ἐκεῖθεν ἄγουσα. Gu. Fl. 6. πρὸς τὴν ταύτης αὐθάδειαν ὡς βραχὺ ταύτης ἡ Ἑλλάς ἐστι. Fl. 33. οὕτως, φησὶν, ὑπερβαλλόντως ἐτρύφα ἐν τῇ βαρβάρων χώρᾳ ὡς μηδὲν ἡγεῖσθαι τὴν Ἑλλάδα πρὸς τρυφήν. τρυφηλότερον γὰρ τὸν βίον οἱ βάρβαροι διάγουσι, μείζων τε ἡ Ἀσία τῆς Εὐρώπης. B.M.I.

1115. οὐδὲν τὸ δοῦλον: ἀσθενεῖς, φησὶν, οἱ δοῦλοι πρὸς τοὺς ἐλευθέρους μάχεσθαι διὰ τὸ μὴ τολμᾶν. B.M.I.

1116. καὶ μήν: ὄντως τόδε πράξας ἐκ δευτέρου θανεῖν οὐχ ὑποχωρῶ. I. τόδε, τὸ φονεῦσαι τὴν Ἑλένην. Gu. οὐ χάζομαι: οὐκ ἀναβάλλομαι. B. ἢ ὑποχωρῶ, ἢ ἅζομαι ἀντὶ τοῦ εὐλαβοῦμαι. (οὐ φεύγω, ἀφίσταμαι add. Gu.) Gr. Bar.

1117. ἀλλ' οὐδ' ἐγὼ μήν: ἀλλ' οὐδ' ἐγὼ, οὐχ ὑποχωρήσω θανεῖν δὶς, σοί γε βοηθῶν. I. τιμωρούμενος: ἀντὶ τοῦ τιμωρῶν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1118. τὸ πρᾶγμα: τὸ περὶ τοῦ φόνου τῆς Ἑλένης πρᾶγμα δήλωσον, καὶ εἰπὲ ποίῳ τρόπῳ μέλλομεν ταύτην ἀναιρεῖν. A.B.M.I.

3. προθύμους A.M. Gu. οἵους εἰκὸς εἶναι ἐπιτηδείους B.I.

15. τρυφηλότερον pro τρυφηλότεροι A. Et sic C. in quo haec tantum verba τρυφηλότερον γὰρ βίον ἄγουσιν οἱ βάρβαροι τῶν ἑλλήνων. Verbum διάγουσι om. A.

16. τε] δὲ A.

27. πρᾶγμα δήλωσον] τὸ πρᾶγμα δήλωσον M.

28. μ. ταύτην] ταύτην μ. I. In C. totum scholion δήλωσον τὸ πρᾶγμα καὶ εἰπὲ ποίῳ τρόπῳ μέλλομεν αὐτὴν ἀναιρεῖν:— In A. τὸ περὶ τοῦ φόνου τῆς ἑλένης (omisso πρᾶγμα) δήλωσον καὶ εἰπὲ ποίῳ τρόπῳ μέλλομεν ταύτην ἀναιρεῖν:—

τὴν ἐκείνης σφαγὴν, ὅπως ἔσται. Gu. τὸν τρόπον τοῦ φόνου. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1119. εἴσιμεν: εἰσέλθωμεν εἰς τοὺς δόμους ὡς ἀποθανούμενοι. I. ἀντὶ ὑποτακτικοῦ ὁριστικόν. τὸ θέμα δὲ εἶμι τὸ πορεύομαι διὰ διφθόγγου γραφόμενον. τῶν πληθυντικῶν τὸ πρῶτον πρόσωπον ἴμεν διὰ τοῦ ι. τὰ γὰρ εἰς μι ἐπὶ τῶν πληθυντικῶν καὶ παθητικῶν συστέλλονται. Fl. 21.

1120. ἔχω: νοῶ ὅσον λέγεις, τὰ λοιπὰ δὲ οὐ νοῶ. I. ἀντὶ τοῦ νοῶ πᾶν τοῦτο ὃ εἶπας. Gr. Fl. 6. τἀπίλοιπα: τὰ ἐπίλοιπα, ἤγουν τὰ ἔμπροσθεν. Gr. ἤγουν τί μετὰ τὸ εἰσιέναι γενήσεται. Gu. Fl. 6. οἶδα μέχρι τούτου δι' ἃ πάσχομεν. Fl. 10.

1121. γόους: θρήνους πρὸς αὐτὴν ἐπιθήσομεν, δι' ἃ ἡμεῖς πανθάνομεν, ἤγουν ποιήσομεν τὰ ἡμέτερα δυστυχήματα πρὸς αὐτὴν θρῆνον. Gu. I. ἀντὶ τοῦ θρηνήσωμεν. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἃ πάσχομεν: διὰ τὰ ἡμέτερα δυστυχήματα. Fl. 6. διά. Gr.

1122. ὥστ' ἐνδακρῦσαι: οὕτω, φησὶ, περιπαθῶς θρηνήσομεν ὥστε αὐτὴν εἰς οἶκτον κινῆσαι ἐπὶ τῷ ἡμετέρῳ θανάτῳ λάθρα χαίρουσαν. A.B.C.M.I. αὐτήν. Gu. ἔξωθεν δηλονότι. Gr. κεχαρμένην: διὰ τὴν τῆς κληρονομίας ἐλπίδα. Gu. Fl. 6. ἤτοι εἴσω πλήρη χαρᾶς. Fl. 10.

1123. καὶ νῷν παρέσται: καὶ γὰρ, ἡμεῖς οἰκτιζόμεθα μὲν, χαίρομεν δὲ ὡς μέλλοντες αὐτὴν φονεύειν. τὸ οὖν τότε ἢ ὅτε εἰσερχόμεθα, ἢ ὅτε φονεύομεν αὐτήν. Ἄλλως. ἀντὶ τοῦ ἡμῖν τοῖς δύο. τοῦτο δὲ, φησὶν, αὐτὸ, τὸ δεῖν μὲν δακρύειν, χαίρειν δὲ τῇ διανοίᾳ.

5. τὸ α' πρόσωπον Matth. pro τὸ ἀόριστον.

11. οἶδα—πάσχομεν] ἀντὶ τοῦ οἶδα μέχρι τούτου B.

12. γόους—ἤγουν om. Gu.

13. ποιήσομεν] ποιήσωμεν Gu.

17. θρηνήσομεν C. θρηνήσωμεν A. M. δακρύσομεν B.M.I. In C. duo sunt scholia, prius, περιπαθῶς θρηνήσομεν ὥστε αὐτὴν εἰς οἶκτων νικῆσαι (sic):—alterum, οὕτως φησὶ περιπαθῶς θρηνήσωμεν δακρύσωμεν ὥστε αὐτὴν εἰς δάκρυα κινῆσαι ἐπὶ τῷ ἡμετέρῳ θανάτῳ χαίρουσα:— In A. nihil praeter verba οὕτω φησὶ περιπαθῶς θρηνήσωμεν ὥστε αὐτὴν εἰς οἶκτον κινῆσαι.

21. πλήρη χαρᾶς Matth. pro πληροῦ χάραν.

23. ὅτε] ὅπερ A. ὅτι M.

24. Ἄλλως] παρέσται addit A. Debebat etiam νῷν addere.

ib. ἀντὶ τοῦ ἡμῖν τοῖς δύο. τοῦτο δὲ, φησὶν, αὐτὸν (correxi αὐτὸ ut in scholio v. 1177.) A.M. καὶ ἡμῖν τοῖς δυσὶ τοῦτο φησὶν ἔσται B.I.

25. τὸ δεῖν—] Haec etiam in C.

καὶ ἡμῖν γενήσεται ὅπερ ἐκείνῃ τότε, ἡνίκα εἰσελθόντες πρὸς αὐτὴν ἱκετεύομεν· ὡς γὰρ ἐκείνη ἡμῶν ὀδυρομένων προσποιήσεται μὲν δακρύειν, χαρήσεται δὲ κατὰ ψυχὴν, οὕτω καὶ ἡμεῖς αὐτῆς ἱκετευούσης προσποιησόμεθα λυπεῖσθαι, ἔνδον χαίροντες ἐπὶ τῷ μέλλειν ἀναιρεῖν αὐτήν. B.C.M.I. Ἄλλως. καὶ ἡμῖν τότε ταῦτα παρέσται, ἅπερ ἐκείνῃ, ἤγουν τὸ ἔξωθεν δακρύειν, ἔνδοθεν δὲ χαρὰν ἔχειν τῇ ἐλπίδι τῆς διαχειρίσεως αὐτῆς. Gr. I. καὶ ἡμεῖς τὸ μὲν φαινόμενον πρὸς αὐτὴν δακρύσομεν, ὅτε πρὸς αὐτὴν ἐλεεινολογούμεθα, ἔνδον δὲ χαρὰν ἕξομεν διὰ τὸν αὐτῆς θάνατον. Gu.

1124. ἀγῶνα: τοῦ αὐτῆς θανάτου. Gu. Fl. 6. τοῦ φόνου δηλονότι. Fl. 59. ἀγωνιούμεθα: δραμούμεθα. Gu.

1125. κρυπτά: ἤγουν κεκρυμμένα. Gr.

1126. πρόσθεν δ' ὀπαδῶν: καὶ πῶς, φησὶν, ἀναιρήσομεν αὐτὴν ἔμπροσθεν τῶν δούλων; B.C.I. πρόσθεν: ἐνώπιον. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. πρὸ τοῦ θανεῖν ἐκείνην. Gu. τίς ὄλεθρος: ὥσπερ τὸ ταχύς λέγεται ἐνίοτε ἀντὶ τοῦ ταχέως, οὕτως ἐνταῦθα τὸ τίς ἀντὶ τοῦ κατὰ τίνα τρόπον, ἐπιρρηματικῶς. Gr. I. τῆς Ἑλένης. B. rec.

1127. ἐκκλήσομεν: ἀπασφαλίσομεν αὐτοὺς ἄλλον εἰς ἄλλην στέγην. I. ἐξαγαγόντες αὐτοὺς τῆς στέγης ἄλλον ἄλλοσε κλείσομεν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1128. καὶ τόν γε μὴ σιγῶντ': καὶ τὸν μὴ σιγῶντα, ἀλλ' ἐκφαίνοντα τὴν βουλὴν, ἀποκτείνειν προσῆκεν. B.I.

1129. εἶτ' αὐτὸ δηλοῖ: εἶτα αὐτὸ τὸ ἔργον καὶ τὸ πρᾶγμα δηλοῖ ὅπου χρεὼν καὶ ἀναγκαῖον τείνειν, ἤτοι ἀφορᾶν καὶ πορεύεσθαι. φανεροῖ τὸ ἔργον ὅπου ἀφορᾶν πρέπον I. δηλοῖ: δηλώσει. Gu.

1130. Ἑλένην φονεύειν: εἰς τὸ φονεύειν τὴν Ἑλένην· μανθάνω

1. ὅπερ] ἅπερ B.I. ὅπερ—ἱκετεύομεν om. C.
2. ἡμῶν] αὐτῶν A.M.
3. χαρήσεται A. χαρίσεται C.M. χαιρήσεται B.I.
ib. ψυχὴν] τὴν ψυχὴν A.
4. ἔνδον] ἔνδοθε A. ἔνδοθεν C.
ib. ἐπὶ τῷ] ἐπὶ τὸ B.I.
ib. ἀ. αὐτήν] αὐτὴν ἀ. B.I.
5. Ἄλλως om. Gr.
6. ἐκείνῃ] κείνῃ I.
ib. ἔνδοθεν] ἔκποθεν I.
ib. ἔχειν Barnes. pro ἔχει.
7. διαχειρίσεως] διαχειρήσεως I.
8. ὅτε πρὸς αὐτὴν ἐλεεινολογούμεθα etiam Fl. 6.
13. καὶ—δούλων] πῶς ἀναιροῦμεν αὐτὴν ἔμπροσθεν τῶν ὁπαδῶν (sic cum spiritu aspero) αὐτῆς:—C.
21. ἐκφαίνοντα] ἐμφαίνοντα I. In M. nihil praeter ἀλλ' ἐμφαίνοντα τὴν βουλὴν δηλονότι.
22. προσῆκεν] πρέπει I.
26. εἰς τὸ—σημεῖον post πορεύεσθαι (lin. 24.) habet I.

καὶ νοῶ τὸ σύμβολον καὶ τὸ σημεῖον, Ἑλένην ἀποκτείνειν· καταλαμβάνω τὸ συμφώνημα. I. *νῦν, φησὶν, ἔγνων πῶς δεῖ φονεύειν τὴν Ἑλένην.* B.M.I. *τὸ σύμβολον: τὸ σημεῖον, τὸν σκοπὸν, ὅπερ συμβολικῶς καὶ συνεσκιασμένως εἶπας.* Gu. Bar.

1131. *ἔγνως: ἤτοι ἐγνώρισας ὃ λέγω. ἄκουσον δὲ καὶ πῶς καλῶς βουλεύομαι. εἰ μὲν γὰρ εἰς γυναῖκα σώφρονα μεθίεμεν καὶ ἐκινοῦμεν τὸ ξίφος, ἦν ἂν ὁ φόνος δυσκλεὴς καὶ ἄδοξος· νῦν δὲ δώσει δίκην, ἡ Ἑλένη δηλονότι, ἀντὶ τοῦ τιμωρηθήσεται, ὑπὲρ πάντων τῶν ἐν τῇ Ἑλλάδι ἀνθρώπων, ὧν τοὺς πατέρας ἀπέκτεινεν, καὶ τέκνα καὶ γυναῖκας ἐστερημένας ἀνδρῶν ἐποίησεν. εὐχὴ δὲ ἔσται, πῦρ τε καὶ θυσίας ποιήσουσι τοῖς θεοῖς, σοί τε καὶ ἐμοὶ εὐχόμενοι πολλὰ καὶ ἀγαθὰ, ὥστε τυχεῖν αὐτῶν δηλονότι, ὅτι ἐποιήσαμεν φόνον κακῆς γυναικὸς, τῆς Ἑλένης δηλονότι. μητροφόντης δὲ οὐκ ὀνομάζῃ ταύτην κτανὼν, ἀλλὰ ἀπολιπὼν τοῦτο τὸ καλεῖσθαι μητροφόντης πεσῇ ἐπὶ τὸ κρεῖττον, λεγόμενος φονεὺς τῆς πολυκτόνου Ἑλένης, ἤτοι τῆς αἰτίας φόνου πολλοῖς γενομένης. οὐ πρέπει τὸν Μενέλαον μὲν εὐτυχεῖν, τὸν δὲ σὸν πατέρα καὶ ἐμὲ καὶ τὴν ἀδελφὴν θανεῖν τὴν μητέρα τε·—ἐῶ τοῦτο, οὐ γὰρ λέγειν εὐπρεπές,—ἔχειν τε τοὺς σοὺς δόμους, λαβόντα τὴν ἑαυτοῦ γυναῖκα, διὰ τὴν ἀνδρείαν τοῦ Ἀγαμέμνονος· εἴθε γὰρ μηκέτι ζῴην, εἰ μὴ κατ' ἐκείνης λήψομαι μέλαν φάσγανον, ἤτοι θανάτου ποιητικόν.* I.

βουλεύομαι: συμβουλεύομαι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1133. *μεθεῖμεν: ἐνεβάλομεν.* I. *μεθίεμεν, ἐκινοῦμεν.* Gr. *ἐνεβαλλόμεθα.* Gu. *ἐμβαλεῖν ἐπεχειροῦμεν.* Fl. 6. *μεθίημι, τὸ α' τῶν πληθυντικῶν μεθίεμεν, καὶ κατὰ μετάθεσιν τῶν γραμμάτων καὶ κρᾶσιν μεθεῖμεν.* Fl. 21. *δυσκλεής: ἄτιμος.* Gr. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76. *ἄδοξος.* Gu.

1134. *ὑπὲρ ἁπάσης Ἑλλάδος: ὑπὲρ ἁπάντων Ἑλλήνων δώσει τιμωρίαν.* I.

1135. *ὧν πατέρας: πρὸς τὸ σημαινόμενον ἀποδέδοται.* Gr. Bar. *ἀπέκτειν': αἰτία ἐγένετο φονευθῆναι αὐτούς.* Gr. Fl. 6. 9. 21. 56. 59. 76. *ὧν δ' ἀπώλεσεν τέκνα: εἰσὶ δὲ ὧν ἀπώλεσε τέκνα.* Gr. *καθολικῶς εἰπὼν τὸ "ὧν πατέρας ἀπέκτεινεν" ἐπάγει "ὧν δ' ἀπώλεσε*

3. *ὑπερ*] *ὃν* Bar.
4. *καὶ συνεσκιασμένως* om. Bar.
ib. *εἶπας*] *μὲν λέγεις* Bar.
31. *ἀποδέδοται*] *ἀποδίδοται* Bar.

τέκνα," ὥσπερ ἐπανορθῶν τὸν λόγον, ἀντὶ τοῦ εἰσὶ ὧν καὶ τέκνα ἀπώλεσεν. Bar. Gr.

1136. νύμφας: καὶ τὰς νέας ἐποίησε συνευνετῶν ἐστερημένας. I. ἀντὶ τοῦ γυναῖκας ἐποίησεν ἐστερημένας. Gr. ἐστερημένας τῶν συνευνετῶν. B.

1137. ὀλολυγμὸς ἔσται: ἀντὶ τοῦ χαρὰ γενήσεται καὶ εὐχή. Ὅμηρος "αἱ δ' ὀλολυγῇ πᾶσαι." B.M.I. πῦρ τ' ἀνάψουσιν: ἀντὶ τοῦ καὶ θυσίας τοῖς θεοῖς ποιήσουσι. B.M. Gr. I. ὀλολυγμός: εὐχή. Gr. ὕμνος μετὰ θρήνου. Gu. θρηνήσουσι μὲν γὰρ εἰς μνήμην τῶν οἰκείων ἰόντες, ὑμνήσουσι δὲ τοῖς θεοῖς, ἰδόντες Ἑλένην ἀπολωλυῖαν. τὸ δὲ "ἀνάψουσι πῦρ" ἀντὶ τοῦ θυσιάσουσι· διὰ πυρὸς γὰρ τὰ θύματα γίνεται. Bar. Gu.

1138. κέδν': κεδνὰ κυρίως τὰ συνετά· νῦν δὲ τὰ ἀγαθά. B.M. Gu. I. ἀρώμενοι δὲ ἀντὶ τοῦ εὐχόμενοι. B.M. εὐχόμενοι ἡμᾶς τυχεῖν πολλῶν ἀγαθῶν, διότι ἐποιήσαμεν φόνον κακῆς γυναικός. I.

1139. κακῆς: κακοτρόπου. Gr. οὕνεχ': ὅτι. Gu. αἷμ' ἐπράξαμεν: ἐξεχέαμεν, εἰργασάμεθα. Gu. αἷμ': φόνον. Gr. ἐπράξαμεν: διε (i. e. διεπράξαμεν), ἐτελειώσαμεν. Gr. οἷον διετελειώσαμεν. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1140. ὁ μητροφόντης: τὸ τοῦ μητροφόντου ὄνομα φυγὼν εἰς τὸ βέλτιον ὄνομα ἔρχῃ, Ἑλένης φονεὺς λεγόμενος τῆς πολυκτόνου. A. B.M.I. ἀλλ' ἑλενοφόντης. Gu. καλῇ: ὀνομάζῃ. Gr.

1141. ἀλλ' ἀπολιπών: ἀλλ' ἀπολιπὼν τοῦτο τὸ καλεῖσθαι μητροκτόνος. C. πεσῇ: Δωρικόν. Gu Fl. 6.

1142. τῆς πολυκτόνου: τῆς αἰτίας φόνου πολλοῦ γενομένης. Gr.

1143. ποτ': ἄρα. Gu. Fl. 6.

1145. μητέρα τ' ἐῶ: ἐῶ τοῦτο. B. τὴν μητέρα ἀφίημι. A. οὐ γὰρ ἀκόλουθον ὑπομιμνήσκειν σε τοῦ φόνου τῆς μητρός. A.B.M.I.

1. εἰσὶ] εἰσὶ δὲ Bar.
6. χαρὰ γενήσεται καὶ om. B.M.
7. Ὅμηρος] Il. 6, 301.
ib. ἀντὶ τοῦ καὶ (καὶ om. B.) θυσίας (θυσίαν M.)—τοῖς θεοῖς] ἀντὶ τοῦ καὶ θεοῖς θυσίαν I. ἀντὶ τοῦ καὶ et τοῖς θ. om. Gr.
9. θρηνήσουσι] θρηνοῦσι Bar. In eodem, ut in Gu., continuari haec suspicor: τὸ δὲ ἀν. π. quamvis King. novi scholii initium fecerit πῦρ τ' ἀνάψ. ἀντὶ τοῦ θ. εὐχή, ὕμνος μετὰ θρήνου est etiam in Fl. 6. MATTH.
13. κυρίως τὰ om. I.
14. δὲ om. B.
21. ἔρχῃ, ἵνα ἀντὶ μητροφόντου ἑλένης φονεὺς ἔσῃ Fl. 10.
ib. λεγόμενος] γενόμενος A.
ib. τῆς πολυκτόνου om. A.M.

"μητέρα τε" εἰπὼν μεταμελόμενος καὶ ἐπιδιορθῶν ἑαυτὸν ἐπάγει, ἐῶ τοῦτο· οὐ γὰρ εὐπρεπὲς ἤγουν εὐπρόσωπον λέγειν, τουτέστιν ὥστε λέγειν αὐτὸ ἐμέ. (ἤγουν οὐ δεῖ ἀναμιμνήσκεσθαι ἐμὲ περὶ ταύτης add. Florr.) Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐῶ: παραλείπω. Fl. 6. ἐνδίκως γὰρ ἀπόλωλε. Gu. Fl. 6.

1146. δι' Ἀγαμέμνονος δόρυ: διὰ τὴν συμμαχίαν τοῦ Ἀγαμέμνονος ἀπολαβόντα τὴν Ἑλένην, οὐ δεῖ αὐτὸν πρὸς τούτοις ἔχειν τοὺς σοὺς δόμους. A.B.M.I.

1147. μὴ γὰρ οὖν ζῴην ἔτι: εἴθε μηκέτι ζῴην, εἰ μὴ ἑλκύσω κατ' ἐκείνης τὸ ξίφος. I. σπάσω: λάβω. Gu. σπάσομαι, ἤγουν λήψομαι, ἑλκύσω. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. μέλαν: θανάτου πρόξενον. Gu.

1149. ἢν δ' οὖν: ἢν δὲ μὴ ἐγκρατεῖς γενώμεθα τοῦ φόνου τῆς Ἑλένης, καύσαντες τοὺς δόμους τούσδε ἀποθανούμεθα· ἑνὸς γὰρ τοῖν δυοῖν οὐκ ἀποτυχόντες λάβοιμεν δόξαν. I.

1151. ἑνὸς γὰρ οὐ: ἀντὶ τοῦ θατέρου, ἢ φονεύσαντες αὐτὴν, ἢ καύσαντες τὸν οἶκον, δόξαν ἕξομεν. A.B.M.I.

1152. τὸ "καλῶς θανόντες" καὶ τὸ "ἢ καλῶς σεσωσμένοι" ἑρμηνεία ἐστὶ τοῦ ἑνός· ἢ τὸ ἑνός νόει ἀντὶ τοῦ ἢ τοῦ φονεῦσαι τὴν Ἑλένην, ἢ τοῦ πρῆσαι τοὺς οἴκους. Bar. Gu. Fl. 6.

1153. πάσαις γυναιξί: ἀξία στυγεῖσθαι ὑπὸ πασῶν γυναικῶν ἡ τοῦ Τυνδάρεω παῖς, ἥτις κατῄσχυνε τὸ γένος ἑαυτῆς, ἤτοι τοὺς συγγενεῖς, ἢ τὸ ἑαυτῆς γένος, τουτέστι τὰς γυναῖκας. I. ἢ τὸ τῶν συγγενῶν, ἢ τὸ ἑαυτῆς. B.M.

1155. φεῦ: θαυμαστικόν. Gr. I. οὐκ ἔστιν οὐδὲν κάλλιον ἀληθοῦς φίλου, οὐ πλοῦτος, οὐ βασιλεία. I. φίλος σαφής: γρ. ἀληθής. M. ἀντὶ τοῦ ἀληθής. B. ἀληθής. Gr. πιστός. Gu.

1156. ἀλόγιστον δέ τι: ἀσύνετον δέ ἐστι τὸ ἀνταλλάσσειν τὸ

7. οὐ δεῖ—ἔχειν τοὺς] οὐ δεῖ οὖν—τοὺς σοὺς ἔχειν A.
13. ἤγουν ἢν δὲ—Ἑλένης in Gr.
16. ἀντὶ τοῦ θατέρου (θάτερον M.)] ἄλλως. θατέρου εὐστοχήσαντες I.
17. δόξαν ἕξομεν om. A.
26. γρ. ἀληθής] Glossema pro scriptura diversa habuit.
28. ἀνταλλάσσειν (καὶ προκρίνειν addit C.)] ἀνταλλάττειν I. In A. est ἀσύνετόν ἐστι τὸ ἀντικαταλλάσσειν γενναίου φίλου ἑνὸς εὐγενοῦς πλῆθος μὴ ἀγενές (sic). ἄλλως. ἀσύνετον δέ ἐστι τὸ ἀνταλλάσσειν πλῆθος ἀντὶ εὐγενοῦς φίλου καὶ προκρίνειν. Tum ab m. recentiore, ἄλλως. ἕνα φησὶν ἕνα ἄνδρα συνετὸν προκρίνειέν τις ἀλογίστου πλείθους (sic) καὶ πολλῶν.

πλῆθος ἀντὶ τοῦ εὐγενοῦς φίλου. A.B.C.I. Ἄλλως. ἕνα, φησὶν, ἄνδρα συνετὸν προκρίνειεν ἄν τις ἀλογίστου πλήθους τῶν πολλῶν. B.M.I. Ἄλλως. ἀλόγιστον δέ τι ἀντὶ τοῦ ἀσύνετον δέ τι καὶ μωρόν ἐστι τὸ ἀνταλλάσσειν τὸ πλῆθος ἀντὶ τοῦ εὐγενοῦς φίλου καὶ προκρίνειν. M. Gr. I. ἤγουν τὸ προτιμᾶν τὸ πλῆθος ἀντὶ τοῦ γενναίου φίλου· οὐ γὰρ τὸ πλῆθος θέλει δηλοῦν ἀλόγιστον, ἀλλ' ὅτι ἀντάλλαγμα γινόμενον τὸ πλῆθος γενναίου φίλου, τουτέστιν ἀντὶ τοῦ γενναίου φίλου λαμβανόμενον, ὡς πλείονός τινος ἄξιον, ἀλογίστως λαμβάνεται. καὶ ἔστιν ὅμοιον τῷ ταχὺς παρεγένου ἀντὶ τοῦ ταχέως, καὶ τοῖς ὁμοίοις. Gr. I. ἀσύνετον καὶ μωρὸν, μάταιον, οὐδενὸς λόγου ἄξιον, ἀπὸ τοῦ ἀλογίζω. ἀλόγιστον γὰρ τὸ ἄλογον καὶ μωρόν· ἀλόγητον δὲ τὸ καταφρονητὸν, ἀπὸ τοῦ ἀλογῶ ἀλογήσω. Gu.

1158. τά τ' εἰς Αἴγισθον: τὰ γινόμενα δηλονότι. Gu. ἐξεῦρες: ἐμηχανήσω. Gr. I. ἐνόησας. Gu.

1159. καὶ πλησίον: καὶ ἐπὶ τῶν κινδύνων παρυπῆρχες πλησίον ἐμοῦ. I. ἐπὶ τῶν κινδύνων παρῆσθα ἐμοὶ πλησίον. Gr.

1160. νῦν δ' αὖ δίδως: οἷον συμβουλεύεις ἐμοί. B.M. καὶ ἀρτίως συμβουλεύεις μοι ἐκδίκησιν τῶν πολεμίων. I. ὑποβάλλεις πῶς δεῖ τοὺς ἐχθροὺς τιμωρήσασθαι. Gu. Fl. 6. τιμωρίαν: ἀντὶ τοῦ ὁδὸν τιμωρίας. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. κόλασιν. Gu.

1161. ἐκποδών: μακράν. Gr. εἶ: ὑπάρχεις. Gu. κοὐκ ἐκποδὼν εἶ: καὶ οὐ μακρὰν ὑπάρχεις. I. μακρὰν ἠλλοτρίωσαι. Fl. 6.

1161.—1171. παύσομαί σ' αἰνῶν: ἐπαινῶν σε παύσομαι, ἐπειδὴ βάρος ἐστὶ κἀν τῷδε, ἤτοι ἐν τῷ λίαν ἐπαινεῖσθαι. ἐγὼ δὲ ὁμολογουμένως ἀποθνήσκων, δράσας τι τοὺς ἐμοὺς ἐχθροὺς χρήζω θανεῖν, ὅπως ἀντανέλωμεν καὶ ἀφανίσωμεν οἵτινες προὔδωκαν ἐμὲ, καὶ ὅπως θρηνῶσιν οἵτινες καὶ ἐμὲ ἐποίησαν ἄθλιον. Ἀγαμέμνονος παῖς ὑπάρχω, ὅστις ἀρχηγὸς ἐγένετο τῶν Ἑλλήνων ἄξιος κριθεὶς, οὐ

1. τὸ πλῆθος] πλήθους C.
ib. ἀντὶ] αὐτὸ I.
ib. Ἄλλως addidi ex B.
3. Ἄλλως. ἀσύνετον δὲ M. et omisso δὲ B. ἀλόγιστον δέ τι ἀντὶ τοῦ ἀσύνετον Gr.
ib. τι καὶ μωρὸν om. M.
4. ἀνταλλάσσειν — προκρίνειν] Sic M. ἀνταλλάττεσθαι (ἀλλάττεσθαι Gr.) ἀντὶ τοῦ γενναίου φίλου πλῆθος Gr. I.
5. ἀντὶ om. Gr.
6. θέλει—ἀλόγιστον] θέλων—ἀλογίστως I.
10. καὶ τοῖς ὁμοίοις om. I.
19. συμβουλεύεις] συμβουλεύῃ B.

τυραννικῶς, ἀλλ᾽ ὅμως ἰσχὺν καὶ ἐπικουρίαν ἔλαβεν ὑπὸ θεοῦ· ὃν πατέρα οὐ καταισχυνῶ, δι᾽ ὧν ἂν ἀνδρείως ἀποθανοῦμαι. I.

1162. βάρος: τοῖς γὰρ τοιούτοις φίλοις βάρος, ὥς φησιν ὁ ποιητὴς, καὶ τὸ ἐπαινεῖσθαι. Fl. 6. αἰνεῖσθαι ἀντὶ τοῦ ἐπαινεῖσθαι. M. ἐν τῷ λίαν ἐπαινεῖσθαι. B.

1163. πάντως: ἐκ παντός. Gr. ἀληθῶς. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐκπνέων ψυχήν: ἤγουν ἀποθνήσκων. Gr. ἤγουν πρὸς θάνατον ἐρχόμενος, ἀποπνέων. Gu.

ἐγὼ δὲ ἀποθνήσκων οὕτω βούλομαι ἀποθανεῖν ποιήσας τι κακὸν τοῖς ἐχθροῖς μου καὶ ἀμυνάμενος αὐτοῖς. A. τὸ ἑξῆς, δράσας τι τοὺς ἐμοὺς ἐχθροὺς χρῄζω θανεῖν. B.

1165. ἀνταναλώσωμεν: ἀντανέλωμεν. M. ἵνα φονεύσωμεν ἡμεῖς τοὺς ἀντιμάχους, οὐχὶ ἐκεῖνοι ἡμᾶς. C. ἀφανίσωμεν, φθείρωμεν. Gu. προὔδοσαν: καὶ εἰς θάνατον παρέδωκαν. κατέλιπον. Gu.

1168. οὐ τύραννος: οὐ βίᾳ. B.M. ἀξιωθείς: ἄξιος νομισθείς. M. ἀντὶ τοῦ ἄξιος κριθείς. B. ἀλλ᾽ ὅμως: περισσὸν τὸ ὅμως. Gr. τὸ ὅμως εἶπεν, ἐπειδὴ ὁ μὲν ἀπὸ κοινῆς γνώμης γεγονὼς βασιλεὺς οὐχ ἃ βούλεται προστάττει, ἀλλ᾽ ἃ οἱ ποιήσαντες θέλουσιν, ὁ δὲ τύραννος ἃ γνοίη, καὶ τοῖς ἄλλοις ἀνάγκη ποιεῖν. Ἀγαμέμνονι οὖν, ὥσπερ θεῷ, πάντες ἐπείθοντο, εἰ καὶ παρὰ πάντων ἄρχων ἐκρίθη. Gu. Bar.

1169. ῥώμην: ἐπικουρίαν καὶ ἰσχύν. οὐ καταισχυνῶ αὐτὸν δι᾽ ὧν ἂν ἀνδρείως ἀποθανοῦμαι. A.B.M. ἀτιμάσω. Gu. Fl. 6.

1170. δοῦλον: δουλικόν. B. rec. Gr. παρασχών: δοὺς, ὑπομείνας. Fl. 33.

1171. τίσομαι: τιμωρήσομαι. Gr. τιμωρήσω. B. rec. τὸ μηδὲν γενναῖον δράσαντα. M.

1172. ἑνὸς γάρ: τοῦ φονεύειν καὶ μὴ φονεύεσθαι. M. τοῦ μὴ φονευθῆναι. I. γάρ: ἢ τοῦ φονεῦσαι τὴν Ἑλένην, ἢ τοῦ πρῆσαι τοὺς οἴκους. Gu. ἤγουν εἰ ἐγκρατεῖς γενοίμεθα ἑνὸς, ἢ τοῦ φονεῦσαι, ἢ θανεῖν ἐλευθέρως, ἢ πρῆσαι τοὺς οἴκους. Fl. 6.

1173. ἄελπτος: ἀντὶ τοῦ ἀνελπίστως. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. παραπέσοι: ἐπέλθοι. Gr. ἡμῖν. Gu. Fl. iidem.

2. ἂν ἀνδρείως] Imo ἀνάνδρως. Fl. 10. ad καταισχυνῶ v. 1169. adscriptum habet: ἀνάνδρως ἀποθανούμενος μηδὲν γενναῖον δράσας τοῦ φονεύειν καὶ μὴ φονεύεσθαι. MATTH. Vid. scholion ad v. 1169.

1174. κτανοῦσι: τὴν Ἑλένην. Gr. κτανοῦσι, μὴ θανοῦσι: ἀσύνδετον. Gu. τοῦτο κατ' ἰδίαν λέγει. λείπει δὲ τὸ γενέσθαι, κτανοῦσιν ἡμῖν ἑτέρους, οὐχ ὑφ' ἑτέρων ἀναιρεθεῖσι· τουτέστιν εὐτυχήσομεν, εἰ κἂν ἕνα τῶν ἐχθρῶν ἀνέλωμεν, καὶ μὴ παρ' ἐκείνων ἡμεῖς ἀναιρεθείημεν. B.M.I. εὔχομαι τάδε: ἡμῖν γενέσθαι δηλονότι. B.I.

1175. ὃ βούλομαι γάρ: ὃ γὰρ νομίζω τερπνὸν, τοῦτο καὶ μόνον ὀνομάζων ἀδαπάνως εὐφραίνομαι. Ἄλλως. ἐξ ὧν οὐδὲν βλαπτόμεθα, οὐδὲν κωλύει εὐφραίνειν ἑαυτοὺς λόγῳ. τὸ ἡδὺ, φησὶ, καὶ εὐκτὸν ἡμῖν πρᾶγμα, τὸ τινὰ τούτων λαβεῖν ὑποχείριον, οὐ βούλομαι διὰ στόματος μόνον προφέρειν, τουτέστι μέχρι λόγων ματαίων στῆναι, καὶ ἀζημίως τέρψαι τὴν ἐμαυτοῦ ψυχὴν, τουτέστι μὴ μετὰ τοῦ ζημιῶσαί τινα τῶν ἐχθρῶν καὶ τιμωρήσασθαι. A.B.M.I. ὅπερ γὰρ βούλομαι καὶ θέλω, ἡδὺ καὶ εὔφραντον καὶ γλυκύ ἐστιν, ὥστε τέρψαι τὴν σὴν φρένα ἀδαπάνως, καὶ πλουσίως καὶ ἀφθόνως διὰ τοῦ στόματος τοῖς πτηνοῖς καὶ ταχέσι μύθοις καὶ λόγοις. Fl. 59.

1176. πτηνοῖσι μύθοις: πτηνοὺς ἐνταῦθα λέγει τοὺς λόγους διὰ τὸ δίκην πτηνῶν ἀπέρχεσθαι τῇ προφορᾷ. Cant. εὐτυχεστάτοις (ἐν ταχυτάτοις) λόγοις. Fl. 21. ταχυτάτοις. Gu. ἀδαπάνως: πλουσίως, ἀφθόνως. Cant. Gu. εἰ γάρ τις ὃ κατὰ νοῦν ἔχει διὰ γλώττης προφέρει, ὥσπερ ἡδονήν τινα δέχεται. ἀδαπάνως δὲ εἶπεν, ἐπειδὴ χωρὶς δαπάνης ἔσται ἡ τέρψις. Cant. Gu.

1177. ἐγὼ, κασίγνητη: τοῦτο αὐτὸ, φησὶ, τὸ τινὰ λαβεῖν, ὑποχείριον τούτων, σωτηρίαν ἡμῖν τοῖς τρισὶ φέρειν νομίζω, ἤτοι καὶ τὸ ἀναιρεθείσης τῆς Ἑλένης ἐνεδρεῦσαι καὶ τὴν Ἑρμιόνην. ταῦτα δὲ ἑξῆς ἐπάγει. A.B.M.I.

ἐγὼ, κασίγνητ': ἐγὼ, ὦ κασίγνητε καὶ ὦ ἀδελφὲ, δοκῶ καὶ λογίζομαι καὶ σοὶ καὶ τῷδε καὶ τούτῳ τῷ Πυλάδῃ, καὶ ἐκ τρίτου ἐμοὶ ἔχειν καὶ εἶναι αὐτὸ τοῦτο, ὅπερ εἴρηκας, σωτηρίαν καὶ ἀσφάλειαν. ἢ οὕτως. δοκῶ καὶ λογίζομαι παρέχειν καὶ διδόναι ἡμῖν αὐτὸ τοῦτο, ὅπερ λέγεις, καὶ σοὶ καὶ τῷδε τῷ Πυλάδῃ καὶ ἐμοὶ ἐκ τρίτου σωτή-

4. εἰ om. M.
5. δηλονότι om. B.
8. φησὶ] τοῦτο addit A.
10. προφέρειν] προσφέρειν M.
11. μετὰ τοῦ] μετὰ τὸ A.
20. προφέρει] φέρει Cant.
22. τὸ τινὰ λαβεῖν—νομίζω] Haec verba etiam in C.
23. τρισὶ] τρεῖς (sic) A.
ib. ἤτοι καὶ τὸ] ὁρῶ δέ τι τὸ A.M. Post Ἑλένης A. pergit φησὶ ἡ ἑλένη ἐνεδρεῦσαι καὶ ἡ ἑρμιόνη. ταῦτα δὲ ἑξῆς:—
24. καὶ om. M.

ρίαν καὶ ἀσφάλειαν. Fl. 59. τὸ αὐτὸ τοῦτο εἰ μὲν ἐκ παραλλήλου ἐρεῖς, διὰ τὸν ὅνπερ ἡ Ἠλέκτρα εἰπεῖν μέλλει λόγον νοήσεις. ἄλλοι δέ φασι τὸ αὐτό διὰ τὸν λόγον, ὃν Ὀρέστης καὶ Πυλάδης ἐβουλεύσαντο,—λέγω δὴ Ἑλένην κτενεῖν, ἢ πρήσειν τοὺς οἴκους,—τὸ δὲ τοῦτο διὰ τὸ ὃ εἰπεῖν μέλλει ἡ Ἠλέκτρα ἐκλαμβάνουσιν ἀσυνδέτως. Bar. Gu.

1179. ἀλλὰ ποῦ τόδε: εἰπὲ, φησὶ, πόθεν σχήσομεν τὴν σωτηρίαν· οἶδα γάρ σε συνετὴν τυγχάνουσαν ἀπ' ἀρχῆς. ἀλλὰ λέγε, φησὶν, ἣν ἔχεις ἡμῖν σωτηρίαν, πῶς πράξεις. A.B.M.I. πρόνοιαν: τὸ σωθῆναι ἡμᾶς. Gu. προμήθειαν. Gu. Fl. 6. ἀλλὰ ποῦ τόδε: ἤγουν λέγε (om. Fl.) ἐν ποίᾳ μηχανῇ ἔσται αὕτη (om. Fl.) ἡ σωτηρία, ἣν λέγεις (om. Fl.). Gu. Fl. 6.

1180. τὸ συνετόν: εἰπὲ δηλονότι τὴν φρόνησιν. Gr. Fl. .69. 17. 21. 56. 59. 76. τὸ φρόνιμον (om. Fl.) καὶ συμβουλευτικὸν (βουλ. Gu.) καὶ ἐν ἀπόροις εὐμήχανον (μηχανικόν Fl.) Gu. Fl. 6.

1181. ἄκουε: Ὀρέστα. Gu. καὶ σύ: ὦ Πυλάδη. Gr. δεῦρο: ὧδε. τὸν νοῦν ἔχε: τεταμμένον. Gr.

1182. λέγ' ὡς τὸ μέλλειν: τὰ ἀγαθὰ καὶ ἐν τῷ προσδοκᾶσθαι μόνον ἔχει τινὰ τέρψιν. B.M.I. ἤγουν τὸ προσδοκᾶν. (ἐλπίζειν add. Gu.) Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἡδονήν: εὐφροσύνην. Fl. 6.

1183. εἰδότ' ἠρόμην: σὲ τὸν γινώσκοντα ἠρώτησα. I.

1184. οἶδ' ἦν: οἶδα τὴν Ἑρμιόνην, ἣν ἀνέθρεψεν ἡ μήτηρ ἡ ἐμή. Gr.

1185. βέβηκε: ἀπῆλθεν. Gr.

1186. τί χρῆμα δράσουσ': τί πρᾶγμα μέλλουσα ποιήσειν. ἀπῆλθε. Gr. ὑποτίθης: ὑποβάλλεις. I. ὑπόνοιαν ἐλπίδος τινὸς εἰσάγεις. Gr. τὸ ὑποθείς ἀντὶ τοῦ ὑποθεῖσα καὶ βαλοῦσα. ἀρσενικὸν ἀντὶ τοῦθηλυκοῦ. C.

1187. χοάς: χοαὶ λέγονται ἐπὶ τῶν νεκρῶν. I. κατασπείσουσα: θύσουσα βέβηκε. Gu. τὸ "χοὰς κατασπείσουσα" οὐ πρὸς τὸ "τίνα ἐλπίδα ὑποβάλλεις" ἀπεκρίθη, ἀλλὰ πρὸς τὸ τί δράσουσα. Gu. ὑπὲρ μητρὸς τάφου: ἐπάνω τοῦ τάφου τῆς μητρὸς, ἡμῶν δηλονότι. Gr.

2. εἰπεῖν μέλλει λόγον] μέλλει λόγον λέγειν Bar.
4. δὴ] δὲ Bar.
5. διὰ τὸ om. Bar.
ib. εἰπεῖν] λέγειν Bar.
ib. ἀσυνδέτως] ἀσύνδετον Bar.
7. φησὶ om. A.
18. τὰ ἀγαθὰ] τὸ ἀγαθὸν A.

μητρός: τῆς Κλυταιμνήστρας, ἤγουν ἀπῆλθεν εἰς τὸν τάφον τῆς Κλυταιμνήστρας, ὅπως αὐτῇ σπείσῃ εὐμένειαν πρὸς Ἑλένην καὶ Μενέλαον ἔχειν. Gu. ἢ γράφεται ὑπὲρ μητρὸς τάφον, τουτέστιν ὑπὲρ μητρὸς αὐτῆς τῆς Ἑλένης τάφῳ τῆς Κλυταιμνήστρας. Fl. 6.

1188. καὶ δὴ τί μοι: τίνος χάριν τοῦτο εἴρηκας; οἷον ἐς τί τοῦτο εἶπας; B.M.I. ὅμοιον τῷ "ὑποτίθης τίν' ἐλπίδα." τίνα γὰρ, φησὶν, ἐλπίδα ἐκ τούτου μοι ὑποβάλλεις, ἐκ τοῦ λέγειν ὅτι ἐπορεύθη ἡ Ἑρμιόνη πρὸς τὸν τῆς Κλυταιμνήστρας τάφον. B.I. καὶ δὴ κατὰ τί μοι τοῦτο εἶπας εἰς σωτηρίαν; Gr.

1189. συλλάβεθ' ὅμηρον: ἐνέχυρον τῆς σωτηρίας ἡμῖν. I. στείχῃ πάλιν: εἰς (om. Gr.) τοὐπίσω, ἤγουν (ἤγουν ante τοὐπίσω. Gr.) ὅταν (om. Fl.) ἐπαναστρέψῃ. Gr. Fl. 6. 9. 17. 21. 34. 56. 59. 76.

1190. τίνος: ἕνεκα. Gu. φάρμακον: θεραπείαν. Gu. εἰς βοήθειαν. Gr. τρισσοῖς φίλοις: τριῶν φίλων. Gr. τὸ τρισσοῖς φίλοις οὐ πρὸς τὸ εἶπας συντακτέον· δύο γάρ εἰσι πρὸς οὓς τοῦτο ἔλεγεν, Ὀρέστης τε καὶ Πυλάδης· ἀλλὰ πρὸς τὸ φάρμακον, ἵν' ᾖ οὕτως· τίνος φάρμακον τοῖς τρισσοῖς φίλοις, ἐμοί τε καὶ σοὶ καὶ Πυλάδῃ τῷδε, τὸ τὴν Ἑρμιόνην συλλαβεῖν εἴρηκας; Bar. Gu.

1191. δρᾷ: ἀπειλῇ δρᾶν. Gr. Fl. 6. 17. 56. 59. 76.

1192. πᾶν γὰρ ἓν φίλον τόδε: ὡς εἰ ἔλεγεν, ἓν σῶμα καὶ μία ψυχὴ ἐσμέν. πᾶν γὰρ τὸ καθ' ἡμᾶς ἕν, φησὶ, καὶ ταυτόν ἐστιν. Ἄλλως. τοῦτό φησιν, ὡς εἴ τινα ἐξ ἡμῶν κακώσει, ἐν τοῖς τρισὶν ἡ βλάβη περιίσταται. κοινὰ γὰρ τὰ τῶν φίλων. ἕν, φησὶ, καὶ ταυτόν ἐστι πᾶν τὸ καθ' ἡμᾶς, καὶ ὡς εἰπεῖν, ἓν σῶμα καὶ μία ψυχή. B.I. πάντες ἡμεῖς (τοῦτο γὰρ δηλοῦται διὰ τοῦ τόδε) ἓν φίλτρον ἐσμὲν, ἤγουν ὡς εἷς καταλεγόμεθα. Fl. 6. τόδε: τὸ ἀποθανεῖν τὴν Ἑλένην. Gu.

1194. σπάσαντ' ἔχειν: ἀπογυμνώσαντα ἔχειν πρὸς αὐτῇ τῇ δέρῃ τῆς παρθένου. I. ἑλκύσαντα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. λαβόντα (ἐπιφέρειν add. Fl.) Gu. Fl. 33.

1195. σώζῃ: ὑπισχνῆται σώζειν. Gr. Fl. 6. 9. 17. 21. 56. 59.

5. οἷον ἐς om. B.I.
6. ὑποτίθης] ὑποτιθεῖς B.
15. εἰσι] ἦσαν Bar.
21. καθ' ἡμᾶς ἓν — καὶ μία ψυχή] καθ' ἡμᾶς. ἄλλως. ἓν γὰρ φησὶ καὶ ταυτόν ἐστι πᾶν τὸ καθ' ἡμᾶς καὶ ὡς εἰπεῖν ἓν σῶμα καὶ μία ψυχή M. In C. πᾶν τὸ καθ' ἡμᾶς ἓν σῶμα καὶ μία ψυχή:—

76. *χρῄζων*: *θέλων*. Gr. Florr. iidem. *κόρην*: *τὴν θυγατέρα*. Gr. Florr. iidem.

1196. Ἑλένης πτῶμα: *ἀντὶ τοῦ τὸ σῶμα*. I. *σῶμα*. Gu.

1197. *πεπᾶσθαι*: *κεκτῆσθαι*. M. *ἀντὶ τοῦ ἀπολαύειν, τουτέστι συγχώρει τῷ πατρὶ τὴν Ἑρμιόνην πρὸς ἀπόλαυσιν καὶ ὄνησιν κτήσασθαι, ἔνθεν καὶ τὸ πολυπάμονος. ἠτυμολόγησε δὲ τὸ πατήρ παρὰ τὸ πεπᾶσθαι. καὶ ἀλλαχου "πολλῶν καλεῖσθαι βούλομαι πατὴρ δόμων," ἀντὶ τοῦ δεσπότης*. A.B.M.I. *ἤγουν ἄφες τῷ πατρὶ κεκτῆσθαι τῆς παρθένου τὸ δέμας, ἀντὶ τοῦ τὴν παρθένον περιφραστικῶς*. Cant. Gu.

1198. *ἣν δ' ὀξυθύμου*: *ἐὰν δὲ ἐν τῇ ὀργῇ πολὺς ἔλθῃ καὶ παρίδῃ σε ἀπολλύμενον—τοῦτο γὰρ σημαίνει τὸ κτείνῃ σε—τότε καὶ σὺ τὴν παρθένον ἀπόκτεινον*. I. *τοῦ ὀξυθύμου φρονηματος, ἤγουν τοῦ φρονήματος*. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ἤγουν τοῦ θυμοῦ*. Gu.

1199. *κτείνῃ*: *ἀπειλῇ κτείνειν*. (*ἤγουν τὸν σὸν θάνατον σπεύδῃ* add. Gu.) Gr. Florr. iidem. *σφάζε*: *ἐπιχείρει σφάζειν*. Gr. Florr. iidem.

1200. *πολὺς παρῇ*: *σφοδρὸς ἔλθῃ*. Gr. Florr. iidem. *τῇ ὀργῇ*. Gu.

1201. *χρόνῳ μαλάξειν*: *τῇ παρατάσει τοῦ χρόνου μαλαχθήσεσθαι τὴν καρδίαν*. Gr. Florr. iidem. *καταπραῧναι*. Gu. *σπλάγχνον*: *ἡ πρὸς τὴν θυγατέρα φυσικὴ προσπάθεια*. Gu.

1203. *τήνδ'—ἔπαλξιν*: *ἤγουν τὸ μὴ εἶναι οὔτε θρασὺς οὔτε ἄλκιμος*. C. *ἔπαλξιν*: *ἀντὶ τοῦ ἀσφάλειαν*. M. *ἀντὶ τοῦ βοήθειαν*. Gr. I. *ὀχύρωμα, ἀσφάλειαν*. Gu. *εἴρηται λόγος*: *ὑπόθεσις πεπλήρωται τοῦ λόγου μου*. B. rec. *πεπλήρωται*. I. *ὃν εἰπεῖν ἐβουλόμην*. Gu. Fl. 6.

6. *ἔνθεν*] *ἔνθα* A. *ὅθεν* B.I.

ib. *πολυπάμονος*] *πολυπάμμονος* A. B.M.I. Sumtum ex Hom. Il. 4, 433.

ib. *ἠτυμολόγησε* (*ἐτυμολόγηται* A.) *δὲ* (*δὲ* om. A.M.) *τὸ πατήρ*] *ἐτυμολογεῖται δὲ πατὴρ* I. Proximum *παρὰ τὸ* om. M.

7. *ἀλλαχοῦ*] Est versus Euripidis ex Rhadamantho allatus ab Stobaeo Ecl. 2, 7, 12, p. 342. et Floril. 64, 24. ubi pariter scriptum *πατήρ*. Euripides *πάτωρ* scripserat, de quo dixi in Praefat. ad Sophoclis ed. tert. vol. 8. p. iii.

8. *δόμων*] *δούλων* A.

11. *καὶ*] *ἀντὶ τοῦ* M. qui prima tantum verba habet usque ad *ἀπολλύμενον*.

1204. ὦ τὰς φρένας: ἁρμόζουσα μὲν ἀνδράσι διὰ τὰς φρένας, γυναικὶ δὲ ὁμοία τὸ σῶμα, ἀντὶ τοῦ εὐπρεπὴς οὖσα καὶ γυναικὸς φύσιν ἔχουσα, ὃ καὶ βέλτιον. A.B.M.I. ὦ τὰς φρένας: ὦ ἀνδρεία κατὰ τὴν καρδίαν, καὶ ὡραία κατὰ τὸ εἶδος. Cant. ἄρσενας: ἀντὶ τοῦ ἀρρενικάς. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1205. πρέπον: ἁρμοζόμενον, γυναιξί. τὰς μὲν γὰρ ἀρετὰς καὶ ὁ Πλάτων κοινὰς εἶναί φησι, πλεονεκτεῖν δὲ ἴσως τοὺς ἄρρενας. B. M.I. ἤτοι σῶφρον. B. rec. διαπρέπον. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. διαλάμπον. Gu. Fl. 6.

1206. ὡς: λίαν, ὄντως. Gu. ἔφυς: ὑπῆρξας, (Fl. 17. add. ἐγεννήθης.) ὑπάρχεις. (Fl. 6.) Gu.

1207. ἁμαρτήσῃ: ἀποτεύξῃ. Gr. Fl. 6. 17. 56. 59. 76. ἀποτύχῃς. Gu. Fl. 21. ἀστοχήσῃ. Fl. 6.

1208. ἣ ζῶν: ἥτινι συζῶν (τὸ γὰρ ζῶν ἀντὶ τοῦ συζῶν καὶ συνοικῶν) μακάριός ἐστιν. B.M.I. μακάριον λέχος: βίον μετα γυναικὸς, δι' ὃν ἔσῃ μακαριζόμενος. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1209. εἰ γὰρ γένοιτο: ἀντὶ τοῦ εἴθε τοῦτο γένοιτο. B. εἴθε γὰρ γένοιτο συζῆν αὐτῇ. Gu. Fl. 6.

1210. ὑμεναίοισιν ἀξιουμένη: ἐπιθαλαμίοις ᾄσμασιν τιμωμένη. Cant. Gr. τὸ δὲ ἀξιουμένη οἷον κοσμουμένη, τιμωμένη. ἀνοίκεια δὲ ταῦτα τοῦ προκειμένου ἀγῶνος. B.M.I.

1211. τίνος χρόνου: ἐν ποίῳ χρόνῳ. I. διὰ πόσου χρόνου. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. κατά τινα χρόνον. Fl. 33.

1212. ὡς τἄλλα γ' εἶπας: τὸ ἑξῆς, ὡς τἄλλα γε εἶπας κάλλιστα, εἰ τοῦτ' εὐτυχήσομεν, τὸ λαβεῖν τὴν Ἑρμιόνην, δόξεις τἄλλα

1. μὲν om. A

2. γυναικὶ] γυναιξὶ I. In A. est γιναικὸς δὲ ὁμοῖα σώματι.

ib. καὶ γυναικὸς] καὶ om. A.B.M.

3. ὃ καὶ] ἢ καὶ B.M.

6. πρέπον] ἄλλως. πρέπον B.I.

ib. ἁρμοζόμενον] ἤγουν σῶφρον καὶ ἁρμοζόμενον I. ἄλλως. ἁρμοζόμενον A.

ib. γὰρ om. A.

7. ἄρρενας B. ἄρσενας A.M. ἄνδρας I. Hoc scholion in A. ultimum est folii 58 b. qnod finitur textus versu 1205. Folium vero 59 incipit ab v. 1505. Interciderunt enim folia octo antequam quae nunc supersunt numeris notarentur.

14. καὶ συνοικῶν om. M.

15. μακάριος ἐστιν om. B.I.

20. τὸ δὲ om. M. In B.I. haec cum scholio v. 1208. cohaerent.

24. τὸ ἑξῆς om. I.

25. εὐτυχήσομεν] εὐτυχήσω, φησὶν, ἐλπίδα ἐκ τούτου μοι ὑποβάλλεις, ἐκ τοῦ λέγειν μὲν I.

ib. Ἑρμιόνην] Ἑλένην, compendio scriptum, M.

καλῶς εἰρηκέναι. Ἄλλως ἐὰν τούτου μόνου ἐπιτύχωμεν, πάντα τἄλλα καλῶς εἴρηκας. B.M.I. εἰπὲ δηλονότι, ἐπεὶ τὰ ἄλλα γὲ εἶπας κάλλιστα, εἴπερ εὐτυχήσομεν, ἑλόντες σκύμνον ἀνοσίου πατρός. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τἄλλα: τὸ θεῖναι τὸ ξίφος ἐν τῇ δέρῃ αὐτῆς. Gu.

1213. σκύμνον: σκύμνος κυρίως τὸ τῶν λεόντων τέκνον, νῦν δὲ ἐπὶ ἀνθρώπου. B.M.I. τὸ γέννημα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. εἶπε δὲ αὐτὴν οὕτως, ὡς παῖδα βασιλέως. Gu.

1215. μῆκος: ἤγουν ἡ παράτασις. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. αὐτὸ συντρέχει: εἰς αὐτὸ φθάνει. I. ἀντὶ τοῦ φθάνει λοιπὸν ὁ χρόνος καὶ ἐγγύς ἐστι. B.M.I. ἤγουν τῷ πλησίον αὐτὴν εἶναι τῶν οἴκων. τοῦ χρόνου τὸ μῆκος εἰς τοῦτο συντρέχει, ἤγουν εἰς τὸ εἶναι ἐκείνην ἐγγὺς τῶν δωμάτων. Cant. αὐτό: ἢ τὸ ὃ μικρὸν καὶ ὑποστικτέον εἰς τὸ αὐτό, οὕτω· τὸ γὰρ μῆκος αὐτοῦ τοῦ χρόνου συντρέχει καὶ συνέρχεται εἰς τὸ πλησίον αὐτὴν εἶναι. Gr. καὶ γὰρ ὁ χρόνος πολὺς διελθὼν, ἀφ' οὗ αὕτη πρὸς τὸν τῆς μητρὸς ἐπορεύθη τάφον, συντρέχει καὶ οἷον συμβάλλεται πρὸς τὸ αὐτὴν ἐλθεῖν νῦν. Fl. 33.

αὐτό: εἰς. Gr. ῳ superscr. Gu. i. e. αὐτῷ.

1216. καλῶς: τοῦτο μὲν δὴ τοιοῦτον· τὸ δὲ δόμων πάρος μένουσα ἀντὶ τοῦ ἔμπροσθεν τῶν οἰκημάτων τὴν παρουσίαν αὐτῆς ἐκδεχομένη, καὶ τὸ γέγωνε εἰς δόμους ἀντὶ τοῦ ἢ διὰ λόγων σημάνασα βόησον μέγα, ὥστε ἔνδον ἡμᾶς ὄντας ἀκοῦσαι, ἢ τὰς θύρας κρούσασα. B.I. καλῶς: ἔχει τὸ πρᾶγμα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1217. μένουσα: περιμένουσα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. πόδα: ἀντὶ τοῦ τὴν ἐπέλευσιν. Gr. Flor. iidem. τὴν ἄφιξιν τῆς παρθένου. Gu.

1. Ἄλλως om. I. In C. ἐὰν μόνον τοῦτο εὐτυχήσωμεν, δόξεις τὰ ἄλλα καλῶς εἰρηκέναι :—

ib. ἐὰν] ἐὰν γὰρ B.I.

13. τὸ ὃ Matth. pro τὸ τό.

19. καλῶς—τοιοῦτον] Haec etiam in M. qui de reliquis haec tantum habet, πάρος μένουσα: ἀντὶ τοῦ ἔμπροσθεν ἢ τὴν παρουσίαν αὐτῆς ἐκδεχομένη. et γέγων' ἐν δόμοις: ἢ διὰ τῶν λόγων σημάνασα βόησον μέγα, ὥστε ἔνδον ἡμᾶς ὄντας ἀκοῦσαι :—

ib. τὸ δὲ δόμων—λόγων] σὺ δὲ μένουσα ἔμπροσθεν τῶν δόμων προσδέχου τὴν ἔλευσιν καὶ παρουσίαν τῆς παρθένου, καὶ γέγωνε εἰς δόμους, τουτέστιν ἢ διὰ λόγου σημήνασα I.

1218. φύλασσε: ἐπιτήρει. Gr. Florr. iidem. τελευτηθῇ: πληρωθῇ. Gr. Florr. iidem. τελεσθῇ, ἀπαρτισθῇ. Gu.

1219. ξύμμαχος: βοηθὸς τοῦ Μενελάου. Cant. Gu. κασίγνητος πατρός: ἡ (om. Gr.) ὁ ἀδελφὸς τοῦ πατρὸς ἡμῶν, ἤγουν ὁ Μενέλαος. Cant. Gr.

1220. φθῇ: προφθάσῃ. Gr. Fl. iidem. γέγωνε: βόησον. Gr. Florr.

1221. λόγους πέμψασ': λαλήσασα. Fl. 6.

1222. ἡμεῖς δ' ἔσω: ἀντὶ τοῦ, ἡμεῖς δὲ ἔσω πορευθῶμεν ὡπλισμένοι τὰς χεῖρας τῷ φασγάνῳ. Gr. ἐπὶ τὸν ἔσχατον ἀγῶνα: ἤγουν τὸν περὶ ψυχῆς. Gr. τὸν τελευταῖον, ἐν ᾧ θανεῖν ἢ ζῆν πρόκειται ἡμῖν. Cant. Gu.

1225. ὦ δῶμα ναίων: ἤγουν ὁ ἐν Ἅιδῃ ὤν. (ἀποστροφὴ πρὸς Ἀγαμέμνονα add. Flor.) Gu. Fl. 6. ὀρφναίας: σκοτεινῆς, ὀρφανῆς τοῦ φωτὸς δηλονότι. Fl. 21. σκοτεινῆς, ὀρφανῆς τινος διὰ τὸ ἔρημον εἶναι φωτός. B.M. Fl. 33.

1226. καλεῖ σ': ἀντὶ τοῦ καλεῖ σε. M. ἐπικαλεῖται. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐπίκουρον: βοηθόν. μολεῖν: ἐλθεῖν. I.

1227. τοῖς δεομένοισι: ἡμῖν τοῖς χρήζουσι. Gr. Florr. iidem.

1228. προδέδομαι: ἐγκαταλέλειμμαι. Gr. Florr. iidem.

1229. δίκαια πρᾶξαι: ἐν τῷ ἀντιγράφῳ φέρονται οὗτοι οἱ δ' ἴαμβοι, καὶ ἐν ἄλλῳ δέ. M. ἑλών: κατασχών. Gr. Florr. iidem.

1230. τοῦδε συλλήπτωρ: τοῦδε τοῦ ἔργου βοηθὸς γενοῦ. I. τοῦ ἔργου συνεργός. Gr. Florr. iidem et 25. 34.

1231. ἵκου: ἐλθέ. I. ἀφ (i. e. ἀφίκου). Gr. ἐλθὲ ἢ ἔρχου ἢ παραγενοῦ. Gu.

1232. οἵ σέθεν θνήσκουσ' ὕπερ: ἀπέδωκε τοῦτο πρὸς τὸ παῖδων. Gu.

1233. ὦ συγγένεια πατρός: παρ' ὅσον ὁ Στρόφιος Ἀναξιβίαν Κυδραγόρας ἔγημε τὴν Ἀγαμέμνονος ἀδελφήν, ἐξ ἧς ἐγένετο Πυλά-

4. ἤγουν ὁ Μ.] ὁ μενέλαος δηλονότι habent B.M.

14. σκοτεινῆς etiam I.

ib. ὀρφανῆς] ὀρφνῆς (sic) B. M. ὄρφνης Fl. 33. Correxi ex scholio praecedente.

15. διὰ τὸ om. B.M.

21. οἱ δ'] Videtur versus dicere 1229—1232.

29. Στρόφιος] στροφίος B, ut saepe.

30. Κυδραγόρας om. C.I. " Gu. haec

δης, ὥς φησι Κράτης. ἢ ἐπεὶ ὁ Στροφίου πατὴρ Κρῖσος Ἀτρέως θυγατέρα ἐγάμει αὐτὴν τὴν Κυδραγόραν. αἷμα δὲ οἱ παῖδες, γένος οἱ ἀδελφοὶ, συγγένεια οἱ γαμβροί. B.C.M.I. ὦ συγγένεια τοῦ ἐμοῦ πατρός· προσῆκε γὰρ κατὰ τὸ γένος τῷ Ἀγαμέμνονι ὁ Στρόφιος, ὁ πατὴρ τοῦ Πυλάδου. Gr. Fl. 6.9. 17. 21. 56. 59. 76. qui (Florr.) praemittunt: ὦ συγγενεῖς τοῦ ἐμοῦ πατρός.

1235. ἔκτεινα μητέρα: ἐγὼ ὑπὲρ σοῦ, φησὶν, ἐφόνευσα τὴν μητέρα. M. τὸ δὲ ἑξῆς, ἔκτεινα μητέρα, σοὶ, πάτερ, ἀρήγων. B. M.I. ὁ λόγος πρὸς Ἀγαμέμνονα. Gu. Fl. 6.

1236. κἀγὼ δ' ἐπεκέλευσα: ἐπεβούλευσα, ὅ ἐστι συνῄνεσα τῷ φόνῳ. M. καὶ ἐγὼ συνεργὸς ἦν τοῦδε τοῦ φόνου, καὶ ἠλευθέρωσα τῆς δειλίας. I. ἐπεβούλευσα: συνεβούλευσα. Gu. τῇ μητρί. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. κἀπέλυσα: ἠλευθέρωσα ὑμᾶς. Gu. ὄκνου: φόβου. Gr. δειλίας, ἣν εἴχετε μὴ κτεῖναι τὴν μητέρα. Gu.

1237. οὐδ' ἐγὼ προὔδωκά σε: ἀλλ' ὑπὲρ σοῦ τούτους ἐκίνησα. Gu.

1238. οὐκοῦν ὀνείδη: οὐκοῦν ῥῦσαι ἡμᾶς, ὡς μέλλων κλύειν ταῦτα ἐπὶ ὀνείδεσιν, ἐὰν μὴ σωθῶμεν, ὅτι ἐπικουρήσασιν οὐκ ἐβοήθησας. Ἄλλως. ὀνείδη τῶν εὐεργεσιῶν τὰς ὑπομνήσεις, ὡς καὶ ὁ ποιητὴς "ἀλλ' ἤτοι ἔπεσιν μὲν ὀνείδισον." B.M.I. ἀκούων οὖν τάδε τὰ ὀνείδη, ἃ σοι παῖδες προφέρουσι, λέγοντες ὡς διὰ σὲ πάσχουσι, βοήθησον αὐτοῖς. ἢ ὀνείδη λέγει, ἃ ἀκούουσιν αὐτοὶ παρὰ τῶν ἄλλων, μητροκτόνοι καλούμενοι. Gu.

1239. δαρύοις κατασπένδω σε: οἷον σπονδάς σοι διὰ δακρύων ποιῶ· οὐ γὰρ ἔχω ἄλλο τι. B.M.I. λίαν ἱκετεύω σε. Gu. Fl. 6. habet: κατά τινας γὰρ ἡ μήτηρ Στροφίου Κυδραγόρα ἀδελφὴ ἦν Ἀγαμέμνονος. ἔνιοι δὲ φασὶν Ἀναξιβίαν τὴν Ἀγαμέμνονος ἀδελφὴν Στρόφιος ἔγημεν ὁ Πυλάδου πατήρ. ἢ συγγένειαν λέγει, ἐπεὶ ὁ Στροφίου πατὴρ Κροῖσος Ἀτρέως θυγατέρα ἔγημε τὴν Κυδραγόραν. Florr. 6. 9. 17. 21. 56. 59. 76. verbis supra adscriptis subjiciunt: ὁ Στρόφιος Ἀναξιβίαν ἔγημε τὴν τοῦ Ἀγαμέμνονος ἀδελφὴν, ἐξ ἧς ὁ Πυλάδης. Fl. 10. autem habet: κατά τινας γὰρ ἡ μήτηρ αὐτοῦ Κυδραγόρα ἀδελφὴ ἦν Ἀγαμέμνονος, ὡς φησὶ Κράτης." MATTH.

1. Κρῖσος] Scribebatur Κρίσος. κρίσσος C.

2. ἐγάμει] ἔγημε C.

ib. αὐτὴν om. C.I. αἷμα δὲ (δὲ om. M.)—γαμβροί om. C.

8. τὸ δὲ] δὲ om. B.I., ἔκτεινα μητέρα om. M.

11. καὶ ἐγὼ—φόνου] Haec etiam in B.

14. δειλίας Matth. pro δουλείας.

18. ταῦτα] τάδε I.

ib. ἐβοήθησας] ἐβοήθησεν M.

19. ὁ ποιητὴς] Hom. Il. 1, 211.

24. οἷον] ἤγουν I.

καταβρέχω, καταχέω. Fl. 17. ἐγὼ δ' οἴκτοισι: ἐγὼ δὲ εὐχαῖς καὶ θρήνοις. I. οἰκτρότητι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὀδυρμοῖς. Gu.

1240. ἐξορμώμεθα: ἐξέλθωμεν. I.

1241. ἀκοντίζουσι: εἰ κατὰ γῆς ἔρχονται αἱ εὐχαὶ, ἐπακούσει. B.I. ἀραί: αἱ εὐχαί. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1242. πρόγονε: τοῦ Ὀρέστου. Gu. Fl. 6. ἢ πρόγονον ἑαυτοῦ τὸν Δία λέγει, ἐπεὶ ἡ τούτου μήτηρ Ἀναξιβία ἐκ Διὸς κατήγετο, ἢ ὅτι ὁ Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε. Gu. δίκης σέβας: ὦ Δίκη. Gr. ἐπικαλεῖται δὲ αὐτὴν, ὡς δικαίως πράξας. (Gu. πράξοντες.) Gu. Fl. 6.

1244. δίκη μία: ἓν δίκαιον. ἡ καταδίκη. Gu. τιμωρία. I. εἰς ἀγὼν, δίκη μία: τουτέστιν ἓν ἀγώνισμα καὶ ἓν δίκαιον ποιούμεθα, ἢ ὁμοῦ ζῆν, ἢ ὁμοῦ θανεῖν· οὐ γὰρ ἀποθανόντος τινὸς ἐξ ἡμῶν οὐκ ἐθελήσει ὁ ἕτερος κοινωνῆσαι αὐτῷ τοῦ θανάτου, ἀλλ' ἢ πάντες ζησόμεθα, ἢ τεθνηξόμεθα πάντες. Gu.

1245. ὀφείλεται: μέλλει. Gr. χρεωστεῖται. Gu. ἀπόκειται. B.I. χρέος ἔγκειται. I.

1248. Μυκηνίδες: ὦ φίλαι Μυκηνίδες, αἱ κατὰ πρώτην μοῖραν οὖσαι κατὰ τὸ ἔθος τῶν Ἀργείων τὸ Πελασγικόν. Cant. Gr. τίνα λέγεις λόγον, πότνια; παραμένει γὰρ ἔτι σοὶ τὸ καλεῖσθαι πότνιαν ἐν Δαναΐδων πόλει. Cant.

Μυκηνίδες ὦ φίλαι: πρὸς τὰς ἀπὸ τοῦ χοροῦ διαλέγεται. Μυκηνίδας δὲ αὐτὰς καλεῖ καὶ Ἀργείας, ἐπεὶ ὀλίγον ἀφεστήκασιν ἀλλήλων αἱ πόλεις. Ἄλλως. Ἰνάχῳ ἐκ Μελίας ἐγένετο Φορωνεὺς καὶ Φηγεύς. τούτων Φορωνεὺς μὲν ἄρξας τὸ νῦν Ἄργος Φορωνικὸν ἄστυ ἐκάλεσε. ἴσχει δὲ παῖδας ἐκ Πειθοῦς Αἰγιαλέα, Ἄπιν, Εὐρώπαν, Νιόβην. Φηγεὺς δὲ πόλιν κτίζει Φηγὰς, καὶ παῖδας ἴσχει Σπάρτωνα καὶ Μέσσωνα. Σπάρτωνος δὲ παῖς Μυκηνεὺς, ὃς Μυκήνας

5. ἐπακούσει] ἐσακούσει I. In M. εἰ κατὰ γῆς ἔρχονται ὅτι ἐπικουρήσασιν οὐκ ἐβοήθησαν. Conf. schol. v. 1258.
19. πρώτην μ.] μ. πρώτην Cant.
23. πρὸς] ἄλλως praef. in M, in quo boc scholion post proximum legitur.
24. ἀφ. ἀλλήλων] ἀλλήλων ἀφ. I.
25. καὶ Φηγεύς om. M.
26. Φορωνεὺς μὲν] ὁ φορωνεὺς, sine μέν, I.
27. Εὐρώπαν] εὔροπα M.
28. Φηγεὺς δὲ] δὲ om. I. μὲν M.
ib. Σπάρτωνα] σπαρτῶνα M.
29. Μέσσωνα] μέσωνα B. μεσσῶνα M.

ἔκτισε. Φορωνέως δὲ ἀπολωλότος καὶ τῶν παίδων διασκεδασθέντων, Ἄργος ὁ Νιόβης βασιλεύσας ὅλην τὴν ἐντὸς τοῦ Ἰσθμοῦ Ἀργείαν καὶ τὸ Φορωνικὸν ἄστυ Ἄργος ὠνόμασεν. τὰ πρῶτα: λείπει τὸ φέρουσαι. B.I. λείπει τὸ ἔχουσαι. M. τουτέστιν αἳ τὰ πρωτεῖα φέρεσθε κατὰ τὸ Ἄργος. Πελασγὸν δὲ ἀπὸ Πελασγοῦ τοῦ αὐτόθι βασιλεύσαντος. B.I.

παραμένει γάρ: τὸ πότνιαν καλεῖσθαι. I. τὸ καλεῖσθαι πότνιαν περιμένει σοι. B.M.

στῆθ' αἱ μὲν ὑμῶν: στῆτε εἰς φρουρὰν τῶν δόμων, αἱ μὲν ἀφ' ὑμῶν εἰς τόνδε τὸν ἁμαξήρη τρίβον, ἤγουν δι' οὗ ἕλκονται αἱ ἅμαξαι, τετραμμέναι δηλονότι, αἱ δὲ ἐνθάδε εἰς τὸν ἄλλον οἶμον, ἤγουν εἰς τὴν ἄλλην ὁδόν. Cant. Gr. τόνδ' ἁμαξήρη: κατὰ τὴν λεωφόρον ὁδὸν τὴν δημοσίαν, αἱ δὲ εἰς ἄλλην ὁδὸν, εἰς τὸ τηρῆσαι τὸν οἶκον. I. τὸν κατημαξευμένον, τὸν συνήθη. Gu. Fl. 6. τρίβον: ὁ τρίβος καὶ ὁ οἶμος Ἀττικῶς (Ἰωνικῶς Florr.). Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1252. ἐς φρουράν: εἰς τὸ φρουρεῖν καὶ τηρεῖν τὸν οἶκον. Fl. 21. ἀσφάλειαν. Fl. 6. φύλαξιν. Fl. 17. B.M.

1253. 1254. τί δέ μοι τόδε χρέος: ἤγουν τίνα χρείαν καλεῖς ἐμὲ σαυτῇ, τουτέστι τί χρησιμεύσω σοι καλουμένη; I. οἷον εἰς τί μοι τοῦτο τὸ πρᾶγμα προστάσσεις, τὸ φρουρεῖν δηλαδὴ τὴν ὁδόν. B.M.I. τί δέ με (μοι): εἰ μὲν δοτικὴ, οὕτως· εἰς τί δὲ, ἤγουν εἰς ποῖον σκοπὸν, ἀπύεις ἐμοὶ, ἀντὶ τοῦ κελεύεις, τόδε τὸ χρέος. εἰ δὲ αἰτιατικὴ, οὕτως· εἰς τί τόδε τὸ χρέος, ἤγουν εἰς τίνα τήνδε τὴν χρείαν καλεῖς ἐμὲ, τουτέστι, τίς ἐστιν αὕτη ἡ χρεία, εἰς ἣν καλεῖς ἐμέ; Gr. Fl. 6. 17. 21. 56. 59. 76.

1255. φόβος ἔχει με: φοβοῦμαι μή τις ἐπὶ δώμασι σταθεὶς, ἀντὶ τοῦ ἐπιστὰς τοῖς δώμασιν, ἐπὶ φόνιον αἷμα ἕτερα πήματα ἐφ' οἷς σύνεσμεν ἐργάσηται καθ' ἡμῶν. Cant.

1. παίδων] τῶν νιόβης add. I.
2. Νιόβης] νιόβας B.
3. ὠνόμασεν] ἐκάλεσε I.
4. πρωτεῖα] πρῶτα I.
12. κατὰ τὴν λεωφόρον ὁδόν] Sic etiam M.
17. τηρεῖν] τηρῆσαι B.
20. οἷον om. M.I.
21. δηλαδὴ om. M.
27. In Gr. hae sunt singulae glossae: ἀντὶ τοῦ φοβοῦμαι—ἐπὶ δωμ.—δώμασιν—ἕτερα Gu. ἐπὶ Gr. οἷς σύνεσμεν Gu. ἐργάσηται Gr. καθ' ἡμῶν Gu. Itaque in sqq. singulas glossas adscripsi, ut in Gu. vel Gr. leguntur. MATTH.

1258. ἐπειγώμεσθα: σπεύδωμεν. Cant. Gr.

1259. ἐκφυλάξω: ἀντὶ τοῦ φυλάξω. Cant. Gr. πρὸς ἡλίου βολάς: τὸν ἀνατολικόν φησι. M. πρὸς ἀνατολήν. I. ἤγουν τὸν πρὸς ἀνατολὰς φέροντα δηλονότι. Cant. Gr.

1260. πρὸς ἑσπέραν: πρὸς τὴν δύσιν. I. πρὸς ἑσπέραν φέρει: ἤτοι ἡνιοχεῖ τὸ δυτικόν, ὅτι τῆς ἑσπέρας ἐστὶν, ὅτι τότε εἰς ἑαυτοὺς περῶμεν. Ἄλλως. τὸ δυτικὸν λέγει. ἑσπέρας δὲ λέγει ὅτι τῆς ἠοῦς πέρας ἐστὶν, ἢ τότε εἰς ἑαυτοὺς περῶμεν. ἢ ἐσωφέρα τις οὖσα ἀπὸ τοῦ πάντας εἰσφέρειν, ἤτοι εἴσω φέρειν. καὶ ἡ Σαπφὼ δὲ οὕτω τὸν ἕσπερον ἀστέρα εἶπε, τρόπον τινὰ ἐτυμολογοῦσα τὸ ὄνομα, "ἕσπερε πάντα φέρων ὅσα φαινόλις ἐσκέδασ' αὔως." B.M.I.

1261. δόχμια: οἷον περίφερέ σου καὶ πλαγίαζε τὸ ὄμμα, καὶ φύλασσε, καὶ τὰ πλάγια τῶν οἴκων ἐπιτήρει. B.M.I. δόχμια: πλαγίως. Gr. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76. διάφερε: παράφερε. (κίνει add. Gu.) Gr. Florr. iidem.

1264. ἐκεῖθεν ἐνθάδ': ἀπ' ἐκείνου τοῦ μέρους εἰς τοῦτο. ἐπὶ κινήσεως ἐνταῦθα τὸ ἐνθάδε. Gr. σκοπιάν: ἀντὶ τοῦ φυλακήν. Gr. ἐπιτήρησιν. Gu.

1265. ἔχομεν: οὕτω διακείμεθα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. θροεῖς: λέγεις. Gr. Fl. iidem.

1266. ἑλίσσετε νῦν: τὸ ἑξῆς· ἑλίσσετε νῦν βλέφαρον διὰ βοστρύχων, καὶ κόραισι δίδοτε πάντα, ὅ ἐστι πάντα τόπον τῇ θέᾳ δίδοτε καὶ σκοπεῖτε. διὰ τῶν βοστρύχων δὲ, ἐπειδὴ καθειμένον ἔχουσι τὸν πλόκαμον μέχρι τῶν παρειῶν, ἢ ὡς πενθοῦσαι τὸν Ὀρέστην, ἢ ὡς

6. ἤτοι om. M.
ib. ἑσπέρας] Recte ἠοῦς πέρας in scholio proximo.
ib. ἐστὶν] ἕσπερας δὲ λέγει addit B.
7. Ἄλλως—λέγει addidi ex M.
ib. ὅτι] ἢ ὅτι B.I.
8. ἢ τότε—περῶμεν addidi ex M.
9. ἤτοι εἴσω] καὶ ἔσω M.
ib. Σαπφὼ] σαμπφὼ M.
10. ἕσπερον] ἑσπέριον B.I.
11. φαινόλις Barnes. φαινολὶς M. φαινόλης B.I.
ib. αὔως] αὔων M.
21. νῦν (δὲ νῦν M.)] οὖν I.
23. διὰ τῶν βοστρύχων δὲ —] τὸ διὰ βοστρύχων λέγει ἀντὶ τοῦ διὰ τοῦ κινεῖν τὴν κεφαλὴν ὧδε κἀκεῖσε. καὶ ἔστιν ἀπὸ μέρους τὸ πᾶν· μέρος γὰρ τῆς κεφαλῆς οἱ βόστρυχοι. ἢ τὸ διὰ βοστρύχων λέγει ἐπειδὴ καθήμενον (sic)—ὁρᾶν. δηλοῖ δὲ ἡ διά τὸ μέσον κατὰ τοῦτον τὸν λόγον Gu. Partem scholii repetit M. διὰ τῶν β. δὲ, ἐπειδὴ—ἔχουσι τὸν βόστρυχον μέχρι τῶν παρειῶν, ὡς ἂν παρθένοι. ἀλλ' ὡς πενθοῦσι τὸν ὀρέστην, λελυμένον αὐτὸν ἔχουσιν, ἐξ οὗ συνέβαινε μὴ ὁρᾶν :—
ib. ἔχουσι] εἶχον Gu.
24. τῶν παρειῶν M. Gu. τῶν om. B.I.

παρθένοι, ἐξ οὗ συνέβαινε τὰ πλάγια μὴ ὁρᾶν. B.M.I. *κόραις: κόρας δὲ διὰ τὸ ἐπὶ ταῖς κόραις βλέφαρον· κόρον γὰρ τὸ μέλαν. ἑλίσσετε καὶ κινεῖτε, καὶ διὰ τῶν βοστρύχων αὐτὸ δίδοτε πανταχόσε, ἀντὶ τοῦ τὰς κόρας καὶ τὰς ὄψεις ἀποτείνετε πανταχοῦ, ἵν' ᾖ τὸ πάντῃ ἀντὶ τοῦ πανταχοῦ, ἢ πάντα τόπον δίδοτε ταῖς ὄψεσι.* B.M.I. *λείπει τὸ βλέπειν. τῆς ἐπάρσεως ἄρατε ἄνω τοὺς βοστρύχους καὶ βλέπετε ἀνεμποδίστως.* B.

ἑλίσσετε: συστρέφετε ἁπανταχόσε τοὺς ὀφθαλμούς. Gu. *βλέφαρον: τοὺς ὀφθαλμοὺς δηλονότι, ἤγουν περισκοπεῖσθε.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *κόραισι δίδοτε: τὸ βλέφαρον ἐνδίδοτε ταῖς κόραις, τουτέστι τοῖς ὀφθαλμοῖς πάντῃ ἤγουν πρὸς πᾶν μέρος διὰ τῶν βοστρύχων.* Gr. Fl. 6. 17. 56. 59. 76.

1269. *ὅδε τίς: φαντασθὲν τὸ ἡμιχόριον ἐρχόμενόν τινα τοῦτο πρὸς τὴν Ἠλέκτραν φησίν. ἀγρότης δὲ εἶπεν, ἐπειδὴ ᾤετο μή τινα ἂν τῶν ἐν τῇ πόλει λαμπρῶν ἀφῖχθαι, ἀλλ' ἐξ ἀγροῦ τινὰ, ποιμένα λέγω, ἢ συβώτην διά τινα χρείαν.* Gu. I. *τὸ τὶς ἀόριστόν ἐστιν, οἷον ἀγρότης τις ἄρα ἀνὴρ ὅδε, ὃν λέγεις δηλονότι, πολεῖ ἀμφὶ τὸ σὸν μέλαθρον ἤγουν ἔρχεται ἐπὶ τὸ σὸν μέλαθρον.* Gu. I.

προσέρχεται: ἡμῖν δηλονότι. Gr.

1270. *ἀγρότας ἀνήρ: ἀγροῖκος, δρυτόμος.* Gu.

1271. *ἀπωλόμεσθ' ἄρα: ὦ φίλαι, αὐτίκα, εἰς τοὺς κεκρυμμένους ξιφήρεις θῆρας, ἤγουν τὸν Ὀρέστην καὶ τὸν Πυλάδην, φανεῖ τοῖς ἐχθροῖς, ἤγουν δείξει, μηνύσει.* Gr. I.

1272. *ἐχθροῖς: τῷ Μενελάῳ καὶ τοῖς ἄλλοις.* Gu.

1273. *ἄφοβος ἔχε: τὸ ἔχε ἀντὶ τοῦ ἔσο.* B. *μὴ φοβοῦ, ἄφοβος ἔσο.* I. *κενός: ἐν ἐρημίᾳ ἀνθρώπων.* Gr. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

1. *κόραισι—διὰ τὸ*] *κόραισι: κόρας φησὶ τὸ* B.I.

2. *κόρον* (*κορὸν* B.) *γὰρ τὸ μέλαν* om. M.

11. *πρὸς πᾶν*] *προπᾶν* G.

16. *τὸ τὶς*] *τὸ δὲ τὶς* I.

ib. *ἐστιν, οἷον*] *ἤγουν* Gu.

17. *ἀγρότης*—] Hunc locum e Gu. dedi. Vulgo *ἀόριστόν ἐστιν, οἷον ἀγρότης τις. ὁ δὲ ὃν λέγει δηλ. πολεῖται, ἤγουν ἔρχεται* etc. Codex etiam *ἤγουν ἀγρ.*, omittit *ἔρχεται* et habet *ἀντὶ τοῦ ἐπὶ τὸ σὸν μ.* Idem fuisse videtur in Cant. ex quo King. in paraphr. post ea, quae e textu et scholio edito dedit, adjecit *πολεῖ ἀμφὶ τὸ σὸν μέλαθρον ἀντὶ τοῦ ἐπὶ τὸ σὸν μ.* Ceterum in Gu. haec verba a superioribus sejuncta sunt. MATTH.

22. *φανεῖ—μηνύσει*] *δείξει καὶ μηνύσει τοῖς ἐχθροῖς* I.

1274. *στίβος*: *ἀρσενικῶς ὁ στίβος εἶπε. κενός*: *ὃν οὐ δοκεῖς κενὸν εἶναι.* B.M.I.

1275. *τὸ σὸν βέβαιον*: *πρὸς τὸ ἄλλο ἡμιχόριον λέγει ἡ Ἠλέκτρα· πῶς δὲ τὸ κατὰ σέ ἐστι βέβαιον; ἆρ᾽ ἔτι βέβαιον μένει;* B. M.I. *τὸ σόν*: *μέρος.* Gr. *ἤγουν ἡ σὴ φυλακὴ βεβαία ἐστίν.* Gu. *ἔτι*: *ἀντὶ τοῦ παρὰ τοῖς κοινοῖς ἀκμήν.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1276. *εἰ τάδ᾽ ἔρημα*: *εἰ τὰ πρὸς τὴν αὐλὴν μέρη εἰσὶ μεμονωμένα.* I.

1278. *καλῶς τά γ᾽ ἐνθένδ᾽*: *καλῶς ἔχει δηλονότι τὰ ἀπὸ τούτου τοῦ μέρους.* Gr. Cant. *τἀπίσω* (sic Gu.): *τοπικῶς λέγεται τὸ ὀπίσω ἀντὶ τοῦ εἰς τὴν ἄλλην ὁδόν.* Cant. Gr.

1279. *ὡς*: *ὅτι.* Gu. *πελάζεται*: *ἀντὶ τοῦ πελάζει.* Cant. Gr. *πλησιάζει.* Gu.

1280. *ἐς ταυτόν*: *ὥσπερ ἐπὶ σοὶ οὐκ ἔνεστι φόβος, οὐδὲ ἐπ᾽ ἐμοί.* B. *ἐμοί.* Gr. Flor. *ἀντὶ τοῦ συμφωνεῖς μοι.* M. Cant. Gu. *τῇδ᾽ ὄχλος*: *ταύτῃ τῇ μερίδι θόρυβος, ἀντὶ τοῦ πρᾶγμα ποιοῦν θόρυβον.* Cant. Gr. *τῇδε*: *ἐνταῦθα, ὅπου ἐγώ εἰμι.* Gu.

1281. *φέρε νῦν*: *τὴν ἀκοήν, ἤτοι τὸ οὖς τὸ ἐμὸν πρὸς ταῖς πύλαις παραθῶ, ὥστε ἀκοῦσαι.* B. M. I. *ἀκοάν*: *ἄκουσμα, βοήν.* Gu. *ἤγουν ἀκουστικὸν λόγον.* Fl. 59.

1282. *τί μέλλεθ᾽*: *διὰ τί ἀναβάλλεσθε πρὸ τοῦ ἐπιστῆναί τινα σφάγια φοινίσσειν, ἀντὶ τοῦ τὰ ξίφη μολύνειν, τουτέστι τὴν Ἑλένην φονεύειν.* B.M.I. *τί βραδύνετε οἱ κατὰ τὸν οἶκον ὄντες ἐν ἡσυχίᾳ, ἤγουν ἐν ἀταραξίᾳ, ἐν ὅσῳ οὐδεὶς ὀχλεῖ, ὥστε σφάγια φοινίσσειν. ὥστε τὴν σφαγὴν ποιεῖν, ὤφειλεν· ἐπεὶ δὲ τὸ ἀπὸ τῆς σφαγῆς*

1. *ὁ στίβος εἶπε—εἶναι* M. *εἶπεν ὁ στίβος, ὅ ἐστιν ἡ ὁδός.* et in marg. *ὃν οὐ δοκεῖς εἶναι κενὸν δηλονότι* B. In I. est *εἶπεν ὁ στίβος· κενός ἐστιν ὁ στίβος. οὗ* (sic) *οὐ δοκεῖς εἶναι κενὸν δηλονότι.*

3. *πρὸς* om. M.

ib. *ἡ Ἠλέκτρα*] *ἡ* om. I.

4. *ἐστι βέβαιον* om. I., *βέβαιον* om. B. Proxima *ἆρ᾽ ἔτι βέβαιον μένει* om. M.

5. *μέρος*] Hoc habent etiam Flor. omnes. Pro reliquis Fl. 6 *ἡ φυλακὴ ἡ ὑπὸ σὲ βεβαία μένει, ἤγουν ὑπάρχει.*

19. *ἤτοι* (*ἤτοι* om. B.)—*ἀκοῦσαι*] *καὶ τὸ οὖς—ὥστε ἀκούειν βοὴν τῆς Ἑλένης*:—M.

22. *ἀναβάλλεσθε*] *μέλλετε* M.

23. *ἀντὶ—μολύνειν* om. M.I.

ib. *τουτέστι τὴν Ἑλένην φονεύειν*] *τὴν μάχαιραν* M.

24. E Cant. edid. King. *ὡς ἡσυχία ἤγουν ἀταραξία ἐστίν.* In Gr. *ἀταρ.—ὀχλεῖ*, tum *αἷμα—σφαγῆς* inter lineas etiam scriptum in Gu. MAT.

αἷμα φοινίσσει, φησὶ σφάγια φοινίσσειν, ἀντὶ τοῦ αἷμα χεῖν διὰ σφαγῆς. Cant. Gr. πρὸς τοὺς περὶ τὸν Ὀρέστην φησί. Cant. Gu.

1285. σφάγια: τινὲς γράφουσι σφαγίδα φοινίσσειν, ὅ ἐστι τὴν μάχαιραν. B. τὰ θύματα, ἤγουν τὴν Ἑλένην. Gu. φοινίσσειν: βάπτειν ἐν τῷ αἵματι. Gu. ὤφειλεν εἰπεῖν ἐκτελέσαι. Fl. 33.

1287. ἆρ' εἰς τὸ κάλλος: ἆρα εἰς τὸ τῆς Ἑλένης κάλλος βλέψαντες οὐκ ἐχρήσαντο τοῖς ξίφεσιν; οἷόν τι καὶ Στησίχορος ὑπογράφει περὶ τῶν καταλεύειν αὐτὴν μελλόντων. φησὶ γὰρ ἅμα τῷ τὴν ὄψιν αὐτῆς ἰδεῖν αὐτοὺς ἀφεῖναι τοὺς λίθους ἐπὶ τὴν γῆν. Ἄλλως. ἐὰν ᾖ ἐκκεκώφηται ἄνευ τοῦ ν, ἔστιν ὁ λόγος, ἆρα μὴ καὶ τὰ ξίφη τῆς Ἑλένης ἀγασθέντα τὸ κάλλος ἀνεπαίσθητα καὶ ἀνενέργητα γεγόνασιν; ἐὰν δὲ ᾖ ἐκκεκώφηνται μετὰ τοῦ ν, ἐπὶ τῶν περὶ τὸν Ὀρέστην ἀκουστέον· ἆρα μὴ διὰ τὸ κάλλος τῆς Ἑλένης ἀνεπαίσθητοι ἔμειναν καὶ εἴασαν τὰ ξίφη. ἐκκεκώφηνται, ὡς "σπάρτα λέλυνται." Ἀριστοφάνης δὲ γράφει ἐκκεκώφωται ξίφη. σημαίνει γὰρ ὅτι εἰς τὸ κάλλος Ἑλένης ἀποβλέψαντες ἀνεπαίσθητοι ἔμειναν καὶ εἴασαν τὰ ξίφη. ὁ δὲ λόγος, ἆρα μὴ καὶ τὰ ξίφη νενίκηται τῷ κάλλει καὶ διαμεμάλακται; ἐὰν δὲ ᾖ ἐκκεκώφωνται, ἐπὶ τῶν περὶ Ὀρέστην ἐκδεκτέον, ὅτι ἐκκεκώφωνται αὐτοὶ πρὸς τὸ κάλλος καὶ εἴασαν τὰ ξίφη. B.M.I. ἆρ' εἰς τὸ κάλλος: ἀφορῶντα δηλονότι. Gr. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76. ἐκκεκώφηται: ἀνενέργητα ἔμειναν τὰ ξίφη. Gr. Florr. iidem. ἠμβλύνθη, ἐξησθένησε. Gu. Fl. 6.

1289. ποδὶ βοηδρόμῳ: τῷ βοηθῷ, τῷ μετὰ βοῆς βοηθοῦντι, ἢ τῷ ἐν τῇ βοῇ θέοντι, ἤγουν ἐν τῇ μάχῃ. ἴσως, φησὶ, τὶς ἀπὸ τῶν Ἀργείων μεθ' ὅπλων ὁρμήσας πρὸς τὰ μέλαθρα βοηθὸς παραγενήσεται. B.I. ποδί: πορείᾳ. Gr. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76. βοηδρόμῳ: βοηθῷ. (ταχυτάτῳ add. Gu.) Gr. Florr. iidem. προσμίξει: προσελεύσεται. Gr. παραγενήσεται. M. Florr. iidem.

6. βλέψαντες] ἐμβλέψαντες Fl. 10.
8. ἅμα τῷ] ἅμα τὸ M.I.
9. τοὺς λίθους—τοῦ ν, ἔστιν] τ" λι^θ—ῆ, ὅ ἐστιν M.
10. λόγος] λόγος ὅτι M.
12. ᾖ et μετὰ τοῦ ν om. M.
ib. τὸν om. I.
14. σπάρτα λέλυνται (Hom. Il. 2, 135.) M. παρακέκληνται B.I.
15. ἐκκεκώφωται Matth. pro ἐκκεκώφωνται. Proxima σημαίνει usque ad ἔμειναν καὶ εἴασαν τὰ ξίφη addidi ex M., qui reliqua omittit.
24. βοηθῷ—βοηθοῦντι] Haec in M.
25. ἴσως—ὁρμήσας om. B.
26. μέλαθρα] φησί τις addit B.

προσμίξει καὶ προσέλθῃ. τοῦτο δὲ εἶπεν ἢ διότι πρὸς τὸν φόνον οὗτοι βραδύνουσιν, ἢ διότι τὸν χορὸν εἶδεν ἀμελῶς πρὸς τὴν φυλακὴν ἔχοντα. Gu.

1291. σκέψασθε: βέλτιον καὶ ἀκριβῶς σκοπήσατε· οὐ γὰρ χρεία νῦν τοῦ καθέζεσθαι. B.I. βέλτιον δ' ἀκριβῶς σκοπῆσαι ἐκ διαδοχῆς πάντα περιβλεπομένην. Fl. 33.

οὐχ ἕδρας ἀγών: οὐκ ἀναπαύσεως καιρός. Gr. Fl. 6. 9. 17. 21. 25. 56. 59. 76.

1292. ἐνθάδ': εἰς τοῦτο τὸ μέρος, ἐπὶ κινήσεως. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. Cant. ἑλίσσετε: τοὺς ὀφθαλμοὺς δηλονότι, ἤγουν περισκοπεῖσθε. (συστρέφετε ἑαυτάς add. Gu.) Gr. Florr. iidem. Cant.

1293. ἀμείβω: ἀντὶ τοῦ, οὐκ ἔστι χρεία τοῦ καθέζεσθαι εἰς διαδοχὴν πάντα περιβλεπομένην. M. διαβιβάζω τὸν ὀφθαλμὸν ἀκριβῶς πάντα περιβλεπομένη. B.I. διέρχομαι τοῖς ὄμμασιν. Gr. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

1296. ἰὼ Πελασγὸν Ἄργος: ἰὼ, Ἀργεῖοι, ὄλλυμαι κακῶς. I. ὄλλυμαι: φθείρομαι. Gu.

1297. χεῖρ' ἔχουσιν: ἤγουν ἤδη τοῦ φόνου ἀπάρχονται. Gu.

1298. Ἑλένης τὸ κώκυμ': Ἑλένης ὁ θρῆνος, ὡς ἔστι τεκμήρασθαι. I. κώκυμα: ἡ μετὰ θρήνου βοή. Gr. et Gu. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

ἀέναον: διηνεκές. I. ἀδιάλειπτον. Gu.

1300. ἔλθ' ἐπίκουρον: ἐλθὲ ἐξ ἅπαντος τρόπου ἐπίκουρον τοῖς ἐμοῖς φίλοις. Cant. Gr. πάντως: ἀληθῶς. Cant. Gu.

1301. παρών: ἀντὶ τοῦ ἐν τῇ πόλει ὤν. B.M.I. παρών: ἐν Ἄργει, ἐν τῇ πόλει ὤν. Gu. Fl. 6.

1302. καίνετε: τὸ ἑξῆς, φονεύετε τὴν λιποπάτορα, τὴν λιπόγαμον. Gr. τὴν καταλιποῦσαν τὸν ἑαυτῆς πατέρα, τὴν καταλιποῦσαν τὸν ἑαυτῆς ἄνδρα. Gr.

1. προσέλθῃ] προσέλθει Gu.

4. βέλτιον—σκοπήσατε] Haec in M.

ib. καὶ om. B.

14. διαβιβάζω τὸν ὀφθαλμὸν] ἀντὶ τοῦ B.

20. ὡς ἔστι τεκμήρασθαι habet M. ὡς τεκμήρασθαί τι B.

26. ἀντὶ τοῦ M. οἷον B., om. I.

28. In I. est τὸ ἑξῆς καίνετε τὴν λειποπάτορα ἤγουν τὴν λειπόγαμον. ἤγουν τὴν καταλιποῦσαν τὸν ἑαυτῆς γάμον.

καίνετε: ἀποκτείνετε, ἀπὸ τοῦ καίνω, τὸ φονεύω. I. σφάζετε, κεντεῖτε. (καινὶς γὰρ ἡ μάχαιρα add. Fl.) Gr. Fl. 6.

1303. δίπτυχα: διπλᾶ διὰ τὴν ὀξύτητα. Gu. τὰ δύο. M. διπλᾶ, ἢ δύο. B. ἀντὶ τοῦ δύο. Fl. 6. 9. 17. 21. 56. 59. 76. δίστομα: ἀντὶ τοῦ δύο στόματα ἑκάτερον ἔχοντα. Gr. Florr. iidem.

1304. ἱέμενοι: ἀντὶ τοῦ ἱέντες. ἁπλούστερον δὲ ὡς γυναῖκες εἶπον· οὐδεὶς γὰρ ξίφος ἀφίησι καὶ βάλλει. ἢ τὸ ἱέμενοι ἀντὶ τοῦ προθυμούμενοι. B.M.I.

ἱέμενοι: ἀφιέντες. Gr. πέμποντες. Gu.

1305. λιποπάτορα, λιπόγαμον: τὴν καταλιποῦσαν τὸν πατέρα καὶ τὸν Μενέλαον. I.

1306. ἔκανεν: αἰτία ἐγένετο φονευθῆναι αὐτούς. Gr. ἐφόνευσεν. Gu.

1307. δορί: ἐν τῷ πολέμῳ. Gr. παρὰ ποταμόν: τὸν Ξάνθον. I. τὸν Σιμόεντα. Gr. τὸ ποταμὸν καὶ τὸ Σκαμάνδρου δίνας ταυτόν ἐστιν. Bar. Gu.

1308. ὅθι δάκρυα: ὅπου συνέπεσε δάκρυα περὶ τὰς συστροφὰς τοῦ Σκαμάνδρου. I.

1309. ἔπεσε: ἀντὶ τοῦ συνέπεσεν. B.M. συνέπεσε: συνῆλθον. Gr. συνεμίγησαν. Fl. 33. σιδαρέοισι βέλεσιν: διὰ σιδηρῶν βελῶν. Gr.

1311. τινός: ἀνθρώπου. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1312. εἰσπεσόντος: εἰσελθόντος. Fl. 6. ἐκείνου. Gu.

1313. εἰς μέσον φόνον: ἀντὶ τοῦ εἰς τὸ μέσον τοῦ φόνου, ἢ εἴσω τοῦ φόνου. Gr. et Gu. I. περιφραστικῶς. I. φόνον: τῆς μητρὸς αὐτῆς. Gu.

1315. στείχει γὰρ εἰσπεσοῦσα: στείχουσα γὰρ πίπτει εἰς βρόχους δικτύων. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. δικτύων βρόχους: περιφραστικῶς, εἰς τὰ δίκτυα. B.M.I. εἰς δίκτυα, εἰς σύλληψιν ἄφυκτον. Gu. βρόχους: πνιγμονάς. Fl. 33.

1316. ἢν ἁλῷ: ἐὰν κρατηθῇ. I. ἀγρευθῇ, κρατηθῇ. Gr. Fl. 25. 34. 76.

1. ἀποκτείνετε, ἐκ τοῦ καίνω B.

2. καινίς] καινὴς Fl. Correxi ex M. qui sola verba habet καινὶς γὰρ ἡ μάχαιρα.

24. ἀντὶ τοῦ om. I.

29. περιφραστικῶς post δίκτυα B.I.

1317. *κατά-τητε*: ἐν καταστάσει γίνεσθε καὶ μὴ θορυβεῖσθε. ἀναδράμετε, φησίν, εἰς τὴν προτέραν κατάστασιν τῆς ὄψεως, καὶ τὸ μὲν ὄμμα κατεστυγνακὸς ἔχετε, τὸ δὲ πρόσωπον ἀνύποπτον τῶν πεπραγμένων χάριν, τουτέστι προσποιεῖσθε καὶ νῦν κατηφεῖς εἶναι καὶ λυπεῖσθαι διὰ τὸν Ὀρέστην, ἵνα μὴ περιχαρεῖς ὑμᾶς ὁρῶσα συνῇ τὸ κατὰ τῆς Ἑλένης πραττόμενον. B.C.M.I. *πάλιν κατάστητε*: ὥσπερ πρότερον, πρὸ τοῦ ἐλθεῖν αὐτὴν δηλονότι, ἐν ἡσύχῳ μὲν ὄμματι, ἤγουν ἀταράχῳ, ὡς ἀνελπίστως ἔχουσαι δηλονότι καὶ ἠπορημέναι, καὶ ἐν χροιᾷ ἀδήλῳ, ἤγουν ἀνυπόπτῳ ἕνεκα τῶν πεπραγμένων. Cant. Gr.

1318. *ἀδήλῳ*: τῇ τοῦ προσώπου διαθέσει ἀνυπόπτως. B. ζοφώδει καὶ ἀφανεῖ χαρᾶς, ἀνυπόπτῳ. Gu.

1320. *οὐκ εἰδυῖα τἀξειργασμένα*: οὐ γινώσκουσα τὰ γεγενημένα. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1322. *στέψασα*: κοσμήσασα. I. διὰ τοῦ τῆς μητρὸς πλοκάμου τιμήσασα. Gu. *σπείσασα*: θυσιάσασα τοῖς κάτω θυσίας. I. *χοάς*: ἃ ἔθος τοῖς νεκροῖς πέμπεσθαι. Gu.

1323. *ἥκω λαβοῦσα*: ἦλθον, φησίν, ἐξευμενισαμένη τὴν ψυχὴν τῆς Κλυταιμνήστρας. παρὰ δὲ τὸ πρᾶον καὶ εὐμενὲς συντέθειται τὸ ὄνομα, ἀντὶ τοῦ πραϋμενής. B.C.M.I. *πρευμένειαν*: πραότητα, εὐμένειαν. B.I. συμπάθειαν, ἱλασμὸν πατρὶ καὶ μητρί. Gu.

1324. *ἥντιν᾽ ἐν δόμοις—βοήν*: διὰ τὴν βοήν, ἥντινα ἤκουσα ἐν τοῖς δόμοις. Gr. δέον εἰπεῖν πρὸς τὸ φόβος βοὴ ἥντινα κλύω, ἐπειδὴ τὸ ἥντινα προύθηκε, πρὸς τοῦτο καὶ βοὴν ἐπήγαγεν. Gu. I.

1325. *τηλουρὸς οὖσα*: πόρρω οὖσα, ἤτοι τῆλε τῶν ὁρίων τῆς οἰκίας. ἐν γὰρ τῷ τάφῳ τῆς Κλυταιμνήστρας ἦν. ὁ δὲ λόγος, ἀλλὰ περίφοβος γέγονα διὰ τὴν γενομένην βοὴν ἐν τοῖς οἴκοις, ἣν ἤκουσα πόρρω οὖσα. B.C.M.I. *κλύω βοήν*: λείπει ἡ διά, διὰ τὴν βοήν. B.

1. κατάστητε] ἐν κατάστητε I.
ib. ἐν κ.] ἀντὶ τοῦ ἐν C.
ib. θορυβεῖσθε] θορυβεῖτε C.I.
2. ἀναδράμετε] ἄνδρα μένετε C.
3. κατεστυγνακὸς] κατεστυγνωκὲς I.
5. λυπεῖσθαι] λυπεῖσθε B.C.M.
ib. περιχαρεῖς ὑμᾶς] περιχαρὴς ἡμᾶς C.
ib. τὸ—πραττόμενον] τὸν κατὰ τῆς μητρὸς αὐτῆς ἑλένης πραττόμενον φόνον B.I.
17. τὴν ψυχὴν] τὸν τάφον I.
18. τῆς Κ.] τῆς om. B.M.
19. πραϋμενής] πραϋμένης M. πρευμένειαν C. omisso ἀντὶ τοῦ.
ib. εὐμένειαν etiam M., et in marg. πραείαν.
20. συμπάθειαν etiam B.
24. Lemma et πόρρω οὖσα om. C.
ib. πόρρω—ὁρίων] μακρὰν, τῆλε τῶν ὁρίων οὖσα M.
27. λείπει διά, omissis reliquis, I.

1326. τί δ' ἄξι' ἡμῖν: τί δὲ ἥρμοζεν ἄλλο; τὰ πράγματα ἡμῖν ἄξια στεναγμάτων τυγχάνει. Gr. τί δ' ἄλλο ἥρμοζεν ἡμῖν; τὰ πράγματα ἡμῖν ἄξια τυγχάνει στεναγμάτων. I. πεπόνθαμεν ἄξια στεναγμάτων. ἢ οὕτως· πῶς, φησὶν, οὐκ ἀξίως στενάζομεν, θανεῖν κατακριθέντες; B.C.M.I. τί δέ: καινὸν, εἴ ἤκουσας. Gu. Fl. 6. ἔστι ὃ λέγεις. Fl. 33.

1327. εὔφημος ἴσθι: εὐφήμει· τί δὲ καινὸν λέγεις; I.

1328. θανεῖν: ἐκυρώθη, ἐψήφισται τῷ Ἄργει θανεῖν Ὀρέστην καί με. Cant.

1329. μὴ δῆτ': εἴθε μὴ γένοιτο θανεῖν ὑμᾶς. Gr. et Gu. I. πεφυκότας: ὑπάρχοντας. Gu. I.

1330. ἄραρ': ἥρμοσται. I. ἥρμοζε, προσῆκεν. Gr. ἡρμόσθη, κεκύρωται, ἐκύρωθη. Gu. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 75. ἀνάγκης—καθέσταμεν: εἰς τὸν ζυγὸν δὲ τῆς δουλείας ὑπάρχομεν. I. ἤγουν ἀναγκαῖον καὶ ἀπαραίτητόν ἐστι τοῦτο. Gu. Fl. 6. ἐστάθημεν. ἢ ἀπὸ τοῦ καθεστήκαμεν κατὰ συγκοπὴν ἀντὶ τοῦ ὑπάρχομεν. Gu.

1331. ἦ τοῦδ' ἕκατι: ἆρα χάριν τούτου ἐστὶν ἡ βοὴ κατὰ τοὺς οἴκους; I.

1332. ἱκέτης: παρακλήτωρ. I. ἀντὶ τοῦ ἱκετικῶς. Gr. Fl. 6. 9. 21. 56. 59. 76.

1333. οὐδὲν οἶδα μᾶλλον: οὐδὲν πλέον οἶδα. Gr. Florr. iidem. πλέον ἢ πρότερον. Gu.

1334. τλήμων Ὀρέστης: ἀντὶ τοῦ ὑπὲρ ἐμοῦ παρακαλεῖ. B.M. προσπεσὼν βοᾷ ὑπὲρ αὐτοῦ. Gu. βοᾷ μὴ θανεῖν αὐτὸς, καὶ ὑπὲρ ἐμοῦ, ἵνα μὴ θάνω. Gr.

1335. ἐπ' ἀξίοισί τἄρ': ἀξίως ὅτι καὶ ὁ οἶκος θρηνεῖ δι' ἡμᾶς. ἐὰν μὲν ἂν εὐφημεῖ γράφηται, ἀντὶ τοῦ δυσφημεῖ νοητέον, ἵν' ᾖ κατὰ ἀντίφρασιν εἰρημένον, συνδέσμου ὄντος τοῦ ἄν· ἐὰν δὲ ὑφ' ἓν, ἀνευφημεῖ, ἀντὶ τοῦ κατευφημεῖ καὶ ἀναθρηνεῖ ὁ δόμος, καὶ σημαίνει

3. πεπόνθαμεν] ἄλλως praef. in I.
4. στεναγμάτων. ἢ οὕτως] στεναγμῶν. ἄλλως M.
ib. οὐκ ἀξίως—κατακριθέντες] ἄξια ἡμῶν στενάγματα ἀντὶ τοῦ οὐκ ἀξίως στενάζομεν M.
8. ἐκυρώθη et τῷ Ἄργει etiam Gr.
10. ὑμᾶς] συγγενεῖς ὑπάρχοντας addit I.
26. ἡμᾶς] ὑμᾶς B.
27. ἂν scripsi pro οὖν.
ib. εὐφημεῖ] εὐφημῇ M.
ib. γράφηται (γράφεται I. γρ. B.) om. M.
29. κατευφημεῖ] κακευφημεῖ (sic) M. καταφημεῖ I.
ib. καὶ σημαίνει] ὅ ἐστι M. καὶ om. B.

τὸ ἀνηχεῖ. B.M.I. τὸ ἄρα ἐπὶ τοῖς τραγικοῖς συλλογιστικὸν ὂν καὶ προπαροξύνεται καὶ προπερισπᾶται κατὰ τὴν τοῦ μέτρου χρείαν. Fl. 21.

1336. περὶ τοῦ γάρ: περὶ τίνος γὰρ ἄλλου φθέγξαιτό τις, ἢ θρηνήσειεν, ἢ ὅτι ἡμεῖς ἀπολλύμεθα; Ἄλλως. διὰ ποῖον γὰρ ἄλλο ἔμελλέ τις βοᾶν ἐν τοῖς οἴκοις; B.M.I. ἀλλ' ἄπελθε, καὶ μετάλαβε τῆς παρακλήσεως τοῖς φίλοις, προσπεσοῦσα τῇ μητρὶ τῇ μεγάλως μακαρίᾳ, ὥστε τὸν Μενέλαον μὴ ἀνέξεσθαι ἰδεῖν ἡμᾶς ἀποθανόντας. ἀλλ', ὦ Ἑρμιόνη ἡ ἀνατραφεῖσα διὰ τῶν χειρῶν τῆς μητρός μου, ἐλέησον ἡμᾶς καὶ ἐλάφρυνον ἀπὸ τῶν κακῶν. ἄγε ἐλθὲ εἰς ἀγῶνα, ἐγὼ δὲ ὁδηγήσω· σὺ γὰρ ἔχεις μόνη τὸ στήριγμα τῆς ἡμῶν σωτηρίας. I.

περὶ τοῦ γὰρ ἄλλου: ἢ περὶ τοῦ σωθῆναι. Gu.

1337. μετάσχες: συμμετάσχες. Gr. Fl. 17. 59. 79. μέτοχος γενοῦ. Fl. 6. κοινώνησον. Gu. Fl. 6.

1338. τῇ μεγ' ὀλβίᾳ: τῇ μεγάλως μακαρίᾳ, εὐδαίμονι, εἰρωνικῶς. Gu. τῇ μεγάλως μακαρίᾳ. Gr.

1342. ἴθ' εἰς ἀγῶνα δεῦρ': ἐσχηματισμένον· τὸ γὰρ φαινόμενόν ἐστιν εἰς ἀγῶνα λόγων παρακλητικῶν, τὸ δὲ νοούμενον εἰς ἀγῶνα θανάτου. Gu.

1343. σωτηρία γάρ: ἀντὶ τοῦ, ἐν σοὶ ἐστὶν ἡ σωτηρία ἡμῶν. δήλωμα δέ ἐστι τοῦτο. B.M.I. τέρμα: τέλος. Gu. Fl. 6. 17.

1344. ἰδού, διώκω: ἰδού, ἐλαύνω τὴν πορείαν εἰς δόμους. σεσωσμένοι ἐστὲ ὅσον ἐπὶ τῇ ἐμῇ γνώμῃ. I. διώκω: ἐλαύνω. Gr. ἐμβάλλω, εἰσάγω, κινῶ. Gu.

1345. ὅσον γε τοὐπ' ἔμ': ὅσον τὸ κατὰ τὴν ἐμὴν δύναμιν. Gu. ὦ κατὰ στέγας: ὦ ὑμεῖς οἱ κατὰ τοὺς οἴκους ξιφηφόροι, οὐ συλλήψεσθε τὴν Ἑρμιόνην; I. ξιφήρεις: οἱ ξίφη βαστάζοντες. Fl. 6. ἄγραν: θήραμα. Fl. 6.

1347. οἳ 'γώ: οἴμοι, τίνες εἰσὶν οὗτοι, οὓς εἰσορῶ; Gr. I. σιγᾶν πρέπον: ἡμῖν γὰρ ἦλθες, οὐχὶ σεαυτῇ σωτηρία. I.

1349. ἔχεσθε: αὐτῆς. Gu.

1351. οὕνεκ' ἄνδρας: τὸ ἑξῆς, οὕνεκ' ἄνδρας Φρύγας κακοὺς εὑρὼν οὐκ ἔπραξεν αὐτοὺς οἷα χρὴ πράσσειν κακούς. B.M. τὸ ἑξῆς, ὅτι

1. ἀνηχεῖ M. ἐνηχεῖ B. 22. δήλωμα δέ ἐστι τοῦτο om. I.

ἠχεῖ, τὰ κλεῖθρα τῶν βασιλείων δόμων. Gr. ἀλλὰ κτυπεῖ γάρ: ἐξιών τις ψοφεῖ· τοῦτο γὰρ ἔθος ταῖς θύραις. τούτους δὲ τοὺς τρεῖς στίχους οὐκ ἄν τις ἐξ ἑτοίμου συγχωρήσειεν Εὐριπίδου εἶναι, ἀλλὰ μᾶλλον τῶν ὑποκριτῶν, οἵτινες, ἵνα μὴ κακοπαθῶσιν ἀπὸ τῶν βασιλείων δόμων καθαλλόμενοι, παρανοίξαντες ἐκπορεύονται τὸ τοῦ Φρυγὸς ἔχοντες σχῆμα καὶ πρόσωπον, ὅπως διὰ τῆς θύρας εὐλόγως ἐξιόντες φαίνωνται. ἐξ ὧν δὲ αὐτοὶ λέγουσιν ἀντιμαρτυροῦσι τῇ διὰ τῶν θυρῶν ἐξόδῳ. φανερὸν γὰρ ἐκ τῶν ἑξῆς ὅτι ὑπερπεπήδηκεν. B.M.I.

1368. οὐ πευσόμεσθα: ἀφ' οὗ ἀκούσομεν πῶς τὰν δόμοις διάκειται. I.

1369. Ἀργεῖον ξίφος: ἐντεῦθεν, φασὶν, ἐξέστη τοῦ ἰδίου ἔθους ὁ Εὐριπίδης, ἀνοίκεια ἑαυτῷ λέγων. B.M.I. οὗτος ὁ Φρὺξ εὐνοῦχος ὢν ἄλλου μὲν οἰκήματος ὑπερπηδήσας τὰ στέγη, ἐν ἄλλῳ δὲ ἐλθὼν, καὶ ἠσφαλισμένας εὑρὼν τὰς τούτου πύλας, τὰ τούτων κλεῖθρα συντρίψας ἐξῆλθεν. Gu. Ἀγεῖον ξίφος πέφευγα ἐκ θανάτου φυγὼν δηλονότι. Cant. Gr. διὰ τοῦ εἰπεῖν Ἀργεῖον ξίφος καὶ βαρβάροις ἐν εὐμαρίσι τοῦτο λέγει, ὅτι ἐγὼ ὁ βάρβαρος πέφευγα τοὺς Ἕλληνας. Cant. Gu. Fl. 6.

1370. βαρβάροις ἐν εὐμαρίσιν: ἐν ὑποδήμασι βαρβαρικοῖς· εὐμαρὶς γὰρ εἶδος ὑποδήματος βαρβαρικοῦ. Gr. Cant. Fl. 6. 9. 17. 21. 56. 59. 76. εὐμαρὶς εἶδος ὑποδήματος σανδαλώδους. πεποίηται δὲ ἀπὸ τοῦ εὐμαρῶς ὑποδεῖσθαι. παροξύνεται ἐν τῇ καθόλου. B.M. Gu. I.

1371. κεδρωτὰ παστάδων τέρεμνα: τὰ ἐκ κέδρου ξύλα. παστάδων δὲ τῶν κοιτώνων. τέρεμνα δὲ τὰς ὑψηλὰς στέγας. φαίνεται δὲ

3. ἐξ ἑτοίμου om. I.
5. ἐκπορεύονται] εἰσπορεύονται B.
6. πρόσωπον] προσωπεῖον Cobetus.
ib. ὅπως] ὅπως ἂν Cobetus. ὅμως οὖν M. ὅμως B.I.
ib. τῆς θύρας B.M. θυρῶν I.
7. φαίνωνται Cobetus pro φαίνονται. Post φαίνονται M. addit τούτου προενέταξεν.
8. γὰρ Cobetus pro δέ.
11. φασὶν om. M.
ib. ἔθους] ἤθους M.
21. εὐμαρὶς—σανδαλώδους] εὐμαρὶς δὲ (δὲ etiam I.) σανδαλῶδες B. qui scholion hoc habet post p. 298, 6. ut I.
ib. πεποίηται δὲ om. Gu.
22. ὑποδεῖσθαι] ὑποδεδέσθαι Gu.
ib. παροξύνεται ἐν τῇ κ. om. Gu. I. In B. ἐν δὲ τῇ καθόλου, annotatione mutila, quae ad accentum nominis εὔμαρις spectat, quod inter barytona in ῐς ab Herodiano memoratum fuisse ἐν τῇ ά τῆς καθόλου ex Arcadii Epitome intelligitur p. 34, 4.
25. τέρεμνα] τέραμνα B. τεράμνια I.
ib. στέγας] οἰκίας I.
ib. φαίνεται—στέγας om. I.

ἐκ τούτων ὑπερπεπηδηκὼς τὰς ὑψηλὰς στέγας. Ἄλλως. ἀντὶ τοῦ ὑπὲρ τεράμνων. ταῦτα οὗτός φησιν ὡς ὑπερπεπηδηκὼς τῶν ἔσω τινὸς οἴκων. παστάδων γὰρ τῶν θαλάμων. Αἰσχύνης δὲ τὴν ὑπέρ ἀντὶ τῆς πρό φησιν, ἵν᾽ ᾖ ἀντὶ τοῦ πρὸ τεράμνων. τριγλύφους δὲ, ἐπεὶ παρὰ Δωριεῦσι γλυφή τις ἦν ἣ ἐκαλεῖτο τρίγλυφος, ἢ ὡς τῶν Δωριέων καταδειξάντων τὰς γλυφὰς τῶν ὀρόφων. B.M.I.

κεδρωτά: ὑπὲρ τὰς ὑψηλὰς στέγας τῶν παστάδων τὰς ἐκ κέδρου κατεσκευασμένας. Cant. τέρεμνα: στεγάσματα. τέρεμνον κυρίως τὸ ἄκρον. Gu.

1372. Δωρικάς τε τριγλύφους: καὶ ὑπὲρ τὰς Δωρικὰς τριγλύφας. κατασκευαί τινες ἦσαν τριγλύφαι ἐκ ξύλων ποικίλως γεγλυμμέναι. Bar. Gr. τὸ Δωρικὰς τριγλύφους καὶ τὸ κεδρωτὰ ταυτόν ἐστι. Bar. Gu. Πελοποννησιακάς. τὰς κατὰ πολὺ γεγλυμμένας ἤτοι ποικίλας στέγας· τοιαῦται γὰρ αἱ τῶν Δωριέων. Gu. θυρίδας. B. rec.

1373. φροῦδα γᾶ: διχῶς ἄν τις τοῦτο ἐκδέξαιτο· καθ᾽ ἕνα μὲν τρόπον, ὅτι ἡ γῆ τῶν Ἀργείων ἀφανής ἐστι τοῖς βαρβάροις δραπετεύουσι, καθὸ ἄπειροι τῶν τόπων. ἐπεὶ ὑπερβαίνει τὰ βασίλεια καὶ μὴ διὰ τοῦ ἐδάφους τὴν πορείαν ποιεῖται, διὰ τὸ ὕψος ἀφανῆ φησιν εἶναι τὴν γῆν αὐτῶν. τὸ δὲ βαρβάροις δρασμοῖς πρὸς τὸ ἐχόμενον ληπτέον, οἷον βάρβαρος ὢν οὐκ οἶδα ποῖ φύγω· καὶ γὰρ οὐκ εἰμὶ τῶν τόπων ἐθάς. ἢ οὕτως· ἐπεὶ μὴ διὰ γῆς ποιεῖται τὴν πορείαν, ἀλλ᾽ ὑπερβὰς ἥλατο, ἀφανῆ φησιν ἑαυτῷ εἶναι τὴν γῆν. ἢ τὸ φροῦδα γᾶ ἐπὶ τῆς Ἰλίου φησίν· ἐρωτώμενος γὰρ τὸ ἐμοί φησιν Ἴλιον Ἴλιον, ὤμοι μοι, τουτέστιν ἐμοῦ τοῦ βαρβάρου φεύγοντος πάνυ ἀφέστηκεν ἡ πατρίς. B.I. φροῦδα: διὰ μέσου. Cant. Gr.

1. Ἄλλως addidi.
2. ἔσω] ἔξω I.
5. τριγλύφους—ἦν] τριγλύφους παρὰ δωριεῦσι τισὶ γλυφή τις ἦν φρυγῶν M. in quo ab τριγλύφους novum scholion incipit, positum post p. 300, 11.
6. τὰς γλυφὰς τῶν ὀρόφων] τὰς ὀρόφων γλυφάς M.
17. ἄπειροι] ἀπείρατοι I. ἀπειράτοις Matth.
18. μὴ addidit Matth.
19. δρασμοῖς] δεσμοῖς I.
20. ποῖ φύγω] ποῖ φεύγω Gu. ποῦ φύγω B.I. Conf. schol. v. 1374.
22. ἥλατο] ἥλλατο B.I.
ib. ἑαυτῷ εἶναι B. εἶναι ἑαυτῷ I.
23. τῆς Ἰλίου] τοῦ ἰλίου I.
24. μοι] φροῦδα γᾶ addit B.
ib. τουτέστιν—πατρίς] Haec etiam iu M. Plura in Gu. φροῦδα γῆ τῆς ἰλίου, τουτέστιν ἐμοῦ φεύγοντος τοῦ βαρβάρου—πατρίς, tum βαρβάροις δρασμοῖς καὶ δραπέταις ἄδηλός ἐστιν ἡ γῆ τῶν Ἀργείων, οἷον βάρβαρος ὢν—ἐθάς. tum inter versus: ἢ τὸ βαρβάροισι δρασμοῖς συναπτέον τῷ ποῖ φύγω, ἵν᾽ ᾖ βάρβαρος ὢν καὶ θέλων φεύγειν, ποῖ φύγω, ὦ ξέναι;

1374. βαρβάροισι δρασμοῖς: βάρβαρος ὢν καὶ φυγεῖν θέλων, ποῖ, φησὶ, φύγω, ξένος ὤν; τὸ δὲ αἶ αἶ ἐπιστένων λέγει. B.M.I. ἀντὶ τοῦ πέφευγα βαρβάροις δρασμοῖς. M. βαρβαρικαῖς φυγαῖς. Cant. Gr.

1375. πολιόν: καθαρόν. Cant. Gr. λευκόν. Gu.

1376. ἀμπτάμενος: ἀνα (i. e. ἀναπτάμενος). Gr. φύγω πετάσας, πετασθείς. Cant. Gu.

1376.—1379. Ὠκεανὸς—χθόνα: καθ' ὃν ὁ Ὠκεανὸς ὁ ταυρόκρανος ἑλίσσων, ἀντὶ τοῦ περιφερόμενος, ἀγκάλαις κυκλοῖ χθόνα, ἤγουν περιλαμβάνει. Cant. Gr.

1378. ταυρόκρανος: τοῦτο ἔξωθεν ὁ ποιητὴς πρὸς ἀναπλήρωσιν τοῦ ἰάμβου προσέθηκεν· οὐ γὰρ ἁρμόττει ἀμαθεῖ γε ὄντι τῷ Φρυγὶ τοῦτο λέγειν. ἀναστρεπτέον δὲ τὴν λέξιν, τουτέστιν ἐν Ὠκεανῷ, ὃς ταυρόκρανος ὢν ἑλίσσων κυκλοῖ χθόνα. καὶ οὗτος δὲ ποταμὸν ὑπείληφε τὸν Ὠκεανὸν, ὡς Ὅμηρος "οὔτε τις οὖν ποταμῶν ἀπέην, νοσφ' Ὠκεανοῖο." ὅτι δὲ κύκλῳ περιρρεῖ τὴν οἰκουμένην ἐσήμανε τὸ "ἀψορρόου Ὠκεανοῖο." ἐπιεικῶς δὲ τοὺς ποταμοὺς ταυροκράνους ἐζωγράφουν τε καὶ ἔλεγον, ἴσως ὅτι παραπλήσια τῷ μυκήματι τῶν ταύρων ἡ ἀπήχησις τοῦ ὕδατος ποιεῖ ἐν τοῖς σφοδρῶς ῥέουσι ποταμοῖς, ἢ διὰ τὸ βίαιον τῶν ὑδάτων, ἅπερ τὴν γῆν διὰ τὰ παρεμπίπτοντα τῶν ὑδάτων ῥήγνυσιν ὡς τοῖς κέρασιν οἱ ταῦροι. ὡς γάρ φησιν ἐν ἄλλοις "ταῦροι δ' ὑβρισταὶ καὶ εἰς κέρας θυμούμενοι." ἐν γὰρ αὐτοῖς ἔχουσι τὴν ἰσχύν. B.M.I.

ταυρόκρανον: οἱ ποταμοὶ, φασὶ, ταυρόκρανοι διετυποῦντο, ἢ ὅτι μυκηθμῷ εἰσι παραπλήσιοι παρὰ τὰς ἐκβολὰς—καὶ Ὅμηρος "τοὺς

2. ποῖ] ποῦ I.

ib. ξένος ὤν] ὦ ξέναι B.I.

12. ἀμαθεῖ γε ὄντι τῷ Φρυγὶ] τῷ φρυγὶ ἀμαθεῖ ὄντι I.

ib. Φρυγὶ] φρυγίῳ M.

13. ὃς—κυκλοῖ χθόνα om. M.

14. κυκλοῖ] κύκλῳ I.

ib. οὗτος] οὕτως M.

15. ὡς (καὶ pro ὡς I.) Ὅμηρος] Il. 20, 7. et 18, 400.

17. δὲ τοὺς—τε καὶ om. M. Simile scholion in C. ὁ ἔχων κέρατα ταύρου. ζωγραφοῦσιν οἱ παλαιοὶ τοὺς ποταμοὺς ταύρους ὅτι ταύρων ἔχοντας κεφαλάς. καθὸ οἱ ποταμοὶ κατὰ τὸν ἦχον αὐτῶν ὡς μυκισμὸς (sic) βοὸς ἀποτελεῖται, κατὰ τοῦτο καὶ ταυρόκρανον αὐτὸν ἱστοροῦσι:—

18. ἔλεγον] λέγον M.

ib. τῷ μυκήματι] τὰ μυκήματα B.M.

19. ποιεῖ om. M.

20. ἅπερ] ὅπερ M.

ib. διὰ — ῥήγνυσιν] διαρρήσσουσι (διαρρήγνυσι B.) παρεμπίπτοντα B.I.

21. ἐν ἄλλοις] Bacch. 699.

22. καὶ εἰς] καὶ om. I. Euripides κὰς scripserat.

25. Ὅμηρος] Il. 21, 237.

δ' ἔκβαλλε θύραζε μεμυκὼς ἠΰτε ταῦρος"—ἢ ὅτι σχίζουσι τὴν γῆν ὡς οἱ βόες, ἢ διὰ τὸ τὰς νομὰς παρὰ τοὺς ποταμοὺς εἶναι, ἢ διὰ τὸ καμπὰς ποιεῖν ὡς κεράτων. Bar. Gr. ταυροκράνους φασὶ τοὺς ποταμοὺς ποιηταί, ἢ διότι ὁ τῶν ὑδάτων ἦχος ἔοικε μυκήμασι ταύρου, ἢ διότι καὶ τὸ ὕδωρ τὰς ἄνω πηγὰς ἐοικυίας ἔχει κεφαλῇ ταύρου· ὥσπερ γὰρ αὕτη κέρασιν ἐσχημάτισται, οὕτω κἀκεῖναι· δοκοῦσι γὰρ ὥσπερ κέρατα, εἴ τις αὐτοὺς ὁρῴη, οἱ ἐκ τῶν τῆς γῆς στενῶν πόρων ἐκρέοντες κρουνοὶ καὶ εἰς ἓν συνιόντες. Bar. Gu.

1382. Ἴλιον Ἴλιον: τὸ Ἴλιον λέγει, καὶ τοῦτο εἰπὼν ἐπιστένει. φανερὸν δὲ ἐκ τοῦ καὶ πάλιν ἐρωτηθέντα ὑπὸ τοῦ χοροῦ "τί δ' ἔστιν, Ἑλένης πρόσπολε" εἰπεῖν "Ἴλιον Ἴλιον, ὤμοι μοι." B.M.I. Ἴλιον Ἴλιον: ἐρωτηθεὶς ὁ Φρὺξ ὑπὸ τοῦ χοροῦ πάλιν εἶπεν Ἴλιον Ἴλιον, ὤμοι μοι, τό τε Ἴλιον καὶ τὴν καλλίβωλον Ἴδην τῇ ἐμαυτοῦ βαρβάρῳ φωνῇ στένω. ὁ δὲ λόγος, στένω τὰ εἰρημένα ἀπολόμενα διὰ τὸ τῆς Ἑλένης κάλλος, καὶ τὸ ἁρμάτειον μέλος τὸ ἐπὶ τοῖς κακοῖς ᾀσθέν. τινὲς δὲ τοῦτο παρεπιγραφὴν εἶναί φασιν ὡς εἰς τὰ κωμικὰ δράματα. B.M.I.

Ἴλιον Ἴλιον: ἐρωτήσαντος τοῦ χοροῦ τὸν Φρύγα τὰ περὶ τῆς Ἑλένης, ὁ δὲ οὐ περὶ αὐτῆς ἀπεκρίθη, ἀλλ' ὥσπερ ἐμμανὴς ὢν τῷ φόβῳ εἰς μνήμην ἔρχεται τῆς Τροίας ἁλώσεως καὶ τῆς τοῦ Γανυμήδους ἁρπαγῆς. ἔστι δὲ τὸ ὀλόμενον πρὸς τὸ ἄστυ, τὸ δὲ Ἴδης ὄρος καὶ τὸ ὤμοι μοι διὰ μέσου. σύναπτε οὖν τὸ ὀλόμενον πρὸς τὸ διὰ τὸ τᾶς ὀρνιθόγονον ὄμμα. Bar. Gu. ἡ δὲ σύνταξις τὸ Ἴλιον Ἴλιον οὕτως ἔχει· ὦ Ἴλιον Φρύγιον ἄστυ καλλίβωλον καὶ εὔγειον, στένω καὶ στενάζω σε ἐν βαρβάρῳ βοᾷ μέλος ἁρμάτειον καὶ λεπτόν, ὡς ὀλλύμενον καὶ ἀπολεσθὲν διὰ τὸ ὀρνιθόγονον κυκνόπτερον ὄμμα τῆς Ἑλένης, τὸν σκύμνον καὶ τὸ γέννημα τῆς καλλοσύνης καὶ εὐμόρφου Λήδας, τὴν Ἐρινννὺν καὶ τὴν φθορὰν τῶν ξεστῶν περγάμων Ἀπολλωνίων,

2. παρὰ] περὶ Bar.

9.—11. In B.M.I. hoc scholion legitur post πατρίς p. 298, 25., in I. cum lemmate Ἴλιον Ἴλιον, in B.M. cum αἶ αἶ (αἶ αἶ M.) πᾶ φύγω.

9. τὸ Ἴλιον] τὸ ἴδιον M.

10. ὑπὸ] ἀπὸ B.I.

11. ὤμοι μοι om. M. Pergit B. ἄλλως. βαρβάροισι etc. (p. 299, 1.)

12. ὁ Φρὺξ post εἶπεν M.

14. στένω om. M.

15. τοῖς κακοῖς] τοῖς om. M.

16. παρεπιγραφὴν scripsi pro παρεπίγραφον.

ib. φασιν om. M.

ib. ὡς εἰς M. ὡς (εἰς a m. pr. superscr.) B. ὡς om. I.

21. ὀλόμενον] ὀλλύμενον Gr.

22. ὀλόμενον] ὀλλύμενον Gu. ὀλλούμενον Bar.

ἤγουν τῶν ὑπ' Ἀπόλλωνος κτισθέντων τειχῶν τῆς Τροίας. τὸ δὲ ὡς τοῦ ὀλόμενον εἰ μὲν ἀντὶ τοῦ λίαν ἐρεῖς, πρὸς τὸ στένω συνάψεις, εἰ δὲ ἀντὶ τοῦ καθά, πρὸς τὸ ὀλλύμενον. Bar. Gu.

1383. καλλίβωλον: εὔγειον, εὔκαρπον. Gu.

1384. ἱερόν: μέγα ἢ θεῖον. Gu. Fl. 6. διὰ τὸ τιμᾶσθαι ἐν αὐτῷ Δία καὶ Ἥραν. Gu.

1385. ἁρμάτειον μέλος: τὸ ἁρμάτειον μέλος ὁ Δίδυμός φησιν ὠνομάσθαι, ὅτι αἱ ἀρχαῖαι παρθένοι εἰς τοὺς θαλάμους διὰ τῶν ἁρμάτων ἤγοντο· ὅθεν ἔτι καὶ νῦν πάροχοι λέγονται ἀπὸ τοῦ τοῖς ὄχεσι παρεδεῖσθαι καὶ ὑμέναιον ᾄδειν ὡς ἐπιθαλάμιον ἐν τοῖς θαλάμοις. ὅθεν τοίνυν ὁ βάρβαρος, ἐπειδὴ συνέβη ὁ τῆς Ἑλένης γάμος, ὃν Πάρις συνετέλεσεν ἐπὶ κακῷ τοῖς Τρωσὶ γενέσθαι, καὶ τὸν αὐτοῖς ὑμέναιον ᾀσθέντα κατὰ ἀνάμνησιν ἀναστενάζει, τὸν ἐπὶ κακῷ τοῖς Τρωσὶν ὑμέναιον ἐπιτελεσθέντα. ἔνιοι δὲ ἁρμάτειον τὸν θρῆνόν φασι τὸν ἐπὶ τῷ ἑλκυσμῷ τοῦ Ἕκτορος γενόμενον. Ἀπολλόδωρος δὲ ὁ Κυρηναῖος ἐπιγράφει, λέγων εἶναι ἁρμόδιον ὦ Ἴλιον. εἰ δὲ ἦν παρεπιγραφή, ἅπαξ ἂν ἐπεγράφετο τὸ Ἴλιον ἀπώλεσεν. ἔνιοι δὲ τὸν ἐκπεπηδηκότα Φρύγα εὐνοῦχόν φασιν εἶναι, τοὺς δὲ εὐνούχους ἐπιεικῶς ὀξυφώνους ὑπάρχειν. τὸ οὖν ὀξύτονον ἁρμάτειον αὐτὸν φάναι διὰ τὸ τὸν ὑπαξόνιον τῶν ἁρμάτων ἦχον ἀνατεταμένον τε καὶ ὀξὺν εἶναι. ὅτι δὲ εὐνοῦχος ἦν φησιν "οὔτε γὰρ γυνὴ πέφυκας οὔτ' ἐν ἀνδράσιν σύ γ' εἶ," καὶ πάλιν "ὀξὺ γὰρ βοῆς ἀκοῦσαν Ἄργος ἐξεγείρεται." εἰσὶ δὲ καὶ ἄλλαι αἰτίαι, ἃς ἐκτίθεται ὁ ὑπομνηματισάμενος. ὁ λόγος οὗτος· τὸ Ἴλιον καὶ τὴν Ἴδην, ἔτι δὲ καὶ τὸν Ἕκτορα, καὶ τὸ ἐπὶ τῷ ἑλκυσμῷ τούτου μέλος θρηνῶ βαρβάρῳ βοᾷ. B. I. ἁρμάτειον γὰρ μέλος τὸν θρῆνόν φασι τὸν ἐπὶ τῷ ἑλκυσμῷ τοῦ Ἕκτορος γενόμενον, ἵν' ᾖ οὕτως, τὸ Ἴλιον καὶ τὴν Ἴδην, ἔτι δὲ καὶ τὸν

10. παρεδεῖσθαι] παροχεῖσθαι Heath.

ib. καὶ ὑμέναιον ᾄδειν addidi ex B. omissis reliquis quae post ᾄδειν infert, τὸ δὲ ᾀδόμενον ἁρμάτειον ἐκάλουν ἀπὸ τοῦ ταῖς παρθένοις διὰ τῶν ἁρμάτων ἀγομέναις παρεδεῖσθαι.

15. γενόμενον] ἀναιρεθέντος γὰρ Ἕκτορος addit B. et omittit δὲ post Ἀπολλόδωρος.

16. ἐπιγράφει, λέγων εἶναι ἁρμόδιον ὦ Ἴλιον] Recte, ut videtur, Kirchhoffius παρεπιγραφὴν λέγει εἶναι ἁρμόδιον τῷ Ἴλιον.

ib. παρεπιγραφὴ] παρεπιγράφου (sic) B. παρεπίγραφον est in scholio ad v. 1382. ubi παρεπιγραφὴν restitui.

17. τὸν ἐ.—εἶναι] τὸν φρύγα τὸν ἐκπεπηδηκότα εὐνοῦχον φασί I.

19. τὸ οὖν ὀξύτονον] τὸν οὖν ὀξύτονον τὸν B.

21. φησιν] V. 1528. 1530.

ib. γὰρ om. B.I.

22. ἀκοῦσαν scripsi ex v. 1530. ἐπακοῦσαν B. ὑπακοῦσαν (sic) I.

Ἕκτορα καὶ τὸ ἐπὶ τούτῳ μέλος θρηνῶ βαρβάρῳ βοᾷ. ἔνιοι δὲ ἁρμάτειον τὸν ὑμέναιον τὸν ἐπὶ ἅρμασι τῶν νυμφῶν ᾀδόμενον ὡς ἐπιθαλάμιον. τοῦτο γάρ φησιν ὁ Φρύξ, ὑπομνησκόμενος στενάζω τὸν Ἑλένης ὑμέναιον. οἱ δὲ ἁρμάτειον τὸν ὕμνον, ἐπεὶ συντόνῳ φωνῇ κεχρηται. M.

ὥς σ'—ἁρμάτειον: λίαν σε στένω, ἤγουν θρηνῶ, φθαρὲν ἁρμάτειον μέλος βαρβάρῳ βοῇ, ἤγουν θρηνῶ σε θρῆνον ἁρμάτειον βαρβάρῳ βοῇ. ἁρμάτειον δὲ θρῆνον λέγουσιν εἶναι ὃν ἐποίησαν ἐπὶ τῷ Ἕκτορι ἑλκομένῳ διὰ τοῦ ἅρματος. Bar. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἁρμάτειον μέλος: ἀντὶ τοῦ λεπτὸν, ὀξύφωνον, παρ' ὅσον καὶ ὁ ἄξων τοῦ ἅρματος τοιαύτην ἀποπέμπει φωνὴν τρύζων. οὗτος οὖν ὁ εὐνοῦχος τοιαύτην εἶχε φωνήν. Bar. Gu.

1386. βοᾷ: ἀπὸ κοινοῦ τὸ στένω. B.M.

1387. διὰ τὸ τῆς ὀρνιθογόνου: στένω, φησὶ, τὸ Ἴλιον ἀπολόμενον διὰ τὴν δυσώνυμον Ἑλένην, δι' ἣν καὶ ὁ Ἕκτωρ ἀνῃρέθη. εὕρηται δὲ ἑξῆς τοῦ ῥητοῦ διὰ τῆς ὄρνιθος τὸ κυκνόπτερον ὄμμα καλλοσύνας Λήδας. ὄμμα δὲ λέγει ἀπὸ τοῦ εὐπρεπεστάτου μάλιστα μέρους αὐτὴν ὀνομάσας. ὀρνιθόγονον δὲ αὐτὴν εἶπεν, ὅτι μεταβληθεὶς ὁ Ζεὺς εἰς κύκνον ἐγέννησεν αὐτὴν τῇ Λήδᾳ συνελθών. τὸ δὲ ὀρνιθόγονον καὶ κυκνόπτερον τὸ αὐτὸ σημαίνει. τινὲς δὲ τὸ ὀρνιθόγονον ἐπὶ τῆς Λήδας ἐξεδέξαντο. φασὶ γὰρ αὐτὴν εἰς Νέμεσιν μεταβληθεῖσαν οὕτω συνελθεῖν τῷ κύκνῳ. καλλοσύνας δὲ Λήδας ἀντὶ τοῦ περικαλλεστάτης. ὁ δὲ λόγος, στένω τὸ Ἴλιον ὀλόμενον διὰ τὸ τῆς δυσωνύμου Ἑλένης

4. In B. τὸ σύντονον. ἐπεὶ συντόνῳ φωνῇ κέχρηται.

10. ἀντὶ τοῦ—] Priora habet etiam Flor. 6. sed pro τοιαύτην ἀποπ. φ. τρ. dat οὕτω λεπτὸν ἠχεῖ θρήνημα. MATTH.

14. στένω] δὲ add. M.

ib. ἀπολόμενον] ἀπολλόμενον I.

17. λέγει] τῆς Ἑλένης addit Gu. in quo non totum scholion, sed haec ejus verba: ὄμμα λέγει—ὀνομάσας, tum novo scholio ultima, σκύμνον λέγει καὶ οὐ παῖδα, τὸ ὀλέθριον—τῆς Ἰλίου ἑλενη—ἐγεννήθη.

18. ὀνομάσας] ὠνόμασεν M.

20. τινὲς δὲ τὸ] τὸ δὲ M.

21. ἐξεδέξαντο] ἐξεδέξατο M.

22. Λήδας om. B.I.

23. στένω] στενάζω M.

ib. ὀλόμενον M. ἀπο[illegible]μενον B. τὸ ἀπολλόμενον I.

ib. διὰ τὸ—ἀπείκασεν] διὰ τὸν σκύμνον Λήδας τῆς καλοσύνας ἑλένης τῆς δυσελένης. περιφραστικῶς τὴν ἑλένην σκύμνον καὶ ἀπείκασεν M. Idem hoc scholion habet, περιφραστικῶς τὴν ἑλένην. τὸ ἑξῆς διὰ τὸ ὄμμα ἑλένης δισελένας τὸ ὀρνιθόγονον καὶ κυκνόπτερον καὶ τὸν σκύμνον τῆς καλοσύνας λήδας:— In C. λέγουσιν ὅτι ὁ ζεὺς ἠράσθη λήδας τῆς μητρὸς ἑλένης διὰ τῆς εὐμορφίας (τὴν εὐμορφίαν scribere debebat) αὐτῆς. ἐποίησεν ἑαυτὸν κύκνον καὶ ἀνέβη εἰς βασιλικὸν παλάτιον αὐτῆς καὶ συνεμίγη αὐτῇ. ἐγέννησε τὴν ἑλένην. διὰ τοῦτο λέγει ὁ ποιητὴς ὀρνιθόγονον κυκνόπτερον:— Est recentis grammatici annotatio, ut vocabuli παλάτιον usus ostendit.

κάλλος, ἣν ἐγέννησε κύκνος τῇ περικαλλεστάτῃ Λήδᾳ συνελθών. σκύμνῳ δὲ ἀπείκασεν αὐτὴν τὸ ὀλέθριον αὐτῆς αἰνιττόμενος· ἐπὶ γὰρ ὀλέθρῳ τῆς Ἰλίου ὥσπερ τι θηρίον ἐγεννήθη. σκύμνοι δὲ κυρίως τὰ τῶν λεόντων γεννήματα. B.M.I.

διὰ τὸ τᾶς ὀρνιθογόνου: διὰ τὸ τῆς δυσελένης τῆς σκύμνου, ἤγουν τοῦ γεννήματος, τῆς καλλοσύνης τῆς Λήδας ὀρνιθόγονον ὄμμα κυκνόπτερον, ἤγουν διὰ τὸ κάλλος τῆς δυσελένης, τοῦ γεννήματος τῆς καλλοσύνης, ἤγουν τῆς εὐμορφίας, τῆς Λήδας, τὸ ἐξ ὄρνιθος κυκνοπτέρου γεγεννημένον, τουτέστι διὰ τὴν δυσελένην τὴν ἐξ ὄρνιθος κυκνοπτέρου, τοῦ Διὸς, γεγεννημένην, τὴν σκύμνον τοῦ κάλλους τῆς Λήδας, λέγω τὴν ἐριννὺν, ἤγουν τὴν κατάραν, τῶν ξεστῶν περγάμων, ἤγουν τῶν εὐξέστων ὑψηλῶν οἰκημάτων τῶν Ἀπολλωνίων, τουτέστι τῶν τῆς Ἰλίου, ἥτις ὑπὸ τοῦ Ἀπόλλωνος ἐτειχίσθη. Gr. Bar.

1387. ὀρνιθόγονον τὸ ἐξ ὄρνιθος τὴν γονὴν ἐσχηκός. Bar. τὸ ἐξ ὄρνιθος κυκνοπτέρου γεγεννημένον. Gu. τὸ ὀρνιθόγονον κυκνόπτερον ὄμμα πρὸς τὸ Ἑλένης σύναπτε, τὸ δὲ σκύμνον πρὸς τὸ Λήδας. κυκνόπτερον δὲ λέγει παρ' ὅσον ὁ Ζεὺς κύκνος γενόμενος ἔσπειρε ταύτην. Bar. Gu.

1388. καλλοσύνας: ὡραιοτάτου, εὐμόρφου, τῆς εὐμορφίας. Gu. δυσελένας: ἥτις, φησὶν, Ἑλένη ἐρινὺς γέγονε τῇ Ἰλίῳ. B.M.

1389. ξεστῶν: τετορευμένων, εὐξέστων. Gu. κεκαλλωπισμένων, τετορευμένων. Fl. 6.

Ἀπολλωνίων: Ἀπολλώνιόν φασι τὸ Πέργαμον καὶ τῆς Ἰλίου τὴν ἀκρόπολιν, ἐπεὶ Ἀπόλλωνός ἐστιν ἱερὸν ἐκεῖσε, ὡς Ὅμηρος "Περγάμῳ εἰν ἱερῷ, ὅθι οἱ νηός γ' ἐτέτυκτο." ἢ ἐπεὶ ὁ Ἀπόλλων τὰ τείχη ᾠκοδόμησεν. ἢ Ἀπολλωνίων τῶν ἀπολωλότων, ὡς ἐν τῷ Φαέθοντί φησιν

ὦ καλλιφεγγὲς Ἥλι', ὥς μ' ἀπώλεσας,
κὰκ τοῦδ' Ἀπόλλων εἰκότως κλῄζει βροτοῖς.

B.M.I.

5. τῆς Bar. τοῦ Gr.
11. ξεστῶν] ξυστῶν Gr.
23. τῆς Ἰλίου τὴν ἀκρόπολιν] τὴν ἀκρόπολιν τῆς Ἰλίου M.
24. ἐπεὶ] ἀπὸ M.
ib. ἐστιν ἱερὸν ἐκεῖσε] ἐκεῖσε ῥ̄ . . . M. literis aliquot evanidis.
ib. Ὅμηρος] Il. 5, 446.
25. εἰν] ἐν M.I.
27. Ἥλι'] ἴλιον B.M.I. Correctum ex Macrob. Sat. 1, 17.
28. κὰκ Porsonus pro καί.
ib. τοῦδ' M.I. τόνδ' B.
ib. Ἀπόλλων Macrobius. ἀπόλλων οὕτως B.M.I.
ib. εἰκότως B.M. In I. εἰ cum lacuna, qualis etiam in B. est inter εἰ et κότως, non quod aliquid exciderit, sed propter membranae vitium.
ib. κλῄζει scripsi pro κλῄζῃ.

Τῶν Ἀπολλωνίων, ἤγουν τῶν ὑπ' Ἀπόλλωνος καὶ Ποσειδῶνος οἰκοδομηθέντων, ὅτε ἐθήτευσαν Λαομέδοντι. τοιγαροῦν καὶ ὅτε ἔμελλεν ὑπ' Ἀχαιῶν πορθηθῆναι καὶ ἀφανισθῆναι, εἶδεν Αἰνείας τούτους τοὺς θεοὺς, ὡς ἱστορεῖ Βεργίλιος, τοὺς λίθους, οὓς ἔθηκαν, καταβαλόντας. Bar. Gu. περγάμων: Πέργαμον τὴν ἀκρόπολιν τῆς Τροίας ἔλεγον, ὥσπερ καὶ τὴν τῶν Θηβῶν Καδμείαν. φασὶ δὲ καὶ τὰ ὑψηλὰ τείχη πέργαμα. ἐπὰν οὖν τὸ περγάμων ἀντὶ ἀκροπόλεων νοήσῃς, γίνωσκε ὅτι τὸ ἑνικὸν πληθυντικῶς ἐξηνέχθη. Gu.

1390. ὀττοτοῖ: ἐπίφθεγμά ἐστι θρηνητικόν. καὶ ἰάλεμος ὁ θρῆνος. Δαρδανία δὲ πόλις πλησίον τῆς Τροίας ἀπὸ Δαρδάνου βασιλεύσαντος ἐκεῖσε, ἔνθα ἱπποστάσιον εἶναί φασι τῶν Γανυμήδους ἵππων, ὃς ἦν συνευνέτης τοῦ Διός. ἀναφέρει δὲ ἐπὶ τὰ Ὁμηρικὰ "δῶχ' υἷος ποινὴν Γανυμήδεος." θρηνεῖ δὲ τὸν Δάρδανον καὶ αὐτὸν ἀπολόμενον ἐν τῷ πολέμῳ. τὸ δὲ ἑξῆς, ὦ Δαρδανία τοῦ εὐνέτου τοῦ Διὸς Γανυμήδους ἱπποφορβὲ, δυστυχεστάτη ἕνεκεν τῶν ἰαλέμων, ὅ ἐστι θρήνων. ἢ ὁ λόγος οὕτως, ἰαλέμων ἰαλέμων, καὶ δυστυχεστάτη σὺ, ὦ ἱππικωτάτη Δαρδανία, ἥτις ὑπῆρχες τοῦ Γανυμήδους, καὶ τὰ ἑξῆς. ἢ τοίνυν ἱππικὴν τὴν Δαρδανίαν φησὶν, ἢ τοῦ ἱπποσύνου Γανυμήδους, τουτέστιν ἱππικοῦ. τὴν αὐτὴν δέ φησι Τροίαν καὶ Δαρδανίαν. B.M.I.

ἰαλέμων: τῶν θρήνων, ἀπὸ Ἰαλέμου τῆς Καλλιόπης καὶ Ἀπόλλωνος. τινὲς δὲ τοῦτον τὸν αὐτὸν τῷ Λίνῳ φασὶν, ὃν καὶ ἐπὶ θρήνου καὶ ἐπὶ ὕμνου λέγουσι. B.I. εἶδος θρήνου ὁ ἰάλεμος. Cant. Gr. ἰαλέμων: ἕνεκα τῶν. Gr.

1391. Δαρδανία: τὸ ὦ Δαρδανία ἢ ἀντὶ τοῦ ὦ Τροία νοητέον, ἢ πρὸς τὸ ἱπποσύνα συναπτέον οὕτω· ὦ ἱπποσύνη τοῦ Γανυμήδεος τοῦ

2. Λαομέδοντι] Simile scholion in C. καθότι ὁ μὲν ζεὺς ὀργισθεὶς τῷ ἀπόλλωνι δέδωκεν αὐτῷ (immo αὐτὸν) τῷ λαομέδοντι κτίζων τὴν τροίαν διὰ τὴν δυστυχίαν:—

4. Βεργίλιος] βιργίλος Gu.

9. ἐπίφθεγμα] ἐπιφώνημα I.

ib. καὶ ἰάλεμος ὁ] καὶ et ὁ om. M.

11. εἶναί φασιν M. φασὶν εἶναι B.I.

12.—20. ὃς—Δαρδανίαν] In M. hoc scholion ita est obliteratum ut non magis legi possit quam octo qui post illud sequuntur versus, in quibus scholion v. 1391. τινὲς οὐχ ἵππους—Γανυμήδεος ἀντί fuisse ex literarum quarundam reliquiis intelligitur, adjuncto scholio breviore ad v. 1395. spectante.

12. συνευνέτης] ξυνευνέτης B.I.

ib. Ὁμηρικά] Il. 5, 266.

14. τὸ δὲ] δὲ om. M.I.

22 ὃν] ἦν B.

ib. θρήνου M.B. θρήνῳ I.

23. καὶ ἐπὶ ὕμνου addidi ex B.

25. τὸ ὦ] τὸ δὲ Gu.

26. συναπτέον om. Gu.

Δαρδανίδου, ἤγουν ὦ ἱππηλασία τοῦ Γανυμήδεος τοῦ Δαρδανίου. κρεῖττον δὲ ἐστι τὸ πρῶτον. Bar. Gu.

1392. Γανυμήδεος ἱπποσύνα: ἱππασία τοῦ Γανυμήδους, τοῦ εὐνέτου τοῦ Διός, ἤγουν ἐφ' ᾗ ἱππάζεται ὁ Γανυμήδης ὁ εὐνέτης τοῦ Διός. Cant. Gr. ἱπποσύνα: διφρηλασία, ἱπποστάσιον. Gu.

Τινὲς οὐχ ἵππους, ἀλλὰ χρυσῆν ἄμπελόν φασι δεδόσθαι ὑπὲρ Γανυμήδους, καθάπερ ἐν κύκλῳ λέγει

ἄμπελον, ἣν Κρονίδης ἔπορεν οὗ παιδὸς ἄποινα.
χρυσείην, φύλλοισιν ἀγανοῖσι κομόωσαν
βότρυσί θ', οὓς Ἥφαιστος ἐπασκήσας Διὶ πατρὶ,
δῶχ', ὁ δὲ Λαομέδοντι πόρεν Γανυμήδεος ἀντί.

B. M. I. ὁ Τρὼς εἶχε δύο υἱοὺς, τὸν Γανυμήδην καὶ τὸν Λαομέδοντα. ὁ Γανυμήδης ἄνθρωπος ὢν ἠράσθη αὐτοῦ ὁ Ζεὺς καὶ ἥρπασεν αὐτὸν, καὶ ἀντὶ τῆς ἁρπαγῆς αὐτοῦ ἔδωκεν ἐν τῇ Τροίᾳ καλοὺς καὶ ταχυτάτους ἵππους. C.

1393. σαφῶς: φανερῶς εἰπὲ ἡμῖν ἕκαστα τὰ ἐν τοῖς οἴκοις γινόμενα· τὰ γὰρ πρότερον οὐκ εὐγνώστως ἐνόησα. I. αὔθ' ἕκαστα: τὸ κατὰ μέρος, τὸ καθ' ἕκαστον. B. M. αὐτὰ ἕκαστα. Gr. γεγυμνωμένα. τὰ συμβάντα. Gu.

1395. αἴλινον αἴλινον: οὗτος ὁ στίχος ἐν πολλοῖς ἀντιγράφοις οὐ γράφεται. M. ὁ λόγος οὕτως· εἰώθασιν οἱ βάρβαροι τὸν αἴλινον ἐν ἀρχῇ θρήνου λέγειν, οἰκείως τῇ ἑαυτῶν βαρβάρῳ φωνῇ, ὅτε τις βασιλέων ἀνῃρημένος τύχῃ. κἀγὼ οὖν ἀπολομένην τὴν Ἑλένην στε-

1. Δαρδανίδου] δαρδανία Bar. Proxima ἤγουν—Δαρδανίου om. Gu. Post πρῶτον Gu. pergit ἡ δὲ σύνταξις etc. (quae v. ad v. 1382.)

ib. ἱππηλασία scripsi pro ἱππολασία, quod aut sic corrigendum erat aut ἱππασία vel ἱπποσάσιον, ut est in scholio proximo.

6. τινὲς] τινὲς δὲ B. in quo haec adjuncta sunt scholio praecedenti ad v. 1390. quod finitur verbis Τροίαν καὶ Δαρδανίαν.

8. ἄμπελον — ἀντί] Quattuor hi versus afferuntur ab scholiasta Troad. 822. qui v. 2. consentit in scriptura vitiosa ἀγανοῖσι, quae in ἀγαυοῖσι mutanda videbatur Schneidero in Lexico, recte fortasse, etsi ἀγαυός non solet dici de rebus inanimatis. Quae certe probabilior emendatio est quam Hermanni φύλλοισι παναργυρέοις in Opusc. vol. 5. p. 185. V. 3. βότρυσί θ', οὓς Hermannus pro βότρυσι τούς. In proximis legebatur ἐπασκήσας πατρὶ δῶκεν· αὐτὰρ ὁ Λαομέδοντι πόρε Γανυμήδεος ἄντι (sic B.: ἄρτι I.) Quae ex schol. Troad. correxi.

23. βασιλέ̂ (i. e. βασιλέων) B. βασιλείας I. Scribendum erat βασιλέων. βασιλ^ε est etiam in M. in quo hoc scholion, ut supra dicebam, ita est obliteratum ut literae pleraeque legi nequeant. Finitur

νάζω. Ἄλλως. *τὸν λίνον κοινῶς ἐτίθεσαν ἐπὶ τοῦ ὕμνου καὶ τοῦ θρήνου, νῦν μέντοι ἐπὶ συμφοραῖς αὐτὸν καὶ θρήνοις τάττει.* B. I. *αἴλινον: τὸ ἀρχὰν θανάτου καὶ τὸ ὅταν αἷμα βασιλέων χυθῇ κατὰ γᾶν ταυτόν ἐστι.* Gu. *τὸ δὲ πᾶν οὕτω· τὴν ἀρχὴν τοῦ θανάτου, ὅταν χυθῇ κατὰ γῆν τοῦ* Ἅιδου *ἐν ξίφεσι σιδηρέοις αἷμα βασιλέων, λέγουσιν οἱ βάρβαροι αἴλινον αἴλινον ἐν* Ἀσιάδι *φωνῇ.* Bar. Gu.

ἀρχάν: κατά. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ἐπειδὴ περὶ τοῦ τῆς* Ἑλένης *θανάτου μέλλει εἰπεῖν, τοῦτό φησι.* Gu. Fl. 6.

1396. *αἶ αἶ: διὰ μέσου.* Gr.

1397. Ἀσιάδι *φωνᾷ: ἀντὶ τοῦ βαρβάρῳ· ἡ γὰρ* Ἀσία *τῆς βαρβάρων χώρας, ἡ δὲ* Εὐρώπη *τῶν* Ἑλλήνων. B. Gu. I. *Τρωϊκῇ.* Fl. 6.

1398. *ξίφεσι σιδαρέοισιν* Ἅιδα: *τοῖς θάνατον ἐργαζομένοις.* I. *τὸ δὲ* Ἅιδου *ἢ πρὸς τὸ γῆν σύναπτε, ὡς ἔφαμεν, ἢ πρὸς τὸ ξίφεσι· τὰ γὰρ θάνατον ἐργαζόμενα ξίφη* Ἅιδου *ξίφη φαμέν.* Bar. Gu. *ἀδολεσχία τὸ σιδαρέοις ξίφεσι.* Fl. 6.

1400. *ἦλθον: ἐντεῦθεν ἄρχεται διηγεῖσθαι.* Fl. 6.

1401. *λέοντες: λέοντας αὐτοὺς λέγει διὰ τὸ πρὸς ἀγριότητα τραπῆναι.* Gu. Fl. 6. *δύο διδύμω: ταυτὸν δύναται τὸ δύω καὶ τὸ διδύμω. λέγει δὲ ταῦτα ἐφεξῆς ἀγωνιῶν, ὡς καὶ τὸ αἴλινον αἴλινον καὶ τὰ ἕτερα.* Gr. Bar.

δύο διδύμω: τουτέστιν Ὀρέστης *καὶ* Πυλάδης. *τοῦ μὲν πατὴρ ὁ βασιλεὺς* Ἀγαμέμνων *ἐπωνομάζετο, ὁ δὲ* Στροφίου *ἦν παῖς. κακομήτας δὲ ὁ κακὰ κατὰ τῆς* Ἑλένης *βουλευσάμενος, οὐχ ὁ κακῶς βουλευόμενος.* B.M.I.

1403. *κακομήτας: κακότροπος τὰς βουλάς.* Gr. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

verbis *θρην...ν ἐν τοῦδ'* (*ἐν τῷδ'* ?) *ἐκπηδεῖ ὁ φρὺξ ὅταν λ^ε ἀρχαν βάρβαρον λέγον ἐπὶ συμφοραῖς* :—

P. 305. l. 23. *ἀπολομένην*] *ἀπολλυμένην* I.

1. *Ἄλλως* om. I.

ib. *λίνον* (*λῖνον* B.) *κοινῶς*] *λίνον τινὲς* I.

3. *τὸ ἀρχὰν* —] In Gu. haec duo sunt scholia: *τὸ ἀρχὰν θ.* — *ταυτόν ἐστι* in margine interiore scriptum, *τὴν ἀρχ. τοῦ θ.* — *φωνῇ* in exteriore, quocum cohaeret illud ad. v. 1398.

4. *τὸ δὲ πᾶν οὕτω* om. Gu.

10. *ἀντὶ τοῦ β.* et *γὰρ* om. Gu.

14. *θάνατον*] *τὸν θάνατον* Bar. In B.M. *ξίφη ἅδου φησὶ τὰ θάνατον ἐργαζόμενα.*

15. *ἀδολεσχία*] *ἀδολεσχεία* Fl. 6.

22. *κακομήτας*] *κακόβουλος* B.I. Correxi ex M. in quo scholion sic scriptum est, *τὸν ὀρέστην καὶ τὸν πυλάδην. τοῦ μὲν πατὴρ ὁ ἀγαμέμνων. κακομήτας δὲ* et reliqua usque ad *βουλευσάμενος.* Nam illa *οὐχ ὁ κ. β.* in solo sunt B.

1404. σιγᾷ δόλιος: σίγα ἀντὶ τοῦ ἐσίγα κατὰ ἀφαίρεσιν τοῦ ε, ἢ σιγᾷ, τουτέστι τῇ σιγῇ, οἷον μετὰ σιωπῆς δόλιος. B.M. ἐν ἡσύχῳ ἤθει δόλους κατασκευάζων. Bar. Gr. et Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. τουτέστι τῇ σιγῇ ἔμπειρος τῶν πόνων. B.I.

1405. πιστός: ἀσφαλής. Gr. Florr. iidem. θρασύς: ὁρμητικώτατος. Bar. Gr. Florr. iidem. τολμηρὸς εἰς βοήθειαν. Bar. Gu. Fl. 6.

1406. ξυνετὸς πολέμου: ἀντὶ τοῦ ἔμπειρος πολέμου. M.I. φρόνιμος. Fl. 17. ἐπιστήμων, ἔμπειρος. Gu. Fl. 6.

1407. ἔρροι τᾶς ἡσύχου: φθειρέσθω, φησὶν, οὗτος ἐπὶ κακουργίᾳ ἥσυχος ὢν, προνοούμενος τῆς ἡσυχίας ἐπὶ κακῷ. Ἄλλως. διαφθαρείη ὑπὸ τῆς ἡσύχου προνοίας. ἥσυχον δὲ αὐτήν φησι, τὴν ἀπροσδοκήτως πάντα ἀμυνομένην, πρόνοιαν δὲ τὴν εἱμαρμένην. τινὲς δὲ οὕτως, οἰμωζέτω κακοῦργος ὢν μετὰ ἡσύχου προνοίας. B.M.I. φθειρέσθω κακοῦργος ὢν τῆς προνοίας τῆς ἡσύχου, ἤγουν κακουργῶν τὴν ἡσυχίαν. Gr. φθαρείη. Gu. προνοίας: ἕνεκα τῆς κατὰ νοῦν φροντίδος καὶ μηχανῆς. Bar. Gu.

1408. οἱ δὲ πρός: ὁ σύνδεσμος ὁ δέ ἀντὶ τοῦ δή, ἵν' ᾖ, οἱ δή. οὗτοι δὲ, φησὶν, ἔνδον εἰσελθόντες εἰς τοὺς θαλάμους, ἧς ἔγημε γυναικὸς ὁ τοξότης Πάρις, τοὺς ὀφθαλμοὺς δακρύων πεπληρωμένοι καὶ τῷ σχήματι ταπεινοὶ, ἕζοντο παρ' ἑκάτερον μέρος τῆς Ἑλένης, ὁ μὲν ἐκ δεξιῶν, ὁ δὲ ἐξ εὐωνύμων, πεφραγμένοι ξίφεσιν. B.M.I.

οἱ δέ: ἀντὶ τοῦ οἵτινες. Gr. Fl. 17. οἱ δή. Gu.

1408. ἔσω μολόντες: ἔσω μολόντες πρὸς τοὺς θρόνους τῆς γυναικὸς, ἣν ἔγημεν ὁ τοξότης Πάρις. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1409. ἅς ἔγημ': ἀντὶ τοῦ ἥστινος γυναικὸς ὁ τοξότης Πάρις ἔγημεν. B.M.

1410. πεφυρμένοι: ἀντὶ τοῦ πεφυρμένον, τουτέστι μεμιγμένον, ἔχοντες τὸ ὄμμα τοῖς δακρύοις. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1. σίγα om. B.
4. τουτέστι τῇ σιγῇ] ἀντὶ τοῦ B.
5. ὁρμητικώτατος] ὁρμητικός Bar.
6. βοήθειαν] δύναμιν add. Fl. 6.
8. ἀντὶ τοῦ om. I.
11. ἥσυχος] ἔμπειρος I. In Gu. haec sunt, φθειρέσθω οὕτω προνοούμενος τῆς ἡσυχίας ἐπὶ κακῷ.
ib. κακῷ] κακοῖς M.
11. Ἄλλως om. B.
13. πάντα] πάντας M.
ib. τινὲς δὲ] δὲ om. M.
18. ὁ σύνδεσμος ὁ δέ om. M.
20. ὁ om. I.

τεταραγμένοι. Fl. 25. 34. μεμολυσμένοι. Fl. 33. ταπεινοί: μετὰ ταπεινώσεως, ἐπιρρηματικῶς. Gr. Florr. iidem. ἥσυχοι. Gu.

1412. ἄλλος: λέγω. Gr. Florr. iidem. πεφραγμένοι: τοῖς ξίφεσι δηλονότι ἠσφαλισμένοι. B. M. καθωπλισμένοι. B. ὡπλισμένοι. (ἠσφαλισμένοι add. Gu.) Gr. Florr. iidem et 25. 33. 34.

1415. ἄμφω: ὁμοῦ ἀμφότεροι. Cant. Gr.

1416. ἀνὰ δὲ δρομάδες: τὸ ἑξῆς, ἀνέθορον δὲ πάντες, καὶ οἱ θεράποντες ἀνεπήδησαν παραχρῆμα καὶ παρέθεον, καθάπερ δρομάδες ἵπποι θορυβηθέντες. B.M.I. δρομάδες: ἀντὶ τοῦ δρομαίως. Gr. Fl. 6. 9. 17. 56. 59. 76. ἀμφίπολοι: ἀντὶ τοῦ πρόσπολοι. Gr. Florr. δοῦλοι, θεράποντες οἱ ἀμφ' ἐκείνην ἀναστρεφόμενοι. ἀμφίπολος οὐ μόνον ἡ δούλη, ἀλλὰ καὶ ὁ δοῦλος. Gu.

1418. προσεῖπε δ' ἄλλος ἄλλον: εἶπε δὲ ἄλλος πρὸς ἄλλον. Cant. Gr. πεσὼν ἐν φόβῳ: φοβηθείς. Gu.

1419. μή τις εἴη: τὸ μή τις εἴη δόλος ἄλλο κῶλον. M. μή: ὅρα ἵνα. Gr. Cant.

κἀδόκει τοῖς μὲν οὔ: οἱ μὲν, φησὶ, τῶν οἰκετῶν οὐκ ᾤοντο δόλον εἶναι, οἱ δὲ ἐπεπιστεύκεισαν τὴν Ἑλένην μέλλειν ὑπὸ τοῦ Ὀρέστου δολοφονεῖσθαι, ὥσπερ ἐν ἄρκυσι ζωγρηθεῖσαν· ἄρκυς γὰρ τὸ λίνον. B.M.I.

1420. τοῖς δ': ἐδόκει. τοῖς δὲ ἐδόκει Ὀρέστης ἐν ἀσφαλεστάτῃ δικτύων μηχανῇ καὶ περιβλήματι λίνου ἐμπλέκειν καὶ ἐμβάλλειν τὴν Ἑλένην εἰς ἀρκυστάτην μηχανὴν, καὶ ὡς περίβλημα λίνων, οἷον εἰς δολοφονίαν· ἄρκυς γὰρ τὸ δίκτυον. B.M.I. ἀρκυστάταν: ἀπὸ τοῦ ἄρκυς τὸ δίκτυον. Gr. ἄφυκτον, ἀσφαλεστάτην, δικτυοειδῆ. Gu. μηχανάν: δολοφονίαν. Gu.

1424. μητροφόντας δράκων: ἤγουν ὁ Ὀρέστης ὁ τὴν μητέρα φονεύσας. Gr. διὰ τὸ φονικόν. Gu.

1425. σὺ δ' ἦσθα: σὺ δὲ παρῆς τοῖς γινομένοις, ἢ ἀκούσας παρ'

8. παρέθεον] προέθεον I.
9. θορυβηθέντες] φοβηθέντες I.
ib. δρομαίως] δρομέως Gr.
19. ἐν ἄρκυσι ζωγρηθεῖσαν] ἐνζωγραφεῖσαν M.
21. ἐδόκει. τοῖς δὲ ἐδόκει] ἐδόκει om. B., τοῖς δὲ ἐδόκει om. M.
23. εἰς ἀρκυστάτην Matth. οἷον εἰς ἀρκιστάτην B.M.I. Mox οἷον εἰς δ.— δίκτυον hic om. M., sed habet scholion brevius in marg. altera ὅ ἐστιν εἰς δολοφονίαν. ἄρκυς γὰρ τὸ δίκτυόν ἐστι.
29. σὺ δὲ] οὐδὲ M.
ib. ἀκούσας] ἤκουσας I.

ἑτέρου πάλαι πέφευγας ἐκποδών. B.M.I. Ἄλλως. σὺ ποῦ ὑπῆρχες; ἢ ἐκ μακροῦ φεύγεις ἐν φόβῳ γενόμενος δηλονότι, ἃ δὲ λέγεις δηλονότι παρὰ ἄλλου ἤκουσας; I. δυοῖν ὄντων τοῦ παρεῖναι αὐτὸν ἐκεῖ καὶ ὁρᾶν, καὶ τοῦ πρότερον ἐξελθεῖν καὶ ἀπεῖναι ὅτε ταῦτα ἐγένετο, ἐρωτᾷ ὁ χορὸς, ποῦ ἦσθα, πρὸς ἀμφότερα ἀποβλέπων, εἶτα ὀφείλων εἰπεῖν διαιρῶν, ἐκεῖ ἦσθα, ἢ πάλαι φεύγεις φόβῳ; ὁ δὲ τῷ ἑνὶ σκέλει χρησάμενος τῷ ἢ πάλαι φεύγεις ἀρκεῖται· ἀπὸ γὰρ τοῦ ἑτέρου δυνατόν ἐστι συνυπακούεσθαι καὶ τὸ ἕτερον. Bar. Gr.

1426.—1437. Φρυγίοις ἔτυχον: ἔτυχον ἐν συνηθείᾳ Φρυγῶν, ἐν συνηθείᾳ βαρβαρικῇ κινῶν εὐπαγεῖ κύκλῳ πτερίνῳ, ἤγουν ῥιπιδίῳ, αὖραν ἐπὶ τὸν βόστρυχον τῆς Ἑλένης πρὸ τῆς παρηΐδος, ἀντὶ τοῦ τῆς παρειᾶς. ἡ δὲ, ἤγουν ἡ Ἑλένη, ἐνετύλιττε διὰ τῶν δακτύλων λίνον τῇ ἠλακάτῃ, τὰ νήματα δὲ ὧρμα πρὸς τὸ πέδον, θέλουσα κατασκευάσαι ἀναθήματα ἐπὶ τὸν τύμβον τῷ λίνῳ τῷ ὄντι ἀπὸ τῶν σκύλων τῶν Φρυγίων, λέγω φάρεα, ἤγουν ἐνδύματα, πορφυρᾶ κατασκευάσαι δῶρα τῇ Κλυταιμνήστρᾳ. Cant. Gr. ἔτυχον ἐν Φρυγίοις καὶ Τρωϊκοῖς νόμοις ἀΐσσων καὶ πέμπων ἐν εὐπηγεῖ πτερίνῳ κύκλῳ αὖραν καὶ πνοὴν πρὸ παρηΐδος καὶ ἔμπροσθεν τῆς παρειᾶς τῆς Ἑλένης παρὰ τὸν βόστρυχον καὶ τὰς ἐν μετώπῳ αὐτῆς τρίχας, τουτέστιν ἐξ ὅτουπερ εἰς Τροίαν ἦν αὕτη, ἐτάχθην ἔμπροσθεν αὐτῆς ἵστασθαι καὶ πρὸς τὸ θάλπος αὖραν αὐτῇ μηχανᾶσθαι καὶ τὰ λυποῦντα ἐλαύνειν, μυίας φημὶ καὶ κώνωπας. Bar. Gu.

1427. παρὰ βόστρυχον: τὸ παρὰ βόστρυχον καὶ τὸ πρὸ παρηΐδος ταυτόν ἐστιν. Bar. Gu.

παρὰ βόστρυχον: παρὰ τὸν βόστρυχον, φησὶ, τῆς Ἑλένης πλησίον τῆς παρηΐδος αὐτῆς αὖραν ἔπεμπον τῇ ῥιπίδι. πτερίνῳ δὲ εἶπε, παρόσον αὗται ἐκ πτερῶν ὑπάρχουσι συντεθειμέναι. εὐπηγεῖ δὲ

1. πέφευγας ἐκποδών (ἐκ ποδῶν M.) addidi ex B.M. Post ἐκποδῶν B. pergit, ὁ δὲ παρὰ τὸν βόστρυχον etc. (schol. v. 1427.)

4. ἐγένετο] ἐγίνετο Bar.

11. αὖραν (sic) ἐπὶ Gr. αὖραν περὶ Cant. Et sic infra quoque αὖραν.

14. τὸν τύμβον] τὸν om. Gr.

16. ἐν om. Gu.

17. ἐν εὐπηγεῖ—κύκλῳ om. Bar.

18. καὶ ἔμπροσθεν τῆς παρειᾶς om. Gu.

20. καὶ πρὸς—μηχανᾶσθαι om. Bar.

25. παρὰ τὸν—] In M. hoc scholion in aliam formam redactum est, παρὰ τὸν βόστρυχον τῆς ἑλένης—αὖραν πέμπων. πτερίνῳ τῇ ῥιπίδι παρόσον πάντα τὰ ἐκ τῆς κεφαλῆς καλύμματα πτερὰ ἔλεγον, οἷς δὴ καὶ ῥιπῖσι (sic) ἐχρῶντο. κυκλοτερὴς γὰρ—ῥιπίς. ἡ δὲ πρό—ἐκπέμπων:—

κύκλῳ ἤτοι καλῶς πεπηγμένῳ καὶ συντεθειμένῳ. κυκλοτερὴς γὰρ ἡ ἐκ τῶν πτερῶν ῥιπίς. ἡ δὲ πρό ἀντὶ τῆς κατά, ὅ ἐστι κατὰ τοῦ προσώπου αὐτῆς πνοὴν ἐκπέμπων. τὸ γὰρ ἑξῆς, αὔραν ἀΐσσων, ἀντὶ τοῦ πνοὴν ἐκπέμπων. B.I.

1428. εὐπαγεῖ: εὐκατασκευάστῳ, εὐπλόκῳ. Gu.

1430. βαρβάροις νόμοισι: ἐν συνηθείᾳ βαρβαρικῇ. Gr. τοῦτο καὶ τὸ Φρυγίοις νόμοις ταυτόν ἐστι. βαρβαρικοῖς. Gu.

1431.—1436. ἁ δὲ λίνον: ἡ δὲ ἐν τοῖς δακτύλοις ἕλισσε λίνον ἐν τῇ ἠλακάτῃ, τὸ νῆμα δὲ ἵετο ἐν τῷ πέδῳ, χρῄζουσα ἐν τῷ λίνῳ ἐπὶ τὸν τύμβον τῆς ἀδελφῆς στολίσαι φάρεα καὶ πέπλους, πορφύρεα δῶρα τῇ Κλυταιμνήστρᾳ, ἀγάλματα καὶ λαμπρότητας καὶ τρυφὰς τῶν Φρυγίων σκύλων. Bar. Gu.

λίνον: λίνον ἐνταῦθα καταχρηστικῶς τὴν μέταξαν λέγει. ὅτι δὲ τοῦτό ἐστι δῆλον ἔκ τε τῶν Φρυγίων σκύλων καὶ τοῦ βούλεσθαι τῇ ἀδελφῇ πέπλον ὑφᾶναι πρὸς τὸν τάφον δῶρον· οὔτε γὰρ ἦν εἰκὸς ἐκ λίνου καὶ μὴ ἐκ μετάξης τῇ ἀδελφῇ δῶρον κατασκευάσαι πέπλον, οὔτε φαῦλα σκῦλα καὶ οὐδενὸς ἄξια ἐκ Τρώων λαβεῖν, ἀλλὰ λίνον ἐνταῦθα καταχρηστικῶς καὶ οὐ κυρίως τὴν μέταξαν λέγει. ἐγχωρεῖ δὲ λέγειν καὶ νῆμα λεπτὸν καὶ ἀερῶδες εἶναι τὸν λίνον καὶ οὐ μέταξαν, καὶ οὐδὲν ἐμποδὼν ἵσταται τὸ σκύλων Φρυγίων, οὐδὲ τὸ πέπλον ἐκ τοιούτου θέλειν ὑφαίνειν τῇ ἀδελφῇ. εἰκὸς γὰρ ἦν καὶ σκῦλον τοιοῦτό τι νῆμα λαβεῖν, καὶ πέπλους ἐκ τοιούτου ὑφαίνειν. Bar. Gu.

1433.—1436. ἵετο πέδῳ: μετὰ σπουδῆς ἐχαλᾶτο κατηπειγμένως. M. νήματα: τὰ δὲ νήματα ἵετο, ἀντὶ τοῦ κατηπειγμένως ἐχαλᾶτο ἐν τῷ πέδῳ διὰ τὸν τύμβον. ἀπὸ δὲ τοῦ τύμβου τὸ σῶμα τῆς Κλυταιμνήστρας δηλοῖ. ἀγάλματα δὲ ἀντὶ τοῦ ἀγάλμασι· καλλώπισμα γάρ ἐστιν ἡ κηδεία τοῦ νεκροῦ σώματος. ὁ δὲ λόγος, τὰ δὲ

1. In Gr. εὐπαγεῖ κύκλῳ, ἤγουν ῥιπιδίῳ πτερίνῳ κυκλοτερεῖ καλῶς πεπηγμένῳ.
8. λίνον ἐν τῇ ἠλακάτῃ] Verba τὸ λίνον ἐν τῇ ἠλακάτῃ habet M.
9. τὸ νῆμα] τὰ νήματα Bar.
ib. ἵετε] ἵετο Gu. omisso δέ.
ib. τῷ λίνῳ] τῷ om. Bar.
15. τὸν τάφον] τὸν om. Gu.
16. δῶρον] δῶρα Bar.
ib. πέπλον om. Bar.
18. λέγει] λέγειν Bar.
21. σκῦλον] σκύλων Gu.
22. τι νῆμα om. Bar.
ib. καὶ πέπλους—ὑφαίνειν om. Bar.
24. τὰ δὲ—ἀπὸ δὲ τοῦ] ἐπὶ τύμβον ἀντὶ (adde τοῦ) διὰ τὸν τύμβον, τουτέστι τὰ δὲ νήματα ἵετο τῷ πεδίῳ διὰ τὸν τύμβον. ἀπὸ δὲ τοῦ M. In B.I. hoc scholion legitur post proximum, praefixo ἄλλως.
ib. κατηπειγμένως B. κατέπεμπε καὶ κατηπειγμένως I.

νήματα καὶ τὰ λίνα τὰ ἐκ Φρυγίας εἰργάζετο διὰ τῆς Κλυταιμνήστρας τὸ σῶμα, ἵνα τοῦτο συστείλῃ καὶ κηδεύσῃ αὖθις λαμπροῖς ἱματίοις καὶ φάρεσι πορφυρέοις. B.I.

νήματα: τοῦτο διὰ μέσου. Gu. ἵετο: ὥρμα. Gr. ἐπέμπετο. Gu.

1434. σκύλων Φρυγίων: ἀντὶ τοῦ τὰ ἀπὸ τῆς λαφυραγωγίας τῶν βαρβάρων νήματα καὶ λίνα, ἤτοι ἀπὸ τῶν Φρυγίων σκύλων βουλομένης συρράψαι ἐνδύματα πορφυρᾶ, ὅπως ἐπὶ τὸν τάφον ἀναθῇ τῆς Κλυταιμνήστρας. B.M.I. τῷ λίνῳ τῷ ὄντι δηλονότι ἀπὸ τῶν σκύλων τῶν Φρυγίων. Gr. μὴ λάβῃς εἰς τὸ σκύλων ἔξωθεν τὸ ἀπό, ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ ἀγάλματα. Gu. Bar.

1438.—1444. προσεῖπε: πρὸς τὴν Λάκαιναν δὲ κόρην, ἤγουν τὴν Ἑλένην, εἶπεν ὁ Ὀρέστης, ὦ παῖ τοῦ Διός, ἀποστᾶσα τῆς καθέδρας θὲς τὸν πόδα ἐπὶ τῷ πέδῳ δεῦρο ἐπὶ τὴν ἕδραν τῆς πάλαι κατασκευασθείσης οἰκίας τοῦ Πέλοπος τοῦ προπάτορος, ἵν' εἰδῇς τοὺς ἐμοὺς λόγους. Cant. Gr.

1439. θὲς ἴχνος: ἀντὶ τοῦ ἀνάστηθι. ἀπαγαγεῖν δὲ αὐτὴν ἐβούλετο ἀπὸ τοῦ τόπου τούτου, οὗ ἐκάθητο, εἰς ἕτερον τόπον, ἐκκλῖναι βουλόμενος τοὺς παρεστῶτας οἰκέτας. τούτου οὖν, φησὶν, ἀποστᾶσα τοῦ κλισμοῦ ἐλθὲ ἐπὶ τὴν Πέλοπος καθέδραν, ἤτοι ἔνθα εἰώθει διατρίβειν ὁ Πέλοψ. B.M.I. ἀντὶ τοῦ ἀποστῆσαι γὰρ αὐτὴν ἤθελον τῶν παρεστώτων θεραπόντων. M.

1444. ἄγει: ἀντὶ τοῦ ἦγεν, τουτέστιν ἐπειρᾶτο ἄγειν· ἡ δὲ ἐπηκολούθει. Cant. Gr.

1445. πρόμαντις: οὖσα δηλονότι. Gr. ὧν ἔμελλεν: πείσεσθαι. Gr.

1446. ὁ δὲ συνεργός: τὸ σύν κατὰ κοινοῦ, τουτέστιν ὁ δὲ συνεργὸς συμπράσσων τῷ Ὀρέστῃ, ὁ πονηρὸς ἀνὴρ Φωκεύς, τοιαῦτα εἶπεν· λέγει δὲ τὸν Πυλάδην. B.M.I. ὁ δὲ συνεργὸς ὁ κακότροπος Φωκεὺς,

1. λίνα] Scribebatur λῖνα hic et infra.
7. ἤτοι om. M.
ib. βουλομένης] βουλόμενος M.
8. τὸν τάφον] τοῦ τάφου I.
ib. ἀναθῇ] ἀνωθῇ M.
18. τούτου addidi ex M.
ib. ἐκκλῖναι] ἐγκλῖναι M.
19. οἰκέτας M. οἰκέτας B. ἱκέτας I.
ib. τούτου] τοῦτο I.
ib. φησὶν om. M.
20. ἤτοι om. M.
29. λέγει δὲ τὸν Πυλάδην om. I., addit vero οὐκ ἐκ ποδῶν καὶ τὰ λοιπά.

ἤγουν ὁ Πυλάδης, ἄλλα ἰὼν ἔπραττεν. Gr. Cant. κακὸς Φωκεύς: λείπει τὸ τοιαῦτα λέγων. B.M.

1447. οὐκ ἐκποδὼν ἴτε: τουτέστιν, οὐ μακρὰν ἀπέρχεσθε, ἀλλ' αἰεὶ ἀπαιδεύτως ἔχετε· τοῦτο γὰρ τὸ κακοί. ἔλεγε δὲ αὐτοῖς τοῦτο, ὡς δῆθεν Ὀρέστου μυστήριον λέξοντος τῇ Ἑλένῃ, ἵνα, ἐκποδὼν ἀπελθόντων, μόνην συλλάβωσιν αὐτὴν, ὡς μηδενὸς αὐτοῖς ἀνταίροντος. Bar. Gu. ἴω τὸ πορεύομαι. ὁ β' ἀόριστος ἴον, ἴες, ἴε, καὶ τὸ προστακτικὸν ἴε, καὶ κατὰ μεταπλασμὸν τοῦ ε εἰς θι καὶ τροπῇ ἴθι ἴτω, ἴτον ἴτον, ἴτε ἴτωσαν· μεταπλασμὸς δέ ἐστι μετάθεσις καὶ σχηματισμὸς λήξεως καὶ λέξεως εἰς συγγενὲς τελικὸν τοῦ αὐτοῦ εἴτε ὀνόματος εἴτε ῥήματος· ὀνόματος μὲν, οἷον τῷ κλάδῳ τῷ κλαδί, τῷ δένδρῳ τῷ δένδρεϊ, τὼ ὄσσω τὼ ὄσσε· ῥήματος δὲ, οἷον ἴε ἴθι, ἔθι ἔσο, κλύε κλῦθι, πίε πῖθι, ποιοίμην ποιοίην, καὶ ἕτερα. Gu. κακοὶ Φρύγες: λέγων μετὰ ἐπιπλήξεως κακοὶ Φρύγες, ὡς ματαίως δῆθεν ἐν δειλίᾳ γενομένων τῶν περὶ τὴν Ἑλένην Φρυγῶν, τοῦτό φησι. Gr. Bar. κακοί: ἤγουν δειλοί. Gr. ἀπαίδευτοι ἐστέ. Gu.

1448. ἐκκλῄσε: ἐκ τῆς στέγης δὲ ἄλλον ἄλλοσε ἀγαγὼν ἔκλεισεν. Cant. Gr. ἠσφάλισεν. Gu.

1449. σταθμοῖσιν: τῷ κοινῶς σταύλῳ. Cant. Gr. σταθμοὶ λέγονται καὶ αἱ παραστάδες. Gu. Fl. 6.

1450. ἐν ἕδραισι: ἐφ' ἧς ἕκαστος ἐκαθέζετο. M. ἐν τῷ οἴκῳ τοῦ ἀποπάτου. Gr. I. ἀφοδευτηρίοις, παρακελλίοις. Gu. τοὺς δ' ἐκεῖσ' ἐκεῖθεν: ἀπ' ἐκείνου τοῦ μέρους εἰς ἐκεῖνο. Cant. Gr. ἄλλον ἄλλοσε: ἄλλον ἀπ' ἄλλου μέρους εἰς ἄλλο. Cant. Gr.

1451. ἀπόπρο: πόρρωθεν. τὸ δὲ διαρμόσας ἀντὶ τοῦ προσαρμόσας καὶ συγκλείσας. ἀπὸ τοῦ διαρμόσας δὲ τὴν ἀδιάλειπτον παραμονὴν τῶν οἰκετῶν ἐσήμανεν, ἣν εἶχον μετὰ τῆς δεσποίνης. B.M.I. διαρμόσας: χωρίσας. Gr. κλείσας, ἀσφαλίσας, διαστήσας, ἢ δια-

6. μόνην] μόνον Bar.

14. λέγων—] Apud King. priora, λέγων (pro quo conjicit λέγω) μετὰ ἐπιπλ. in paraphr. e Cant. una cum scholio, ὁ δὲ συνεργὸς—ἔπραττεν, enotata sunt. λέγων μετὰ ἐπιπλήξεως, ἤγουν μακρὰν ἄπιτε sunt etiam in Fl. 6. 9. 17. 21, 56. 59. 76. sed in Gu. ea quae dedi, in margine, ἤγουν μ. ἀπ. in Gr. inter versus scripta sunt. MATTH.

21. In I. ἤτοι ἐν οἴκοις ἀποπάτου.

22. παρακελλίοις] De hoc voc. v. Ducangii glossarium vol. 1. p. 630.

25. πόρρωθεν] In M. etiam gl. interl. ἀντὶ τοῦ πόρρωθεν. προσαρμόσας, συγκλείσας ἐστί.

26. δὲ om. M.

χωρίσας. Gu. ἀπόπρο δεσποίνας: ἄπωθεν, κατ' ἐπίτασιν τῆς εἰς τὸ ἔμπροσθεν πορείας. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. γρ. ἄπο πρό, δηλούσης τῆς πρό τὸ ἐκτός. Gu.

1452. τί τοὐπὶ τῷδε: τί τῆς συμφορᾶς, ἀντὶ τοῦ ποία συμφορὰ κατὰ τὸ μετὰ τοῦτο ἐγένετο; Cant. Gr. ἀντὶ τοῦ μετὰ ταῦτα. M. Gu.

1453. Ἰδαία μῆτερ: Ἴδη ὄρος ἐστὶ Τροίας, ἔνθα τετίμηται ἡ Ῥέα. ἴσως οὖν ὡς ἐγχωρίαν θεὸν ἐπικαλεῖται αὐτὴν ὁ εὐνοῦχος. ὀβρίμαν δὲ αὐτήν φησιν, ἐπεὶ λέουσιν ὀχεῖται, ἢ ὅτι ἐνίσταται τοῖς αὐτῇ συντυγχάνουσιν. μέλλων δὲ διηγεῖσθαι ὁ Φρὺξ ἅπερ ἐτεθέατο ἔνδον τὴν Ῥέαν ἐπικαλεῖται ὡς ἀλεξίκακον. Ἰδαίαν δὲ ἀντὶ τοῦ ὀρεινήν· ἐν γὰρ τοῖς ὄρεσι διατρίβειν φασὶ τὴν θεάν. ὀβρίμαν δὲ τὴν ἰσχυρὰν καὶ φοβεράν. ὁ δὲ λόγος, φεῦ φεῦ, τῶν ἀνόμων κακῶν, ὦ μῆτερ Ῥέα, ἅπερ τεθέαμαι ἔνδον κατὰ τοὺς οἴκους. καλεῖται δὲ καὶ ἀνταία· τοῖς Φρυξὶ γὰρ ὑπαντῶσα φοβερά ἐστιν. B.M.I.

Ἰδαία: ἡ τιμωμένη ἐν τῇ Ἴδῃ. Gu. μᾶτερ: τῶν θεῶν Ῥέα. Gu. ὀβρίμα: ἱστοροῦσι γὰρ αὐτὴν ἐποχουμένην λέουσιν· ὅθεν καὶ πρὸς αὐτὴν ποιεῖται τὸν λόγον, ὡς φοβερὰ ἰδών. καὶ οὗτος μὲν ὡς Φρὺξ τὴν παρὰ Φρυξὶ τιμωμένην θεὰν ἐπιβοᾶται· οἱ δὲ ἄλλοι πάντες Ἡρακλῆν τὸν Διός, λέγοντες ἐπὶ τοῖς παραπίπτουσι δυσκόλοις ἀεί, ὦ Ἡράκλεις· ἔνιοι δὲ καὶ τὸν Ἀπόλλωνα, καὶ μαρτυρεῖ τὸ Ἄπολλον ἀποτρόπαιε. Bar. Gu. ἰσχυρὰ, φοβερά. Gr.

1455. φονίων παθέων: ἕνεκα τῶν φονικῶν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἀνόμων: παρανόμων. Gu.

1456. ἔδρακον: εἶδον. Gr. ἐθεασάμην. Gu.

1457. ἀμφὶ πορφυρέων: τὸ ἀμφὶ πορφυρέων ἢ ἓν μέρος λόγου νόει· ἀμφιπόρφυρα γὰρ ἱμάτια φαμὲν τὰ ὁλοπόρφυρα, ὥσπερ καὶ ἀμφίχρυσα τὰ ὁλόχρυσα· ἢ τὸ ἀμφί πρὸς τὸ σπάσαντες νοητέον, ἵν' ᾖ ἀμφισπάσαντες ἀντὶ τοῦ περιλαβόντες· ἢ τὸ ἀμφί ἔμφασιν ἔχει διὰ τὴν Ἑλένην, οὕτως· ἀμφὶ τὴν Ἑλένην δηλονότι σπάσαντες καὶ λαβόντες ξίφος ὑπὸ σκότου τῶν πορφυρέων πέπλων, ἤγουν ἃ ὑποκάτω τῶν ἱματίων εἶχον, ἐν ταῖς χερσὶν ἄλλος ἄλλοσε δίνασεν.

7. τετίμηται] τιμᾶται I.	26. ἓν μέρος λόγου] ἑνὸς μέρους λόγου Gu.
10. ἐτεθέατο] ἐθεάσατο B.I.	28. ἢ τὸ ἀμφί — παραλλήλου om. Bar.
13. ἀνόμων] ἀλόγων I.	
20. Ἡρακλῆν τὸν] ἡρακλέα τοῦ Bar	

ἢ τὸ ἀμφί πρὸς τὸ ἐν χερσίν, ἵν' ᾖ τὸ ἀμφί καὶ τὸ ἐν ἐκ παραλλήλου. Bar. Gu. ἀμφί: ἀπό. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ὑπὸ σκότου: ὑπὸ ἀφανίας. Gr. Florr. iidem. σκοτιασμοῦ. Fl. 33. ἔνθα ἄρχεται ἐξηγεῖσθαι. B.

1458. σπάσαντες: σπασάμενοι. Gr. Florr. iidem. περιλαβόντες. Gu.

1459. δίνασεν: ἔστρεψεν. Gr. Florr. iidem. συνέστρεφεν. Gu. Fl. 33. παρὼν τύχοι: ἔτυχε παρὼν ἀντὶ τοῦ παρείη. Gr. Fl. 6. 9. 17. 21. 33. 56. 59. 76.

1460. ὀρέστεροι: ὀρεινοί. Cant. Gr. ἐν τῷ ὄρει ἀναστρεφόμενοι, ἄγριοι. Gu.

1461. ἀντίοι σταθέντες: ἐναντίον, ἔμπροσθεν στάντες. Cant. Gu.

1462. ἐννέπουσι κατθανεῖ: εἶπον, ἀποθανῇ. Cant. Gr.

1463. κακός σ' ἀποκτείνει: γρ. ἀποκτενεῖ. M. ὁ σὸς ἀνὴρ ὁ κακότροπος ἀποκτείνει σε. Cant. Gr.

1464. τοῦ κασιγνήτου: τοῦ ἀδελφοῦ αὐτοῦ τὸν υἱὸν ἐγκαταλιπὼν ἐν τοῖς 'Αργείοις, ὥστε θανεῖν. Cant. Gr.

γόνον: τὸν 'Ορέστην. B. rec.

1465. ἴαχεν: ἐβόησεν. Gr. ἀνεβόησε μεγάλως. Gu. ὤμοι μοι: λέγουσα. Cant. Gr.

1466. λευκὸν δ' ἐμβαλοῦσα: τὰς λευκὰς δὲ χεῖρας ἐμβαλοῦσα τοῖς στέρνοις, ἤγουν συναγαγοῦσα ἐπὶ τοῖς στέρνοις, ὡς σύνηθες ταῖς γυναιξὶν, ἔπαισε τὴν κεφαλὴν ἀθλίαν πληγήν. Cant. Gr.

1467. κτύπησε: μετὰ τῶν στηθῶν καὶ τὴν κεφαλὴν ἐκτύπησε. B.M.I.

1468.—1472. φυγᾷ δὲ ποδί: φυγῇ δ' ἔφερε τὸ ἴχνος τοῦ ποδὸς τὸ χρυσεοσάνδαλον· ὁ 'Ορέστης δὲ προφθάσας τὸν δρόμον αὐτῆς, ἐμβαλὼν τοὺς ἑαυτοῦ δακτύλους εἰς τὰς κόμας αὐτῆς τῇ ἀριστερᾷ χειρὶ ἀναστρέψας τὴν δέρην ἔμελλεν εἴσω τοῦ λαιμοῦ παίειν τὸ μέλαν ξίφος. Cant. Gr.

φυγᾷ δὲ ποδί: ἡ 'Ελένη, φησὶ, διαναστᾶσα φυγῇ τὴν σωτηρίαν

8. παρείη] παρῇ Fl. 33.
20. λέγουσα] λέγων Cant.
28. ἐμβαλὼν — κόμας αὐτῆς om. Cant.
31. φ. τὴν σωτηρίαν] τὴν πορείαν

φ. I. Post πορίζεται B.M.I. pergunt μυκηνίδα δὲ ἀρβύλην—δηλοῖ. τὸ δὲ δικὼν ἀντὶ τοῦ etc. Separavit Matth.

πορίζεται. B.M.I. ποδί: τοῦ ποδός. Gu. χρυσεοσάνδαλον: τὸ χρυσοῦν σανδάλιον φοροῦν. Gu.

1469. δικών: ἀντὶ τοῦ ἐκτείνας καὶ βαλών. ὁ δὲ Ὀρέστης, φησὶ, παραχρῆμα προβὰς τὸν πόδα, ἐξέτεινε τὴν χεῖρα καὶ λαβόμενος τῆς κόμης ἔμελλεν αὐτὴν παίειν τῷ ξίφει. B.M.I. δικών: ἐμβαλών. Gr.

1470. Μυκηνίδ' ἀρβύλην: τὸν πόδα φησίν· ἀπὸ γὰρ τοῦ ὑποδήματος τὸν πόδα δηλοῖ. B.M.I. τὸν πόδα, ἤγουν τὸν δρόμον αὐτῆς. Gr. τὸ γυναικεῖον ὑπόδημα ἢ τὸν πόδα αὐτῆς, ἀπὸ μέρους τὸ πᾶν. Gu. προβάς: προφθάσας. B. Gr. Bar. προβάς: λείπει ποδί. M.

1471. ὤμοις ἀριστεροῖσιν: ἀντὶ τοῦ τῇ ἀριστερᾷ χειρί. B.M. Gr. I. ἀνακλάσας: ἀναστρέψας. Gr. ἀνακλίνας, ἀνανεύσας. Gu.

1472. παίειν: ἐμβάλλειν. Gu. Fl. 6. 33.

λαιμῶν ἔσω: ὥσπερ ἐστὶ τὸ Ἴλιον εἴσω ἀντὶ τοῦ εἰς τὸ Ἴλιον, οὕτω καὶ τὸ λαιμὸν εἴσω ἀντὶ τοῦ εἰς τὸν λαιμόν. Gu. τοῦ εἴσω ἀντὶ τῆς εἰς προθέσεως λαμβανομένου, ὡς καὶ τὸ ἀνάπαλιν εὕρηται· ὁ γὰρ ποιητὴς οὗτος τὴν εἰς πρόθεσιν ἐν τῷ τρίτῳ δράματι ἀντὶ τοῦ εἴσω λαμβάνων φησὶ "τόνδ' εἰσεδέξω τειχέων." Gu. μέλαν ξίφος: τὸ μελανθησόμενον. B.M.I. μέλαν: ἢ ὡς σιδηροῦν, ἢ ὡς παρεκτικὸν σκότους. Gu.

1473. ποῦ δῆτ': ἦσαν ὥστε. Gr. ἀμύνειν: βοηθεῖν αὐτῇ. Gu.

1474. ἰαχᾷ δόμων: ἰαχῆς, φησὶ, καὶ θορύβου γενομένου κατὰ τὴν οἰκίαν, τὰς θύρας τῶν σταθμῶν, ἔνθα ἦμεν συγκεκλεισμένοι, ἐκσπάσαντες τοῖς μοχλοῖς ἐξήλθομεν βοηθήσοντες. B.M.I. σὺν κραυγῇ τὰς θύρας καὶ τὰς παραστάδας τῶν δόμων, ἔνθα ἐμίμνομεν, μοχλοῖς ἀνασπάσαντες, βοηθήσοντες ἐτρέχομεν, ἄλλος ἀπ' ἄλλου μέρους τοῦ οἴκου. Cant. Gr. ἰαχᾷ: ἐν τῇ βοῇ τῆς Ἑλένης. Gu. τῇ ἡμῶν μετὰ θρήνου. Gu.

ἐκβαλόντες: συντρίψαντες. Gu. ἐμίμνομεν: ἦμεν συγκεκλεισμένοι. Gu.

3. βαλών] λαβών M.
4. τῆς κόμης Matth. τῆς κώπης B. I. ταῖς κώπαις M.
5. παίειν] κτεῖναι B.I.
11. ἀντὶ τοῦ] ἐν I. ἀντὶ τοῦ om. Gr.
18. φησὶ] Phoen. 451.
23. συγκεκλεισμένοι] συγκεκλειμένοι M.
ib. ἐ. τοῖς μ.] τοῖς μ. ἐ. B.I.
24. βοηθήσοντες] καθήσοντες I.
26. ἐπ' Gr. sed idem supra versum ἤγουν βοηθήσοντες ἐτρέχομεν ἀπὸ ἄλλου μέρους τῆς οἰκίας:—

1476. ἀγκύλας: τὰ ἀκόντια, ἀπὸ τοῦ ἐπηγκυλίσθαι, ἢ διότι ἀπὸ τῆς κατὰ μέσον ἀγκύλης λαμβανόμενοι ῥίπτουσιν. B.M. Gu. I.

1477. πρόκωπον: μεγάλην κώπην καὶ ἐκτεταμένην ἔχον. B.M.I. ἤγουν σπάθην, ἥτις ἔχει τὴν κώπην προβεβλημένην. Bar. Gr. σπάθην τὴν ἔμπροσθεν κώπην καὶ λαβὴν ἔχουσαν. Cant. Gu.

1478. ἔναντα: ἐξεναντίας ἡμῶν. Cant. Gr.

1479. ἀλίαστος: ἀντὶ τοῦ ἄτρεπτος καὶ ἄφευκτος ἐν ταῖς μάχαις, ἢ ἀκατάπαυστος, ἢ ὃν οὐκ ἔστι λιάσαι καὶ εἰς φυγὴν τρέψαι. B.M. Gu. I. ἄφοβος. B. ἄφυκτος. Gr. ἀνέμπληκτος, φοβερὸς, θαρσαλέος. Gu. ἀθορύβητος, ἄφοβος. Fl. 21. ἀνδρεῖος, φοβερός. Fl. 2.

1480. τρικόρυθος: ὁ μεγάλην ἔχων περικεφαλαίαν. B.M. Gu. I. ὅμοιον δέ ἐστι τῷ τρίπτυχος αὐλῶπις. ἢ ὅτι ἔνιοι τῶν ἡρώων τριλόφοις ἐχρῶντο. B.M.I. ἢ τρικόρυθος ὁ τριλόφῳ περικεφαλαίᾳ χρώμενος. Gr. Cant. γέγραπται τρικόρυφος. Cant.

1481. ὅν: Αἴαντα. Cant. Gu. Πριαμίσιν: ταῖς τοῦ Πριάμου. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1482. ἀκμάς: τὰς ὀξύτητας. Gr. Fl. iidem. φασγάνων—ξυνήψαμεν: ἤγουν εἰς πόλεμον ἡμεῖς τε κἀνεῖνοι κατέστημεν. Cant. Gu.

1483. τότε δὴ τότε: ἐν τῷ πρὸς Ὀρέστην πολέμῳ ἐφάνημεν διαπρεπόντως δειλοὶ οἱ Φρύγες, ἢ τότε ἐν τῷ Τρωϊκῷ πολέμῳ. Ἄλλως. τότε δὴ τότε διαπρεπεῖς ἐγένοντο Φρύγες, ἀντὶ τοῦ ἔκδηλοι τὴν δειλίαν καὶ ἐξεληλεγμένοι, φησὶν, ἐν τῇ συμβολῇ τῇ πρὸς τὸν Ὀρέστην καὶ πρὸς τὸν Πυλάδην ἐφάνησαν οἱ Φρύγες, πολὺ τῶν Ἑλλήνων ὄντες ἀσθενέστεροι, καὶ ὅσον ἦμεν ἐλάττους ἐν τῇ μάχῃ τῇ πρὸς τοὺς Ἕλληνας κατὰ τὴν Ἴλιον. φησὶ γὰρ αὐτὰ κατὰ ἀναφορὰν πρὸς

1. τὰ ἀκόντια] ἀγκύλη τὸ ἀκόντιον Gu.

ib. ἐπηγκυλίσθαι] ἐπηγκυλεῖσθαι M. ἐπηγκυλῆσθαι B. ἐπαγκαλίζεσθαι Gu.

2. μέσον] τὸ μέσον Gu.

7. ἀλίαστος] ἀλίαστος δὲ B.

ib. ἀντὶ τοῦ om. Gu. I. καὶ om. Gu.

8. ἢ (ἢ hic et ante ἀκ. om. Gu.) ὃν οὐκ ἔστι B.M. Gu. ἢ ὃν οὐκ ἔχει I.

ib. εἰς φυγὴν τρέψαι] ἐκφυγεῖν καὶ τρέψαι Gu., e quibus illud propius ad aliorum grammaticorum explicationem accedit, ut Etym. M. p. 63, 22. ὃν οὐκ ἄν τις ἐκκλίνοι. cf. Hesych. Apollon. MATTH.

12. μεγάλην] ἢ τρίλοφον add. Gu.

13. τῷ] τὸ M.

22. τότε δὴ τότε addidi ex M. qui om. Ἄλλως.

ib. Φρύγες om. B.I.

23. ἐν τῇ — Πυλάδην] ἐν τῇ πρὸς (τὸν addit B.) ὀρέστην καὶ πρὸς τὸν πυλάδην συμβολῇ B.I.

25. ὄντες om. I.

26. αὐτὰ] αὐτοὺς M.

ib. πρὸς addidit Matth.

τὰ ἐν Ἰλίῳ, λόγου παρεκβάσει χρησάμενος· οὐ γὰρ εἰκὸς ἦν οὕτω πολλοὺς εἶναι τοὺς ἐν τοῖς βασιλείοις τεθνηκότας ὡς καταλέγειν πτώματα μυρίων νεκρῶν. ἔστιν οὖν ὁ πᾶς λόγος τοιοῦτος· κατὰ τὴν συμβολὴν τὴν πρὸς τὸν Ὀρέστην κατάδηλοι γεγόναμεν ἀσθενεῖς ὄντες οἱ Φρύγες. B.M.I.

1484. ἐγένοντο: ἐμοὶ δηλονότι. Gr. et Gu. Fl. 6. 9. 17. 56. 59. 76. Ἄρεως ἀλκάν: κατὰ τὴν ἀλκὴν τοῦ πολέμου. Gr. μὴ λάβῃς εἰς τὸ ἀλκὰν ἔξωθεν κατά, ἀλλ' ὥσπερ φαμὲν "δυνατός εἰμι τοῦτο" καὶ "σοφός εἰμι τὰ θεῖα," οὕτω καὶ "ἐλάττων εἰμὶ τοῦτο." Bar. Gu.

1485. ἥσσονες Ἑλλάδος: εἰκότως ὑπὸ τῶν Ἑλλήνων τότε ἐν Ἰλίῳ, ἢ τῶν περὶ τὸν Ὀρέστην ἡττήθησαν, ἡνίκα ὁ μὲν ἦν φυγάς, ὁ δὲ νεκρὸς ἔκειτο, ἄλλος δὲ τραυματίας ἦν, ὁ δὲ ἱκέτης προσέπιπτε, τὸν ἔλεον θηρώμενος, καὶ τέλος ὡς ὑποσκότιοι γενόμενοι τῷ πλήθει τῶν βαλλομένων βελῶν εἰς φυγὴν ἐτρεπόμεθα. καὶ οἱ μὲν ἔπιπτον τιτρωσκόμενοι, οἱ δὲ πίπτειν ἔμελλον, οἱ δὲ ἦσαν νεκροί. καὶ μέχρι μὲν τούτου ἡ παρέκβασις. τὰ δὲ ἑξῆς γενόμενα κατὰ τὴν οἰκίαν ἐστίν, ἅπερ κατὰ ἐπανάληψιν ἐπάγει. ἔστι δὲ τὸ ἑξῆς τοῦ λόγου, φασγάνων τε ἀκμὰς συνήψαμεν, καὶ ἡττήθημεν κατὰ κράτος, ὥσπερ καὶ ἐν τῷ κατὰ Ἴλιον πολέμῳ ἦν, καὶ ταῦτα συμβέβηκεν ἅπερ κατέλεξεν. ὡς δὲ ἡττήθημεν τῶν περὶ τὸν Ὀρέστην, ἦλθεν ἡ Ἑρμιόνη. δύναται δὲ καὶ ἐπὶ οἰκίας ταῦτα γενόμενα νοεῖσθαι. ἴδιον δὲ τῆς τραγῳδίας τὸ τὰ μικρὰ τῶν πραγμάτων ἐξαίρειν καὶ φοβερὰ ποιεῖν, ὥσπερ νῦν ὁ Εὐριπίδης. B.M.I. ταῦτα ὡς περὶ τῶν ἐν Ἰλίῳ λέγει τεθορυβημένος καὶ οὐ δεόντως ἀπαγγέλλων. οἱ δὲ μὴ νοήσαντες πολλοὺς ᾠήθησαν ἐν τοῖς βασιλείοις ὑπὸ τῶν περὶ τὸν Ὀρέστην ἀπολωλέναι. ἐὰν μὲν οὖν περὶ τῶν ἐν Ἰλίῳ λέγοιτο, ἔσται τὸ ὑπὸ σκότον ἀντὶ τοῦ καλυφθέντες τῷ πλήθει τῶν βελῶν ἐφεύγομεν· ἐὰν δὲ ἐν τῇ οἰκίᾳ, εἰς

4. γεγόναμεν] γεγόνασιν I. οἱ om. B.M.

12. προσέπιπτεν om. I. [προσέπεσεν est in B. Mox ὑποσκότιον M.

13. τῷ] ἢ τῷ M.

14. μὲν om. M.

16. τὰ δὲ ἑξῆς M. τὸ δὲ ἑξῆς B.I.

ib. κατὰ] τὰ κατὰ I.

20. τῶν περὶ τὸν Ὀρέστην om. I.

21. γενόμενα] γινόμενα B.I.]

22. μικρὰ] μακρὰ M.

ib. Post φοβερὰ (omisso ποιεῖν ὥσπερ) M. pergit, νῦν ὁ εὐριπίδης, ὥσπερ πολλῷ τῷ ὀλέθρῳ θεραπόντων τὸν λόγον:— ὁ μὲν οἰχόμενος: ταῦτα ἐπὶ τῶν ἐπ' ἰλίῳ νοητέον, οἱ δ' οὐ νοήσαντες ὑπέλαβον ἐν τοῖς βασιλείοις τοσούτους τεθνάναι:— ταῦτα ὡς ἐπὶ τῶν ἐν ἰλίῳ etc.

23. ταῦτα ὡς M. ταῦτα δὲ ὡς B.I.

25. ἀπολωλέναι] τεθνάναι B.I.

26. ἐὰν] κἂν B.I.

ib. οὖν περὶ τῶν et λέγοιτο om. M.

ib. ἔσται] ἔστι B.M.

τοὺς σκοτεινοὺς τόπους τῆς οἰκίας ἐφεύγομεν. B.M.I. Ἑλλάδος: Ἑλληνικῆς αἰχμῆς. Gr. Fl. 6. 9. 17. 56. 59. 76. αἰχμᾶς: κυρίως ὁ σίδηρος τῶν δοράτων, καταχρηστικῶς ὁ πόλεμος. Cant.

1487. λισσόμενος: ἀντὶ τοῦ ἵκετο ὑπὲρ τοῦ θανάτου προσβαλλόμενος καὶ ἱκετεύων. B. ὁ δὲ παρακαλῶν παράκλησιν ἕνεκα τοῦ θανάτου ὤφειλεν· λέγει δὲ λισσόμενος προβολὴν, ἐπεὶ οἱ παρακαλοῦντες προβάλλουσιν ἑαυτοὺς παρακαλοῦντες καὶ προπίπτουσιν. Cant. Gr. ἐπικαλούμενος, ἱκετεύων ταχέως ἐπελθεῖν τὸν θάνατον διὰ τὴν προσοῦσαν ἐκ τραυμάτων δυσχέρειαν. Gu.

1488. ὑπὸ σκότον: ἤγουν ἵνα ὑπὸ τὸ σκότος γενώμεθα, τουτέστιν εἰς τὰ σκοτεινὰ μέρη τῶν οἴκων. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1489. ἔμελλον: πίπτειν. Gr. πεσεῖν. Gu. Florr. iidem. ἔκειντο: πεσόντες. Gr. πάλαι τεθνηκότες. Gu. Florr. iidem.

1490. ἔμολε: ἦλθε. Gu. ἐπῆλθε. Fl. 33.

1491. ἐπὶ φόνῳ χαμαιπετεῖ: θορύβου, φησὶ, γενομένου ἦλθεν ἡ Ἑρμιόνη χαμαὶ οὔσῃ τῇ Ἑλένῃ καὶ μελλούσῃ πίπτειν μετὰ τὸ φονευθῆναι. Ἄλλως. ἢ τεθορυβημένος ὢν οἴεται αὐτὴν πεπτωκέναι, ἢ χαμαιπετεῖ, τῷ μέλλοντι πεσεῖσθαι. B.M.I. χαμαιπετεῖ οὖν ἢ τῷ μέλλοντι πεσεῖν, ἢ τεθορυβημένῳ. οὐκ ἀκριβολογεῖται. M. Ἄλλως. οὐ τῷ πεσόντι ἐπὶ γῆς· οὐδὲ γὰρ ἐφόνευσαν αὐτὴν, ἀμέλει μετὰ μικρόν φησιν ὅτι διωκομένη ἀφανὴς ἐξ αὐτῶν ἐγένετο. B.I.

χαμαιπετεῖ: τῷ χαμαὶ κειμένῳ τῆς μητρὸς, ἥτις ἡ τλήμων ἔτεκεν αὐτόν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τῷ χαμαὶ ταύτην πεπτωκέναι ποιήσαντι. Gu. Fl. 6.

1492. ἄθυρσοι: ἡ κακόθυρσοι, ἢ θύρσων δεόμενοι μόνον πρὸς τὸ εἶναι Βάκχαι· ἢ ἀθύρσους αὐτοὺς εἶπεν, ἐπεὶ αἱ Βάκχαι μετὰ θύρσων βακχεύουσι. B.M.I. . . . . ἐπέλεγον. ἔστι δὲ αὐτὴ σκυθρὸν φωνὴ ἐξελληνιζομένη, ὦ ὕις καὶ υἱὲ τοῦ ἄτις καὶ τοῦ Διός. εἶχον δὲ ἀνὰ

7. προπίπτουσιν] προσπίπτουσι Cant.

16. καὶ om. M.

17. Ἄλλως addidi ex B.M. Lemma χαμαιπετεῖ repetit I.

ib. τεθορυβημένος ὢν] τεθορυβημένου M.

25. θύρσων δεόμενοι μόνον] μόνον δεόμενοι M., omisso θύρσων.

27. ἐπέλεγον] Scholion ab initio defectum, ut apparet ex A. in quo folium 59ª in summa margine incipit ab ἐπέλεγον, quo continuantur quae in fine folii antecedentis nunc perditi, ut ad v. 1205. diximus, scripta fuerunt.

ib. αὐτὴ σκυθρὸν—ἄτις] Corrupta haec spectant ad acclamationem ὕης (vel ὑῆς) ἄττης, ἄττης ὕης, de qua dixi in Thesauro vol. 8. p. 69. Apparet ex his ante ἐπέλεγον eamdem illam formulam lectam fuisse.

χεῖρας οἱ τοιοῦτοι βάκχοι θύρσους ἤτοι νάρθηκας ἀντὶ κλάδων, τουτέστιν ἐπιφερόμενοι εἰς τιμὴν τοῦ Διονύσου. ἐδόκουν δὲ τοῖς ὁρῶσι μαίνεσθαι, τῇ δ' ἀληθείᾳ φιλάνθρωποι ἦσαν. διὰ γοῦν τὸ δοκεῖν ἐκείνους μαινομένους εἶναι ὁ Εὐριπίδης τὸ ἄθυρσοι Βάκχαι ἀντὶ τοῦ μαινόμεναι ἐξέλαβεν. A. σημείωσαι δὲ τὸ θύρσος πῶς ἐκλήθη νάρθηξ. θύρσος μὲν γὰρ τῷ φυτῷ τὸ παλαιὸν ὄνομα, παρόσον αὐτῷ ἐχρῶντο οἱ γεωργοὶ ἐν ταῖς αἱμασιαῖς τῶν λειμώνων καὶ τῶν κήπων καὶ τῶν θειλοπέδων καὶ ἀμπελώνων. ὕστερον δὲ ἐκλήθησαν νάρθηκες, ὅτι ἐχρήσαντο αὐτοῖς οἱ τῶν παίδων ἀλεῖπται καὶ παιδοδιδάσκαλοι πρὸς τὸ πλήττειν τοὺς νέους. νάρθηξ γοῦν ἐτυμολογεῖται παρὰ τὸ τοὺς νεαροὺς θήγειν, ἤτοι τοὺς νεοὺς παῖδας ἀκονᾶν καὶ παρορμᾶν πρὸς τὰ μαθήματα. A. Fl. 33.

ἄθυρσοι: δραμόντες δὲ καθὰ Βάκχαι ἄθυρσοι, ἤγουν χωρὶς θύρσων, συνήρπασαν αὐτὴν ὡς σκύμνον ὀρείαν. Cant. Gr. μυθεύονται τὰς Βάκχας ἐν ὄρεσι μετὰ Διονύσου χωρούσας παίειν μὲν τὰς πέτρας ἐν νάρθηξι, καὶ μέλι καὶ γάλα ἐνταῦθα λαμβάνειν καὶ τὰ θηρία χειροῦσθαι. Bar. Gu. κλάδους κισσοῦ αἱ Βάκχαι καὶ αὐτὸς ὁ Διόνυσος ἔφερον ἐν ταῖς χερσὶν, ὅτι, ὅτε ἡ μήτηρ αὐτοῦ Σεμέλη ἐκεραυνώθη, τοῦτον πρὸς βίαν ἀποκυήσασα, κισσὸς περιέλιξεν αὐτὸν εἰς φυλακὴν δῆθεν, ὡς καὶ ἐν τῷ τρίτῳ δράματι οὗτός φησιν ἐν τῷ χορῷ τῷ "Κάδμος ἔμολε." Gu.

1494. πάλιν δὲ τὰν Διός: συλλαβόμενοι δὲ, φησὶ, τὴν Ἑρμιόνην, οὐδὲν ἧττον πάλιν ἐπεδίωκον Ἑλένην ἐπὶ φόνῳ. B.M.I. τὰν Διὸς κόραν: ἤγουν τὴν Ἑλένην. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1495. ἔτεινον: εἷλκον. Gr. Florr. iidem.

1496. διάπρο: διόλου. Gr. Florr. iidem.

1497. ὦ Ζεῦ: τὸ μὲν Ζεῦ λέγει, διότι πατὴρ αὐτῆς ἦν, τὸ δὲ γῆ, διότι ἐν γῇ οὖσα ἀπῆλθε· τὸ φῶς, διότι ὁρωμένη παραχρῆμα ἠφάνισται· τὸ δὲ νὺξ, διότι ἐν ὅσῳ ἐβλέπετο ὥσπερ νυκτὶ καλυφθεῖσα ἄφαντος γέγονεν. Bar. Gu.

5. σημείωσαι δὲ A. σημείωσαι καὶ Fl.
6. τὸ παλαιὸν A. τῷ ἁπαλῷ Fl.
8. θειλοπέδων A. εἰλοπέδων Fl.
10. γοῦν] οὖν A.
ib. παρὰ τὸ τοὺς νεαροὺς—νέους—παρορμᾶν A. ἀπὸ τοῦ νεαροὺς—νεαροὺς—ὁρμᾶν Fl.
20. τρίτῳ δράματι] Phoen. 638.
22. φησὶ om. B.I.
23. ἐπὶ φόνῳ (ἐπιφόνον B.) om. I.
29. δὲ om. Gu.
ib. ἐβλέπετο] ἐδύνατο Gu.

1498. *φαρμάκοισι*: τοῦτο δοκεῖ ἀπὸ ἱστορίας εἶναι παρόσον παρὰ τῆς Θῶνος γυναικὸς δοκεῖ πλεῖστα φάρμακα εἰληφέναι ἡ Ἑλένη, ὡς Ὅμηρος "τά οἱ Πολύδαμνα πόρεν Θῶνος παράκοιτις, Αἰγυπτίη, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά." B.M.I. *φαρμάκοισιν*: φάρμακα τὰ διὰ βοτανῶν καί τινων ἄλλων ὑλῶν γινόμενα κακουργήματα, μαγεῖαι δὲ τὰ δι' ἐπῳδῶν. Fl. 21. Gu.

1498. *τὰ δ' ὕστερον*: τὰ μέλλοντα γενέσθαι, πραχθέντα. Gu. *οὐκέτ'*: οὐδαμῶς. Bar. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1499. *δραπέτην*: ἤγουν λαθὼν γὰρ ἐκ τῶν δόμων ἔξω ἔφυγον. Bar. Gu. et Gr. *φυγάδα*. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ἐξέκλεπτον*: ἀπέδρων γάρ. B.I.

1501. *ἀνασχόμενος*: ὑπομείνας, καρτερήσας. B. *ἀνασχὼν*, ὑπομείνας. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1502. *ἀνόητον*: ἀντὶ τοῦ ἀνοήτως. B. M. *ἀνοητότερον*. I. ἀνοήτως, ἀνωφελῶς. Cant. Gr. *μάταιον καὶ ἀνωφελῆ* (ἢ ἀνόητον add. Bar.) παρόσον οἱ ἀνόητοι οὔτε σφᾶς αὐτοὺς οὔτ' ἄλλους ὠφελεῖν δύνανται. Bar. Gu. δέον ἀνοήτως εἰπεῖν, ὁ δὲ ἀνόητον πρὸς τὸ γάμον ἐξήνεγκεν. Gu.

τὸν Ἑλένας γάμον: ἀντὶ τοῦ τὴν γυναῖκα αὐτοῦ τὴν Ἑλένην. Bar. Gr.

1503. *ἀμείβει*: ἀντὶ τοῦ διαδέχεται. B. Gr. ἔρχεται. Gu. *καινῶν*: παραδόξων, νεωτέρων. τὰ δὲ ἦν ὁ τῆς Ἑλένης ἀφανισμός. Gu. Bar.

1505. *ἐπτοημένῳ*: σπουδαίω. I. *ἐπτοημένῳ ποδί*: τεθορυβημένῃ πορείᾳ. Cant. Gr. τεταραγμένῳ, συντόμῳ, ἐμφόβῳ. Gu. ἐτραγῴδει ὁ Φρύξ. M.

1507. *νόμοισι*: ὁ νόμος γὰρ οὗτος βαρβαρικὸς, ἐπειδάν τις αὐτοὺς κτείνῃ, προσπίπτειν καὶ δεῖσθαι. Cant. Gu. *πρισπίτνων*: προσπεσὼν κατὰ συνήθειαν βαρβαρικήν. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1508. *τάδ' ἐστίν*: (καὶ ταῦτα, ἅπερ ποιεῖς, ἤγουν add. Florr.) τὸ προσκυνεῖν, ἔνθα ἂν δηλονότι ἀπηλλάγης προσκυνῶν. Gr. et Gu. Cant. Florr. iidem.

1509. *τοῖς σώφροσιν*: τοῖς φρονίμοις. Gr. Florr. iidem.

3. Ὅμηρος] Od. 4. 228.
5. ὑλῶν om. Gu.
11. γάρ om. I.
21. ἀντὶ τοῦ om. Gr.
27. ὁ om. Cant.
28. κτείνῃ] κτείνειν ἀπειλεῖ Cant.

1510. οὔτι που: οὐδαμῶς. Gu. που: ἴσως. Gu. ἀντὶ τοῦ οὐ διὰ τοῦτο, φησὶν, ἐβόησας, ὥστε τὸν Μενέλαον ἐλθόντα βοηθεῖν; Ἄλλως. οὐκ ἄρα που μεγάλῃ φωνῇ τὸν Μενέλεων ἐκάλεσας ὥστε βοηδρομεῖν; A.B.M.I. Ἄλλως. ἀνάξια καὶ τραγῳδίας καὶ τῆς Ὀρέστου συμφορᾶς τὰ νῦν λεγόμενα. A.B.M. Fl. 33.

1511. σοὶ μέν: λείπει τὸ βούλομαι, ἢ ἕτοιμός εἰμι. σοὶ μὲν ἐγὼ βοηθεῖν ἕτοιμος· τιμιώτερος γὰρ ὑπάρχεις. I. ἀξιώτερος: καὶ δικαιότερος. Fl. 59.

1512. ἐνδίκως: δικαίως ἄρα ἡ Τυνδαρὶς διεφθάρη; I. ἡ Τυνδάρειος: ἀντὶ τοῦ ἡ τοῦ Τυνδάρεω παῖς, ὅμοιον τῷ Λητῴα κόρη. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1513. ἐνδικώτατα: δικαιότατα, εἴπερ ἐκέκτητο τρεῖς λαιμοὺς, ὥστε ἀποθανεῖν. I.

1514. δειλία: νῦν, φησὶν, ἔοικας ὑπὸ δειλίας τὰ ἔνδον ὑποκρίνεσθαι τοῖς λόγοις, ἕτερα κατὰ τὴν ψυχὴν ἔχων καὶ φρονῶν. A.B. M. Fl. 33. ὑπὸ τῆς δειλίας χαριτογλωττεῖς, ἕτερα κατὰ ψυχὴν ἔχων καὶ φρονῶν. I.

1515. οὐ γάρ: οὐ γὰρ δίκαια ἔπαθεν, ἥτις τὴν Ἑλλάδα σὺν αὐτοῖς Φρυξὶν ἔβλαψεν; I. ἀντὶ τοῦ οὐ πρὸς χάριν, ἀλλ' ἀληθῶς λέγω ὅτι ἀξία ἐστὶν ἀποθανεῖν, ἥτις τὴν Ἑλλάδα πᾶσαν καὶ τὴν Φρυγίαν ἠφάνισεν. B.I. οὐ γὰρ ἐνδίκως ἀπώλετο, ἥτις διελυμήνατο τοὺς (Gr. τὰ) ἀπὸ τῆς Ἑλλάδος σὺν αὐτοῖς τοῖς Φρυξίν; Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. διελυμήνατο: ἔφθειρε. Fl. 6.

1516. ὄμοσον: ὄμοσον, φησὶν, ὅτι οὐ πρὸς χάριν ἐμὴν ταῦτα λέγεις, οὐδὲ ὑποκρινόμενος, ἀλλὰ τῇ ἀληθείᾳ οὕτω φρονεῖς. λείπει

1. που] ποῦ Gu. in textu.
ib. ἀντὶ τοῦ om. I.
3. ἄρα που (ποῦ A.B M.)—ὥστε] οὐκ ἄρα (ποῦ addit B.) φησὶ μεγάλα φωνεῖς τὸν μενέλεων ὥστε B.I.
4. Ἄλλως A. ἐνδίκως lemma (v. 1512.) in ceteris.
ib. ἀνάξια] ταῦτά φασι addit B.
ib. καὶ τρ. καὶ τῆς ὀ. (τοῦ ὀ.) A.B. τῆς τρ. καὶ τῆς τοῦ (τοῦ om. M.) ὀ M. Fl.
5. τὰ νῦν (νῦν om. M. Fl.) λεγόμενα om. B.
6. λείπει τὸ βούλομαι etiam B.M.
14. τὰ ἔνδον] τἄνδον A.M.
16. Flor. 33. νῦν, φησὶν, ἔοικας ὑπὸ δειλίας τὰ ἔνδον ὑποκρίνεσθαι τοῖς λόγοις, ἕτερα etc. Florr. septem et Gr. διὰ δειλίαν χαρίζῃ τῇ γλώττῃ, ἤγουν χαριτογλωττεῖς: — nisi quod Florr., ut videtur, χαριτογλωττίζεις, quod Matth. per errorem etiam ex Gr. affert, qui χαριτογλωττεῖς habet.
ib. χαριτογλωττεῖς] χαριτογλωττίζεις I.
19. ἀντὶ τοῦ om. I.
24. φησὶν om. A.

δὲ ἡ εἰς, εἰς ἐμὴν χάριν. A.B.M.I. ὅτι ἐνδικώτατα διώλετο, ἢ ὅτι ὅσα σου ἡ γλῶσσα λέγει, ταῦτα καὶ ἡ ψυχή σου. Gu.

1517. τὴν ἐμὴν ψυχήν: τὴν ἐμὴν ζωὴν κατώμοσα, ἣν ἐπικαλῶ, εἰς ὅρκον λαμβάνω. I. ἣν ἂν εὐορκοῖμ' ἐγώ: ἀληθῶς ὀμνύοιμι. φυλάξω. Gu. ἣν ἂν ἐγὼ καλῶς, ἤγουν ἔξω κακοτροπίας, εἰς ὅρκον προβαλοίμην. Gr. ἀληθῶς ὀμνύοιμι, τουτέστι δι' ὧν ζῆν ἠρετισάμην, διὰ τούτων ὥσπερ δι' ὅρκου ἔδειξα ὡς ἀληθῆ ταῦτά φημι. οἱ δὲ τὸ κατώμοσα ἀντὶ τοῦ ὀμνύω λέγοντες οὐ καλῶς λέγουσιν. Gu. Bar.

1518. ὧδε κἀν Τροίᾳ: καὶ ἐν Τροίᾳ, φησὶν, ὁ σίδηρος οὕτως ἦν φοβερὸς τοῖς Τρωσὶν, ὡς σὺ νῦν ὁρῶν τὸ ξίφος φῂς θάνατον ἐνοπτρίζεσθαι; A.B.M.I. ἰδὼν ὁ Ὀρέστης ὅτι παραχρῆμα τὴν ψυχὴν αὐτοῦ ὤμοσεν ὁ Φρὺξ φοβηθεὶς τὸ ξίφος τοῦτό φησιν. Gu. ὧδε: οὕτως. Gr. σίδηρος: ὁ ἀπὸ σιδήρου θάνατος. Gu. φόβος: ἀντὶ τοῦ φοβερός. Gr.

1519. ἄπεχε: γρ. ἄπαγε. M. ἄπεχε φάσγανον: μακρὰν ἔχε τὸ ξίφος· πλησίον γὰρ ὂν φοβερὸν φόνον ἀντιλάμπει. I. μακρὰν ἔχε. Gr. πόρρω ἐμοῦ. Gu. ἀπέχω ἐγὼ καὶ ἀπέχω ἕτερον, ὡς ἐνταῦθα. Bar. Gr. ἀνταυγεῖ: ἀποστίλβει. Gr. ὑποφαίνει ἐμοί. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1520. μὴ πέτρος: ἵνα μὴ ἀπολιθωθῇς φοβῇ, ὥσπερ τὴν Γοργόνα θεασάμενος. I.

1521. μὴ μὲν οὖν: μᾶλλον μὲν οὖν δέδοικα μὴ νεκρὸς γένωμαι. B.M. Gr. I. Γοργοῦς: λέγεται καὶ ἡ Γοργὼν τῆς Γοργόνος, καὶ ἡ Γοργὼ τῆς Γοργόος καὶ Γοργοῦς. Cant. Gr.

1522. ὅς σ' ἀπαλλάξει κακῶν: ἐλευθερώσει τῶν ἐκ τῆς δουλείας κακῶν. Bar. Gr.

1525. ἀφεῖσαι: ἐπὶ τοῦ παρόντος, φησὶν, ἀφίημί σε, ὕστερον δὲ βουλεύσομαι περὶ σοῦ. B.M.I. ἀπάλλαξαι. M. πρὸ τέλους ὁ τόνος· προπερισπᾶται γὰρ παρακείμενος ὤν. ὁ δὲ Θεοδόσιος ἀπὸ τοῦ

1. δὲ ἡ εἰς] τὸ εἰς A.
7. ὥσπερ] ὅπερ Gu.
8. οὐ καλῶς λέγουσιν] μάταιοι Bar.
9. σίδηρος—σὺ] σίδηρος πᾶσι φρυξὶν οὕτως ἦν φοβερὸς ὡς καὶ σὺ A.
10. ἐνοπτρίζεσθαι] ἐνοπτρίζομαι A. M.
22. μᾶλλον μὲν οὖν om. B.M.
ib. δέδοικα] δέδοικα ἵνα Gr. I.
ib. νεκρὸς γ. B. Gr. γ. νεκρός M.I.
25. τῶν ἐκ et κακῶν om. Gr.
28. πρὸ τέλους] ἔστι δὲ πρὸ τέλους I.
29. θεοδόσιος M., omisso δέ. θεόδωρος B.I.

ἕω φησὶν αὐτό· εἰ γὰρ ἦν ἀπὸ τοῦ ἵημι, προπαρωξύνετο, φησὶν, ὡς τρισύλλαβος. οἱ δὲ ἀπὸ τοῦ ἵημι, ἥσω, ἧκα, ἕμαι καὶ εἷμαι, κατὰ πλεονασμὸν τοῦ ι, ὡς τὸ τέθειμαι, καὶ εἷσαι, καὶ ἐξ αὐτοῦ τὸ ἀφεῖσαι. φυλάττεται γὰρ ὁ τόνος τῶν ὁριστικῶν, ἐπὰν μετὰ προθέσεως συντεθῇ καὶ μὴ ἀποβάλλωσι τὴν μακράν. B.M.I. ἄφειμι, ὁ μέλλων ἀφήσω, ὁ παρακείμενος ἀφῆκα, ὁ παθητικὸς ἀφεῖμαι ἀφεῖσαι. C. ἠλευθέρωσαι. Gr. ἀπολέλυσαι τούτου. Gu. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76.

1526. μεταβουλευσόμεσθα: μεταμελησόμεθα. Fl. 59. τὸ μεταβουλευσόμεσθα λέγει, ἢ ἂν ὁ Φρὺξ φανῇ κακὸς, ἢ ἀστειευόμενος. Gu.

1527. μῶρος εἶ: μῶρος εἶ, φησὶν, εἰ δοκεῖς με ὅλως ἀξιῶσαι φονεύειν σε. τινὲς δὲ εἰς τὸ μωρός στίζουσι καὶ τὸ ἄλλο ἀπόλυτον. M. τινὲς οὕτω στίζουσι, καὶ τὸ ἄλλο ἀπόλυτον· τινὲς δὲ οὕτως, εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην, πάνυ ἀνόητος εἶ, ἵν' ᾖ κατ' ἔλλειψιν. B. Gu. I.

1528. οὔτε γὰρ γυνὴ πέφυκας: δύναται μὲν καὶ ἐπὶ εὐνούχου ταῦτα λαμβάνεσθαι, δύναται δὲ καὶ ὅτι γύννιδές εἰσιν οἱ Φρύγες. B.M.I. οὔτ' ἐν ἀνδράσι: εὐνοῦχος γὰρ ἦν. I. οἱ εὐνοῦχοι τὸ θερμὸν ὀλίγον ἔχουσι. C.

1529. τοῦ δὲ μὴ στῆσαι: ποιῆσαί σε κραυγὴν ἐξῆλθον τῶν δόμων. στενούμενοι οἱ πόροι τῆς διεξόδου ἀποτελεῖται ἡ φωνὴ ὀξεῖα καὶ λεπτή. C. ἕνεκα δὲ τοῦ μὴ ἐγεῖραί σε κραυγὴν ἐξῆλθον τῶν δόμων. B. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1530. ὀξὺ γάρ: ταχὺ, ὀξέως. Gu. ἀντὶ τοῦ ὀξέως ἐξεγείρονται οἱ Ἀργεῖοι, ἐπὰν βοῆς ἀκούσωσιν. ἐκεῖνο, φησὶν, ἐφοβούμην καὶ

1. ἕω] ἕω libri et sic reliquae quoque quae sequuntur formae omnes cum spiritu leni scriptae sunt.

ib. προπαρώξυνετο] προπαροξύνετο B. I. προπαροξύνεται M.

2. τρισύλλαβος] ἀπὸ τοῦ εἴομι (sic) addit M.

3. τοῦ ῑ om. M.

ib. ὡς τὸ] τὸ om. B.I.

ib. ἐξ αὐτοῦ om. M.

5. ἀποβάλλωσι] ἀποβάλωσι I.

14. καὶ τὸ ἄλλο ἀπόλυτον om. Gu.

17. δύναται—ταῦτα] τοῦτο δὲ δύναται μὲν ἐπὶ εὐνούχου B.I.

18. γύννιδες] γύνιδες B.M. γυνίδες I.

21. ποιῆσαι] Supplendum e textu, cui haec annotatio superscripta, τοῦ μὴ ποιῆσαι etc.

22. στενούμενοι οἱ πόροι] Nominativi absoluti, ut ad v. 1392. in scholio codicis C. ὁ Γανυμήδης ἄνθρωπος ὢν ἠράσθη αὐτοῦ ὁ Ζεύς.

23. ἕνεκα δὲ τοῦ μὴ] ποιῆσαι μὴ (sic) B.

25. ἐξεγείρονται — ἀκούσωσιν om. M.

ὑφωρώμην, μὴ ἄρα σὺ κραυγάσας ἐξαναστήσῃς τὴν πόλιν καθ' ἡμῶν. περὶ γὰρ τοῦ Μενελάου οὐδεὶς λόγος· ἑνὸς γὰρ αὐτοῦ ὄντος δυνησόμεθα περιγενέσθαι, ὥστε ἡκέτω ὁ τῷ κάλλει μόνον ἐπερειδόμενος. εἰ δὲ τοὺς Ἀργείους πάντας ἐπαγόμενος ἔλθῃ, ἀμυνόμενος ἡμᾶς διὰ τὸν τῆς Ἑλένης φόνον, καὶ μὴ ἐθελήσῃ σώζειν ἡμᾶς, ἐπαναιρήσομαι τῇ Ἑλένῃ τὴν Ἑρμιόνην. B.M.I.

ὀξὺ γάρ: δέον ὀξέως εἰπεῖν, ὀξὺ εἶπε πρὸς τὸ Ἄργος, σύναπτε δὲ πρὸς τὸ ἐγείρεται. Bar. Gu. Ἄργος ἐξεγείρεται: ἀντὶ τοῦ οἱ Ἀργεῖοι ἐξεγερθήσονται. Cant. Gr.

1531. Μενέλεων: οὐ φόβος δὲ λαβεῖν τὸν Μενέλαον τοὺς Ἀργείους δηλονότι εἴσω ξίφους, ἤγουν πολέμου καθ' ἡμῶν, τουτέστιν εἰς πόλεμον καθ' ἡμῶν. Bar. Gu. οἷον ὑποδέξασθαι τὴν πρὸς Μενέλεων μάχην, εἰς πόλεμον αὐτῷ καταστῆναι. Gu.

1532. γαυρούμενος: σοβαρευόμενος. Gr. ἐπαιρόμενος, σοβῶν. Bar. Gu. ἀλαζονευόμενος. Fl. 33. οἷον γαυρούμενον ἐπὶ τῇ κόμῃ. M.

1533. εἰ γὰρ Ἀργείους: εἰ γὰρ Ἀργείους λαβὼν ἄξει ἐπὶ τοῖσδε τοῖς δώμασιν, ἤγουν κατὰ τούτων τῶν δωμάτων. Gr.

1534. τὸν Ἑλένης φόνον: τιμωρούμενος διὰ τὸν τῆς Ἑλένης φόνον. διώκειν γὰρ ἦν τὸ εἰς δικαστήριον ἕλκειν ἄλλους, καὶ διώκειν κυρίως τὸ κατηγορεῖν. κεῖται δὲ νῦν ἐπὶ τοῦ ἐπεξιέναι. ὁ δὲ λόγος, ἐπεξιὼν διὰ τὸν Ἑλένης φόνον. A.B.M.I. διώκων: ζητῶν, ἀπαιτῶν. Gr. ἐγκαλῶν ἐμοί. διώκειν κυρίως τὸ εἰς δικαστήριον ἕλκειν. Gu. κἀμὲ μὴ σώζειν θέλει: γρ. κἀμὲ μὴ σώσῃ θανεῖν. B.M.

1536. παρθένον: τὴν Ἑρμιόνην. Gr. δάμαρτα: γυναῖκα. Gr. πῶς λέγει τὴν δάμαρτα; οὐ γὰρ τέθνηκεν. ἢ δῆλον ὅτι τὸ γενέσθαι ἄφαντον ταύτην ὅμοιον ἦν ὥσπερ ἂν εἰ καὶ νεκρὰ ἐγεγόνει. Gu.

1537. τύχα: δυστυχία. Cant. Gr. ἕτερον εἰς ἀγῶνα: εἰς ἕτε-

3. ἡκέτω] ἡκέσθω M.
8. οἱ om. Gr.
10. οὐ φόβος δὲ] ἡμῖν add. Bar.
11. ξίφους] τοῦ ξίφους Bar., et τοῦ πολέμου.
ib. τουτέστιν] τὸ δέ ἐστιν Bar.
12. οἷον —] In A.M. οἷον — μενέλαον (τὸν μενέλαον A.) μάχην εἴσω αὐτὸν (αὐτὸ A.) τὸ ξίφος λαβεῖν, in B. οἷον ἀναδέξασθαι — μενέλαον μάχην οὐ δέδοικα :—
18. τιμωρούμενος] μὲν addit A. et om. τῆς.
19. φόνον — κατηγορεῖν] φόνον. ἕλκειν καὶ ἄλλους διώκειν. κυρίως ἐπὶ τὸ κατηγορεῖν I.
ib. δικαστήριον] τὸ δικαστήριον A.
21. φόνον] φόβον I.

ρον κίνδυνον πίπτει ὁ δόμος φοβερὸν περὶ τοὺς Ἀτρείδας. Cant. Gr. ἤγουν δυστυχήσας πολλάκις οὗτος ὁ δόμος διὰ τοὺς συμβάντας ἐν αὐτῷ φόνους, εἰς ἕτερον πάλιν ἀγῶνα καὶ κίνδυνον χωρεῖ, εἰς τὸ κινδυνεύσειν λέγω Ὀρέστην καὶ Ἠλέκτραν δι' ἃ εἰργάζοντο δυσχερῆ· ἀμυνεῖται γὰρ ὁ Μενέλαος μετὰ τῶν Ἀργείων διά τε τὴν γυναῖκα καὶ τὴν θυγατέρα. Bar. Gu.

ἕτερον εἰς ἀγῶν': ὁ δόμος ὁ περὶ τοὺς Ἀτρείδας ἀντὶ τοῦ ὁ τῶν Ἀτρειδῶν οἶκος εἰς ἕτερον ἀγῶνα μεταπίπτει. A.B.M.I.

1539. τί δρῶμεν: μερίζεται τὴν γνώμην ὁ χορός· δέδοικε γὰρ μὴ ὕστερον ἐγκληθῇ κρύψας. B.M.I. τί βούλει ἵνα δρῶμεν. Gr. et Gu.

1540. ἢ σῖγ' ἔχωμεν: ἢ σιωπήσομεν καὶ μηδὲν ἐξείπωμεν τῇ πόλει; B.

1541. ἴδε προκηρύσσει: ἰδού, φησὶν, ἀναπηδῶν ὁ καπνὸς ἀπαγγέλλει τῇ πόλει τὰ ἐνταῦθα πραττόμενα. B.M.I. προκηρύσσει: προδήλως βοᾷ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. προμηνύει. Gu.

1542. θοάζων: τρέχων, ἕρπων. Bar. τρέχων. Gr. ὥσπερ βοῶν. Gu. ἰδοὺ, φησὶν, ὁ ἀναπηδῶν καπνός. Gu.

πεύκας: δᾷδας. Bar. Gr. πυρώσοντες: ἐμπυρίσοντες. Gr. καύσοντες, πυρπολήσοντες. Gu.

1544. ἀφίστανται: χωρίζονται. Bar. φόνου: τοῦ τῆς Ἑρμιόνης. Bar. Gu. Fl. 6. γράφεται πόνου. Fl. 6.

1545. τέλος ἔχει: ὁ θεὸς ἐπάγει τοῖς ἀνθρώποις ὅποι θέλει τὸ τέλος. I. ἀντὶ τοῦ τῶν ἀνθρωπίνων πραγμάτων τὸ τέλος ἐν θεῷ ἐστίν. Ἄλλως. ἀεὶ, φησὶν, ὃ βούλεται ὁ θεὸς τοῖς ἀνθρώποις τέλος ἐπιτίθησι. B.M.I. Ἄλλως. ὡς ἐν ὀλίγῳ τοῦτό φησιν ὅτι τὰ πράγματα τὸ τέλος καὶ τὴν ἔκβασιν ἔχει κατὰ τὸ θέλημα τοῦ θεοῦ. A. ἤγουν

4. λέγω] λέγει Gu.
ib. εἰργάζοντο] ἐργάζονται Gu.
7. ὁ δόμος om. I. In M. est ὁ δόμος ὁ περὶ τοὺς ἀτρείδας ἀντὶ τοῦ τῶν ἀτρειδῶν δόμος εἰς—μεταπίπτει. In B. ὁ περὶ τοὺς ἀ. δόμος etc.
9. μερίζεται τὴν] μετεωρίζεται δὲ τὴν I. In Fl. 33. est μερίζεται δὲ τῇ γνώμῃ.
15. τὰ ἐνταῦθα] ταυθάδε M.
24. ἀντὶ τοῦ M. ἄλλως I. Neutrum in B. In A. haec leguntur. τέλος ἔχει δαίμων: τῶν ἀνθρωπίνων, φησὶ, πραγμάτων τὸ τέλος ἐν θεῷ ἐστίν. ἄλλως. ἀεί φησιν ὃ βούλεται ὁ θεὸς τοῖς ἀνθρώποις τέλος ἐπιτίθησι. In C. τίς (corrige τέλος) φέρει καὶ ὁ θεὸς τοῖς ἀνθρωπίνοις πράγμασι ἐπιτίθησι.
ib. ἐν θεῷ] ἐκ θεῶν I.
25. ἀεὶ, φησὶν om. I.

οὓς ἂν ἐθέλῃ ἡ τύχη τελείως ἀφανίζει. Gu. τοῦτο δὲ εἶπε δι' Ἀγαμέμνονα καὶ τοὺς αὐτοῦ, ὅτι μεγάλως δυστυχήσαντες νῦν κινδυνεύουσι τελείως ἀπολέσθαι. τί γὰρ οὐκ ἂν δράσῃ Μενέλαος ταῦτα πυθόμενος; δέον δὲ οὕτως εἰπεῖν, ἡ δι' ἀλαστόρων δέ τις δύναμις μεγάλως ἔπαισε τὰ μέλαθρα, μεγάλη εἶπε πρὸς τὸ δύναμις. Bar. Gu. ἔχει: παρέχει. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἐπιφέρει. Fl. 33.

1546. ὅπα: ὅπου. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

δύναμις: τῶν θεῶν. Gr. ἡ ὀργή. Gu.

δι' ἀλαστόρων: διὰ δαιμόνων κακοποιῶν ἦλθε τάδε τὰ οἰκήματα διὰ φόνων διὰ τὸ πτῶμα τοῦ Μυρτίλου τὸ ἐκ τοῦ δίφρου. Bar. Gr. ὑπὸ τῶν φθονερῶν δαιμόνων, φθαρτικῶν θεῶν. Cant.

1547. ἔπαισε: ἐὰν μὲν διὰ τοῦ ε τὸ ἔπεσεν, οἱονεὶ ἐπλησίασέ τις τοῖς οἴκοις φονικὸς δαίμων, δι' αἱμάτων τιμωρίαν ποιούμενος τοῦ πτώματος τοῦ Μυρτίλου· ἐὰν δὲ διὰ τῆς αι διφθόγγου, ἀντὶ τοῦ ἔκρουσεν, ἐὰν ἔλθῃ ὁ Μενέλαος. A.B.M.I.

ἔπαισ': κατέβαλεν, ἠφάνισεν. Gu. Fl. 6. καὶ ἦλθε καὶ διέβησαν. Gu.

1550. ὀξύπουν, ᾐσθημένον: ἀντὶ τοῦ ἀκούσαντα παρά τινος τὴν παροῦσαν δυστυχίαν ἐν τοῖς οἴκοις. B.M.I.

1551. οὐκέτ' ἂν φθάνοιτε: οὐκ ἂν προλαβόντες συναρμόσητε διὰ τῶν μοχλῶν τὰ κλεῖθρα, ὦ κατὰ στέγας Ἀτρεῖδαι; Cant. Gr. κλεῖθρα συμπεραίνοντες: ἀντὶ τοῦ συμπερῶντες, συνδέοντες, συγκλείοντες, πέρας ἐπιτιθέντες τοῖς μοχλοῖς, τουτέστι ταῖς θύραις. A.B.M.I. συνάπτοντες. Gu.

1552. ὦ κατὰ στέγας: τὸ Ἀτρεῖδαι ἢ διὰ μόνον τὸν Ὀρέστην λέγει, ἢ καὶ δι' ἀμφοτέρους· φασὶ γὰρ ὡς ἡ τοῦ Πυλάδου μήτηρ

2. νῦν om. Bar.

ib. κινδυνεύουσι] κινδυνεύσοισι Gu.

4. ἡ δι'—δύναμις] δύναμις δέ τις δι' ἀλαστόρων Bar.

12. In Gu. nihil praeter φθαρτικῶν θεῶν.

14. δαίμων] δράκων A.

16. ἐὰν ἔλθῃ ὁ Μενέλαος delevit Kingius nec ego quid sibi velint assequor. MATTH.

19. ἀντὶ τοῦ A.B.M. ταχύπουν ἀντὶ τοῦ ταχέως I. Excidit ἐρχόμενον. Gl. ταχέως ἐρχόμενον est in Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. MATTH.

23. ἀντὶ τοῦ συμπερῶντες om. A.M., συμπερῶντες om. B.

24. ἐπιτιθέντες] ἐπιθέντες I.

ib. τοῖς μοχλοῖς—ταῖς θύραις A. ταῖς θύραις—τοῖς μοχλοῖς B.M.I.

Κυδραγόρα ἀδελφὴ ἦν Ἀγαμέμνονος. διὸ καὶ πρόσθεν φησὶν, ὦ συγγένεια πατρός. Bar. Gu. τρόπος ἡ σύλληψις. Fl. 33. δεινὸν εὐτυχῶν: δεινὸν, φησὶ, καὶ χαλεπὸν ἀνὴρ εὐτυχῶν, ὅταν ἔχῃ ἔχθραν πρὸς δυστυχοῦντα· ἰδοὺ γὰρ, φησὶ, καὶ σὺ νῦν, Ὀρέστα, δυστυχεῖς ἔχθραν ἔχων πρὸς εὐτυχοῦντα. ἀνὴρ γὰρ εὐτυχὴς πρὸς δυσδαίμονα μαχόμενος ἐπικρατέστερός ἐστι. καὶ Ὅμηρος "μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι." A.B.M.I.

1554. ἥκω κλύων: ἦλθον ἀκούσας τὰ χαλεπὰ καὶ τολμηρὰ καὶ αὐθαδῶς εἰργασμένα. I. τὰ δεινὰ καὶ δραστήρια: ὅ ἐστι τὰ χαλεπὰ καὶ δράματος ἄξια. τὸ γὰρ δρᾶσαι ὡς ἐπὶ πολὺ ἐπὶ τοῦ χαλεποῦ τάσσουσι. A.B.M.I. κατὰ τὸ σιωπώμενον δὲ εἰκὸς ἀπηγγέλθαι τῷ Μενελάῳ τὰ κατὰ τὸν οἶκον γινόμενα. B.M.I. βάξιν ἀντὶ τοῦ φήμην. ἐνόμισε γάρ τινα πεπλακέναι ταῦτα· τοῦτο γὰρ δηλοῖ τὸ ἦν φόβῳ σφαλεὶς ἀντὶ τοῦ ἥντινά τις διὰ τὸν φόβον μὴ ἀκριβῶς νοήσας ἤγγειλεν. B.M.I.

1554. ἕως τέλους ὑποκρίνεται ὁ Μενέλαος. B.M. δραστήρια: καὶ τὰ τολμηρά. Gr. δραστήριος ὁ βίαιος καὶ δυνάστης. Cant.

1555. οὐ γὰρ ἄνδρ': ἀλλὰ μιαιφόνους θῆρας. Bar. Gu.

1556. ξυνάορον: σύζυγον. Gr. ὅμοιον τῷ "εἰπέ μοι τὸν Πολύδωρον, εἰ ζῇ." Gr.

1557. ἀλλ' ἄφαντος: ἀλλ' ὅτι ᾤχετο ἄφαντος γενομένη. Gr.

1558. κενήν: ματαίαν. Gr. ψευδῆ· οὐ γὰρ πιστεύεται. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. βάξιν: ἀγγελίαν. Gr. βοήν. Gu. Fl. 6. φόβῳ σφαλείς: ὑπὸ φόβου ἀπατηθείς. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τοῦ καθεστηκότος παρατραπείς. Gu. ἀπατηθείς. Gr. Bar.

1559. ἀλλὰ τοῦ μητροκτόνου: οἴεται ὅτι Ὀρέστης ἔσπειρε φή-

4. δυστυχοῦντα (δυστυχοῦντας A.B. M.) ἰδοὺ—ἔχων πρὸς om. I.

5. εὐτυχοῦντα] εὐτυχοῦντας I.

6. Ὅμηρος] Il. 7, 111.

9. τὰ δεινὰ κ. δ.] ἄλλως I.

ib. ὅ ἐστι τὰ] ὅ ἐστι om. I., τὰ om. B.M.

10. τὸ γὰρ] τὸ δὲ γὰρ I.

ib. ἐπὶ (καὶ ἐπὶ M.) τοῦ] τοῦ om. I. Post χαλεποῦ A. addit καὶ δεινοῦ.

12. βάξιν] βάξιν δὲ I.

13. γάρ] δέ I.

ib. τοῦτο γὰρ δηλοῖ τὸ et ἀντὶ τοῦ om. M.

15. ἤγγειλε] Addit M. ἐνόμισε γάρ τινα πεπλακέναι ταῦτα, B. ἐνόμιζε γὰρ, ὡς εἴρηται, τινὰ ταῦτα πλάσασθαι. Et sic I. quoque, nisi quod ταῦτα om. et typothetae errore habet πλάσεσθαι. Verba ἥντινά τις διὰ φόβον μὴ ἀκριβῶς νοήσας ἤγγειλεν habet A. cum lemmate φόβῳ σφαλείς (v. 1558.)

26. ὅτι Ὀρέστης ἔσπειρε] ὡς ὁ ὀρέστης διέσπειρε A.

μην ὡς ἄρα ἡρπάγη ἡ Ἑλένη μέλλουσα τελευτᾶν ὑπ' ἐμοῦ. Ἄλλως. τοῦ Ὀρέστου, φησὶ, φονεύσαντος ἢ κρύψαντος, ἵνα μὴ ταράξῃ, ὑπέθετο αὐτὴν ἡρπάσθαι. A.B.M.I.

1560. τεχνάσματ': εἰπὼν τεχνάσματα ἐπάγει ὡς ταυτὸν "καὶ πολὺς γέλως," ἤγουν τοῦ μητροκτόνου ἐστὶ ταῦτα τὰ τεχνάσματα, ταυτὸν δέ ἐστιν εἰπεῖν, καὶ πολὺς γέλως. Cant. Gr. μηχαναί. Gr. ὑποβολαὶ, πανουργίαι. Gu. ταῦτα: τὰ γεγονότα. Gr. ὅτι ἄφαντος ἡ Ἑλένη γέγονεν. Gu.

1561. προσπόλοις λέγω: τοῖς προσπόλοις λέγω ὠθεῖν τὰς πύλας τάσδε. Gr.

1562. ὠθεῖν: ἀνοίγειν. Bar. Gu. ἀποπέμπειν. Fl. 33. ὡς ἂν ἀλλὰ παῖδ' ἐμήν: εἰ καὶ μὴ τὴν Ἑλένην, ἀλλὰ κἂν τὴν παῖδα ῥύσωμαι. A.B.M.I. ἐπειδὴ οὐκ ἐσώσαμεν τὴν γυναῖκα. Bar. Gu.

1563. ῥυσώμεθ': ἤγουν ἐλευθερώσωμεν. Fl. 17. σώσωμεν. Fl. 6. μιαιφόνων: φονικῶν, αἱμοχαρῶν. Cant. λῃστῶν. Gu.

1565. ᾗ δεῖ: πρέπει τῇ Ἑλένῃ διὰ τῆς χειρός. B. γυναικὶ Ἑλένῃ. Gu. ἥτινι τῇ Ἑλένῃ δεῖ τοὺς φονέας αὐτῆς ὑπ' ἐμοῦ συναναιρεθῆναι. A.B.M.I. ᾗ δεῖ: γέγραπται ἢ δεῖ, ἀντὶ τοῦ εἰ δὲ μή. Cant. δεῖ: χρεών. Gr. ἀπόκειται. Gu. ἐμῇ χερί: διὰ τῆς ἐμῆς χειρός. Gr.

1566. τοὺς διολέσαντας: φονεύσαντας. Fl. 6. διαφθείραντας. Fl. 17.

1567. οὗτος σύ: ταῦτα ἄνωθεν Ὀρέστης ἐκ τοῦ δώματός φησι. B.M. Gu. I. προσφώνημα καταφρονητικόν. C.

1568. πεπύργωσαι: ἐπῆρσαι, πέφραξαι, ὑψώθης εἰς μάχην παραγεναμένου. B.M.I. ἐπηρμένος εἶ καὶ μετέωρος διὰ τοῦ θράσους. Gr. ὡς πύργος. Gu. ὥσπερ ὁ πύργος. Bar. Gr. διὰ τοῦ θράσους. Bar. πέφραξαι, καθώπλισαι, ἢ δίκην πύργου σεσόβησαι. Gu. δίκην πύργου ὕψωσαι τῷ θράσει. Fl. 6.

1569. ᾗ: εἰ δὲ μή. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. τῷδε

1. ἡρπάγη ἡ (ἡ om. B.) Ἑλένη] ἑλένη ἡρπάγη I.

ib. ἐμοῦ] αὐτοῦ I.

2. Ὀρέστου, φησὶ, φονεύσαντος ἢ κρύψαντος (κ. ἢ φ. B.), ἵνα] ὀρέστου φήσαντος ἢ φονεύσαντος, ἵνα I. Cum A.M. consentit Flor. 33.

ib. μὴ Flor. 33. με ceteri.

3. ἡρπάσθαι] ἡπαχθαι I.

12. ῥύσωμαι om. A.M. ῥυ B.

17. τῇ ἑλένῃ A. τῇ om. ceteri.

18. συναναιρεθῆναι post δεῖ B.I.

25. εἰς μάχην παραγεναμένου om. B.I.

θριγκῷ: θριγκοὶ καλοῦνται οἱ ἐπικείμενοι λίθοι ταῖς ἐξοχαῖς τῶν δωμάτων. τὰ αὐτὰ δὲ καὶ γεῖσσα. B.C.M. Gr. I. τῷ τοῦ περιβόλου τμήματι. Bar. Gu. λίθῳ. Fl. 33.

1570. ῥήξας: ἀνασπάσας, τεμών. Gu. γεῖσσα: λέγονται νῦν καὶ αἱ στεφάναι τῶν οἴκων. B.M.I. ἄκρα, στεφανώματα. Gu. γεῖσσα κυρίως τὰ θεμέλια. ὅτι οὖν ἄκρα κἀκεῖνά εἰσι, καταχρηστικῶς ἐνταῦθα τὸ γεῖσσα εἴληπται. Gu. καὶ γεῖσσαι τὸ αὐτὸ, ἤγουν τὸ προέχον τοῦ ὑπερθύρου. Fl. 59. καὶ θεμέλια. κυρίως δὲ τὰ κοινῶς στηθαῖον. Fl. 59. πόνον: τὸ ἐπιτήδευμα. B. τὸ ἔργον. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1571. ἄραρε: ἥρμοσται. Gr. Fl. 59. βοηδρόμου—εἴρξει: τῆς εἰς μάχην σπουδῆς ἀποπαύσει καὶ ἀποκωλύσει σε καὶ τοῦ μὴ ἔσω τῶν οἰκοδομημάτων εἰσελθεῖν. B.I. ἕνεκα τῆς σῆς ἐπὶ βοηθείᾳ σπουδῆς. Gr. Fl. 6. 9. 17. 56. 59. 76.

1572. ἅ σ' εἴρξει: λείπει ὁ καί, ἅ σ' εἴρξει τῆς σπουδῆς καὶ τοῦ περᾶν ἔσω τῶν οἴκων. B.M.I.

1573. ἔα: κάτωθεν ἀναβλέψας ὁ Μενέλαος ὁρᾷ πῦρ ἀναπτόμενον καὶ ξίφος ἐπικείμενον τῷ τῆς Ἑρμιόνης αὐχένι. A.B.M.I. ἔα: ἐπὶ ἐκπλήξεως. Bar. Gr. τί χρῆμα: τί ἐστι τὸ πρᾶγμα. Gr. σέλας: λαμπηδόνα, αὔγασμα. Gu.

1574. τούσδε: Πυλάδην καὶ Ὀρέστην. Bar. Gu. πυργηρουμένους: δίκην πύργου ἑστῶτας. B. ἐνόπλους, κατὰ τοὺς ὀχυροὺς καὶ ἐν κύκλῳ στρεφομένους πύργους. Bar. Gr. περικαθημένους. Bar. Gu.

1575. ἐπίφρουρον: ἤγουν πλησίον, ἐκ μεταφορᾶς τῶν φυλαττόντων. Gr. ἐπικείμενον, ἢ ἐπὶ τούτῳ φρορούμενον καὶ φυλαττόμενον καὶ κατεχόμενον, ἐφ' ᾧ ταύτην ἐκκόψαι. Bar. Gu. ἐπικείμενον καὶ φυλάσσον τὸν λαιμὸν τῆς ἐμῆς θυγατρός. Fl. 6. 9. 17. 21. 25. 34.

1. θριγκοὶ καλοῦνται] καλοῦνται om. C. οὕτω λέγονται Gr. idque infra post οἴκων.
ib. δωμάτων] οἴκων Gr. I.
2. τὰ αὐτὰ] ταῦτα M.
ib. γεῖσσα] γεῖσαι B M.
4. νῦν καὶ om. M.
5. στεφάναι] φάναι I.
ib. στεφανώματα etiam B.
12. σε καὶ] καὶ om. I.
16. οἴκων] Pergit B. ἄλλως, ἃ κλεῖθρα τῆς εἰς μάχην etc. (schol. v. 1571.)
17. ἀναπτόμενον—τῷ τῆς] ἀναπτόμενον ἐκ τῆς οἰκίας καὶ τὸ ξίφος ἐπαρτῶντα τὸν ὀρέστην τῷ τῆς A. Sic etiam Fl. 33. nisi quod τὸν ὀρέστην post τῆς οἰκίας collocat.

ἐπίφρουρον ἐπικείμενον, παρ' ὅσον οἱ φρουροῦντες ἐπίκεινται τοῖς φρουρουμένοις. A.M. Fl. 33.

1576. ἀνάγκη: σὺ γὰρ ἰσχυρότερος τανῦν αὐτόθι καθήμενος. Bar. Gu.

1577. οὐδέτερ': οὔτε ἐρωτᾶν ἤθελον οὔτε ἀκούειν, ἀνάγκη δὲ βιάζει με τοῦ ἀκούειν. B. οὐκ ἦν χρεία ἐρωτήσεως, ἡ ἀνάγκη δὲ πείθει με ἀκούειν. C.

1580. εἰ γάρ: εἴθε. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἄνποτε. Fl. 33. κλεφθείς: ἀφαιρεθείς. I. κλεφθείς: ἀπατηθεὶς, ἀφαιρεθεὶς ταύτην. Gu.

1581. κἀφ' ὕβρει: καὶ ἐφ' ὕβρει, ἤγουν δι' ὕβριν. Gr. καθ' ὕβριν, δι' ὕβριν. I. λέγεις τάδε: ὅτι ἐκλάπης αὐτήν. Bar. Gu. γέλωτος. Fl. 33.

1582. λυπράν: λυπηρὰν ἄρνησιν ἀρνοῦμαι. εἴθε γὰρ ὤφελον φονεῦσαι αὐτήν. I. ἀντὶ τοῦ λυποῦμαι ἀρνούμενος, τουτέστιν ἀρνοῦμαι ἄρνησιν λυπηράν. B.M.I.

εἰ γὰρ ὤφελον: τὸ ἑξῆς, εἰ γὰρ ὤφελον τὴν τῆς Ἑλλάδος μιάστορα εἰς Ἅιδου βαλεῖν. A.B.I. εἰ γάρ: εἴθε γὰρ ὤφελον. οὗ μήπω ἀποδοθέντος ἐπάγει ὁ Μενέλαος πρὸς αὐτὸ "τί χρῆμα δρᾶσαι; πρὸς ὃ πάλιν ὁ Ὀρέστης "τὴν μιάστορα τῆς Ἑλλάδος," ἤγουν τὴν Ἑλένην τὴν διὰ τὸν παρ' ἑαυτῇ μιασμὸν καὶ τὴν Ἑλλάδα μιάνασαν εἰς Ἅιδου βαλεῖν. Bar. Gr.

1583. τί χρῆμα: ποῖον, φησὶ, πρᾶγμα ὤφειλες δεδρακέναι· φοβεῖς με γὰρ τοῦτο εἰπών. B.M.I. παρακαλεῖς: ἕλκεις ἡμᾶς. Gr. ἄγεις. Gr. παρακινεῖς. Fl. 33.

1584. τὴν Ἑλλάδος μιάστορα: τὴν καταισχύνασαν τοὺς Ἕλληνας. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1585. ὅπως ἐν τάφῳ χώσω: ἤγουν ἐνταφιάσας χῶμα ἐπ' αὐτῷ ποιήσω. Gr. Florr. iidem.

1. ἐπίφρουρον] δὲ ἤτοι add. Florr. 33.
3. ἰσχυρότερος] ἰσχυρὸς Gu.
12. ἐκλάπης] ἔκλαπες Heath.
15. ἀντὶ τοῦ B. τουτέστιν M. ἄλλως I.
17. τὸ ἑξῆς] τὸ δὲ ἑξῆς B.I. omisso lemmate.
ib. τῆς Ἑλλάδος] τῆς om. A.B.
ib. εἰς Ἅιδου βαλεῖν om. A.
23. ποῖον] ποῖον γὰρ A.
ib. ὤφειλες] ὤφελες I. In M. etiam aliud scholion, εἰς ᾅδου βαλεῖν: τὸ ἑξῆς, εἰ γὰρ ὤφειλον τὴν ἑλλάδος μιάστορ' εἰς ᾅδου βαλεῖν.
24. με γὰρ B.M. γάρ με A. γὰρ καὶ ἕλκεις εἰς φόβον I.

1588. *ὁ πατρὸς ἀμύντωρ: ὁ ἐκδικητὴς τοῦ πατρὸς, ὁ Ἀγαμέμνονος βοηθός. λείπει τὸ ἐγώ εἰμι. τοῦτο δέ φησιν, ὅτι τῇ ἀνελούσῃ αὐτὸν ἐσπούδασε βοηθῆσαι, καὶ οὐχὶ τῷ Ὀρέστῃ.* B.M.I. *ὅν: ἤγουν ἐμέ.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *προὔδωκας: ἐγκατέλιπες ὥστε θανεῖν.* Gr. Florr. iidem et 25. 34.

1589. *τὸ παρὸν αἷμα: ὁ παρακείμενος φόνος τῆς μητρὸς τῆς σῆς δηλονότι. δηλοῦται δὲ ἀπὸ τοῦ ἐπαγομένου.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *τὸ μητέρος ἢ διὰ τὴν Κλυταιμνήστραν νόει, ἢ διὰ τὴν Ἑλένην τὴν μητέρα τῆς Ἑρμιόνης.* Gu.

1590. *οὐκ ἂν κάμοιμι τὰς κακὰς κτείνων ἀεί: οὐ γὰρ καὶ τὴν Ἑρμιόνην λέγει κακήν.* Bar. Cant. Gr. Florr. iidem. *κάμοιμι: παύσαιμι, ναρκήσαιμι.* Gu. *ἀποναρκήσω.* Fl. 33. *τὰς κακάς: γυναῖκας ἢ μητέρας.* Gu. *ὁποία ἦν ἡ σὴ γυνή.* Fl. 6.

1591. *ἦ καὶ σύ; ἄρα* (*ὄντως* add. Bar.) *καὶ σὺ, Πυλάδη, κοινωνεῖς, αὐτῷ δηλονότι, τοῦδε τοῦ φόνου, ἤγουν τοῦ πρὸς τὴν Ἑλένην καὶ τὴν Ἑρμιόνην.* Bar. Gr.

1593. *ἀλλ' οὔτι: οὐδαμῶς.* Gr. Florr. omnes. *χαίρων: λέξεις.* Gr. Florr. omnes. *ποιήσεις τοῦτο.* Gu.

1594. *ἀνάψομεν: κατακαύσομεν.* Fl. 6.

1595. *πορθήσεις: καύσεις, ἀφανίσεις* (Fl. 33.), *καταβαλεῖς.* (Fl. 6.) Gu.

1596. *ὡς μή γ' ἔχῃς: πορθήσω, φησὶ, τὸν οἶκον, ἵνα μὴ σὺ τοῦτον ἔχῃς· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐπισφάξω ταύτην τῷ πυρὶ, τουτέστι τῷ πυρὶ πρήσω τὸν οἶκον μετὰ τὸ ἀποκτεῖναι τὴν Ἑρμιόνην.* B.M.I. *ναὶ πορθήσω, ἵνα, ὥσπερ ἐγὼ οὐκ ἔχω, μήτε σὺ ἔχῃς.* Cant. Gr. *ἐπισφάξας: μετὰ τὸ πρῆσαι τὸν οἶκον σφάξας αὐτήν.* Cant. Gu.

1597. *τῶνδε: ὧν εἰς Ἑλένην καὶ αὐτὴν ποιήσεις.* Gu. Fl. 6

1598. *ἔσται τάδ': ὅτι κτενῶ ταύτην.* Gu. Bar. *ἆ ἆ ἐφεκτικὸν ἐπίρρημα.* Gr. Bar.

1599. *νῦν: δή.* Fl. 6. 9. 17. 21. 56. 59. 76. *ἀνέχου: ὑπόμενε.* Gr. Florr. iidem. *ἐνδίκως πράσσων: δικαίως πάσχων.* Gr. Florr. iidem. *δικαίως δυστυχῶν.* Fl. 21.

1. *ὁ ἐ. τοῦ πατρός* om. B.M., *βοηθὸς λείπει τὸ ἐγώ εἰμι* om. M. In A. hoc scholion, *ὁ ἀγαμέμνονος, τοῦτο δέ φησιν ὅτι τῇ ἀνελούσῃ αὐτὸν ἐσπούδασε βοηθῆσαι—ὀρέστῃ.* 3. *αὐτὸν* om. I.

1602. *εὖ γ' οὖν θίγοις*: ἐν ἤθει, ἐπεὶ οἱ βασιλεῖς ἔθυον. ἐὰν οὖν, φησὶ, βασιλεύσῃς ὁσίως καὶ οὐκ ἐναγῶς ἅψῃ τῶν χερνίβων, πῶς ἔχεις θυσίαν ποιεῖν καὶ πῶς, φησὶν, οὐκ ἀσεβὲς ἐναγῆ σε ὄντα χερνίβων ἅπτεσθαι καὶ θύειν θεοῖς; A.B.M.I. κατ' εἰρωνείαν. ἐν ταῖς θυσίαις παρελάμβανον τὰ χέρνιβα. ἀπὸ τούτων δὲ θέλει δηλοῦν τὰς θυσίας. Bar. Gr. *τί δὴ γὰρ οὐ*: διὰ τί, φησὶν, οὐ δικαίως θίγοιμι τῶν χερνίβων; A.B.C.M.I.

1603. *καὶ σφάγια πρὸ δορός*: ὑπὸ δορὸς, ὅ ἐστιν ὑπὸ ξίφους. B. M. εὖ γὰρ καὶ σφάγια καταβάλοις. πάλιν δὲ καὶ τοῦτο ἠθικῶς. πρὸ δορὸς δὲ ἀντὶ τοῦ πρὸ πολέμου· εἰώθασι γὰρ οἱ βασιλεῖς εἰς πόλεμον μέλλοντες ἐξιέναι θύειν τοῖς θεοῖς. A.B.M.I. τὸ πρὸ δορός καὶ πρὸς τὸ θίγοις ἂν χερνίβων καὶ πρὸς τὸ καταβάλοις σφάγια ῥητέον. τοῦτο δὲ λέγει ὁ Μενέλαος πρὸς τὸν Ὀρέστην εἰρωνευόμενος, δεικνὺς ὡς οἱ μὲν ἄλλοι βασιλεῖς, ὁπηνίκ' ἂν πολεμεῖν δέῃ, πρῶτον θύουσι τοῖς θεοῖς, σὺ δὲ ἄρξας τῆσδε τῆς γῆς, ἡνίκα χρεία τούτου παρέσται, πῶς ἅψῃ θυμάτων ἀκάθαρτος ὤν; Gu. Bar. *σὺ δ' ἂν καλῶς*: σὺ δ' ἂν, φησὶ, θύσειας ἁγνῶς ὡς μὴ μιαρὸς ὤν. A.B.I. σὺ δὲ ἁγνῶς ποιήσεις τὰς θυσίας μιαρὸς ὤν. Gu.

1604. *ἁγνὸς γάρ εἰμι χεῖρας*: τοῦ φόνου τῆς μητρὸς δηλονότι. A.B.M.I. *ἀλλ' οὐ τὰς φρένας*: ἀλλ' οὐ τῷ λογισμῷ διὰ τὸ μὴ βεβοηθηκέναι τῷ πατρί. I. ὡς βουληθεὶς προδοῦναι ἡμᾶς καὶ μὴ βοηθῆσαι. A.

1. ἐν] ὡς ἐν I. ὡς om. etiam Fl. 33. qui in sequentibus βασιλεύσῃς ὅσιος καὶ οὐκ ἐναγὴς ἅψῃ (ἅψῃς I.) τῶν χ. πῶς ἔχ. (φησὶ om.) θ. ποιεῖν; καὶ πῶς φησὶν οὐκ εὐσεβὲς ἐναγὲς ἐόντα χ. ἅ. ἢ θ. θεοῖς.

ib. οὖν—ἐναγῶς] γοῦν—ἐναγὴς A.

2. ὁσίως B. ὅσιος A.M. οὕτως I.

3. ἔχεις] φησὶ add. B.I.

ib. ποιεῖν] τελεῖν I.

ib. καὶ πῶς φησὶν A.M. ἄρα γὰρ B.I.

4. καὶ θύειν] ἢ θύειν M.

ib. θεοῖς] τοῖς θεοῖς I.

5. παρελάμβανον] παρελαμβάνοντο Gr.

6. διὰ τί] γὰρ addit A.

7. χερνίβων] θυσιῶν I. In B. etiam gl. interl. τίνων ἢ θυσιῶν.

9. σφάγια] σφάγια πρὸ τοῦ πολέμου I. Verba εὖ γὰρ — καταβάλοις om. A. Brevius scholion in C. supra versum, πρὸ τοῦ πολέμου ἀντὶ τοῦ πολέμου. ἐξιόντες γὰρ εἰς τὸν πόλεμον ἔθυον.

10. ἀντὶ—πολέμου om. I.

ib. εἰώθασι γὰρ] ἐπεὶ εἰώθασιν I.

11. θύειν] πρότερον θύειν A.B.

12. ῥητέον —] Bar. ab initio utrumque πρὸς omittit: tum legit ῥητέον ὅτι ὁ Μεν. λέγει ταῦτα πρὸς τὸν Ὀρ.—ὁπηνίκα ἂν π. δέοι.—ἡνίκα τούτου χρεία ᾖ.

17. σὺ δ' ἂν, φησὶ, θύσειας B. et qui σὺ δέ φησιν A.B. σὺ δ' ἂν θύσεις I. In C. σὺ δ' ἂν θύσεις ὡς ἁγνὸς ὤν.

1605. προσείποι: προσαγορεύσαι, χαιρετίσαι. Gr. et Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76. χαιρετίσαι σε. C. ὡς μιαρὸν δηλονότι. M. φιλοπάτωρ: τουτέστι διὰ τὸ βεβοηθηκέναι με τῷ πατρί. A.B.M.

1606. εὐδαίμων ἔφυ: καλὴν γὰρ οὖσαν, τιμὴν δηλονότι. ἐγὼ οὖν μὴ ἔχων καλὴν ἀπέκτεινα· διὸ καὶ ἀτυχῶ. A.B.M. ἤγουν μακάριος, ὅτι δηλονότι καλῆς ἔτυχε μητρὸς καὶ τιμᾷ αὐτήν. ὁ δὲ Μενέλαος πρὸς τὸ μακάριος μόνον ἀπαντᾷ καὶ φησὶν "οὔκουν σύ γε," μακάριος δηλονότι. εἶτα ὁ Ὀρέστης ὥσπερ ἑαυτὸν ἑρμηνεύων ἐπάγει "οὐ γὰρ ἀνδάνουσιν αἱ κακαί·" ἤγουν ναὶ, οὐκ εἰμὶ εὐδαίμων, φημὶ κἀγώ· κακῆς γὰρ ἔτυχον μητρὸς, ἣν οὐκ ἀνασχόμενος οὐκ ἐτίμησα. Bar. Gr.

1607. οὔκουν σύ γε: εὐδαίμων εἶ δηλονότι. I. οὔκουν: οὐδαμῶς. B.M. οὐ γὰρ ἀνδάνουσιν: αὕτη γὰρ ἥμαρτε, φησί· διὸ κἀγὼ οὐκ εὐδαιμονῶ. A.B.M.I. τὸ οὐ γάρ μ' ἀνδάνουσιν ἢ μοι νόει, ἢ με· τὸ γὰρ ἀνδάνουσι καὶ πρὸς δοτικὴν καὶ αἰτιατικὴν εὕρηται, ὡς καὶ τὸ ἀρέσκω. Bar.

1608. ἄπαιρε: ἆρον ἀπὸ τῆς ἐμῆς θυγατρὸς τὸ ξίφος. Gr. I. ἀπόστησον. Gu. ψευδὴς ἔφυς: ἀντὶ τοῦ ἐψεύσω τῆς ἐλπίδος. B.M.I. ἤγουν ἠπατημένος. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἠπατημένος ὑπῆρξας εἰς τοῦτο. Bar.

1609. ἀλλὰ κτενεῖς: ἀλλὰ φονεύσεις μου τὸ θυγάτριον. I. οὐ ψευδὴς ἔτ' εἶ: οὐκέτι ψευδὴς ὑπάρχεις. Gr. I.

1610. οἴμοι, τί δράσω: παροιμιῶδες τὸ ἡμιστίχιον. A.B.M.

1611. πειθὼ τίνα: αὐτοὺς, ἢ ποίαν κατὰ πεῖσιν. Gu. τίνα: πράγματα. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. αἰτοῦ: αἴτει, ἀξίου. Fl. 6. ζήτει. Fl. 33.

1612. ἢ παῖδά μου φονεύσεθ': εἰ μὴ τοῦτο ποιήσω δηλονότι. B.I. ὧδ' ἔχει τάδε: ἐὰν μὴ πείσῃς, οὕτω κέκριται. B.M.I. οὕτως. Gr. ὡς λέγεις, ὅτι φονεύσομεν. Gu. Bar.

1614. σοὶ σφάγιον: τὸ σφαγιασθῆναι αὐτὴν ὑπ' ἐμοῦ. Gr. (τὸ ἑξῆς add. Florr.) σοὶ σφάγιον ἐκόμισα ἐκ Φρυγῶν, πόνους πονήσας

1. χαιρετίσαι] τοιοῦτον ὄντα add. Gu.

3. τουτέστι om. A.

4. καλὴν γὰρ οὖσαν, τιμὴν δηλονότι (δηλονότι τιμὴν A.)] Sic A.M. καλήν γε οὖσαν τιμῶν εὐδαίμων ἔφυ δηλονότι B.

13. διὸ] δι' ἣν A.

23. παροιμιῶδες] Hoc ad alteram versus partem referendum videtur, πεῖθ' ἐς Ἀργείους μολών. Lemma in libris nullum.

μυρίους, ἤγουν σοὶ ἐκόμισα αὐτὴν ἐκ Φρυγῶν, πόνους πονήσας μυρίους, σφάγιον γενήσεσθαι δηλονότι, τουτέστι σοὶ ἤγαγον αὐτὴν εἰς τὸ σφαγιάσαι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *εἰ γάρ: ἀντὶ τοῦ εἴθε γάρ.* B. Gr.

1615. *πονήσας: κοπιάσας.* Fl. 17. *πλήν γ' εἰς ἐμέ: οὐκ ἐπόνησας δηλονότι.* Gr. *οὐκ ἐποίησας.* Gu. *οὐδ' ἕνα πόνον.* Fl. 33.

1616. *πέπονθα δεινά: χαλεπά.* Gr. Fl. 6. 9. 21. 56. 59. 76. *ἐπὶ τῇ γυναικὶ, ἣν ἐφόνευσας, καὶ τῇ θυγατρὶ, ἣν μέλλεις φονεῦσαι.* Gu. Bar. *τότε γὰρ ἦσθ': ὅτε σε ἠξίουν βοηθῆσαί μοι.* B. Gr. I.

1617. *ἔχεις με: κρατεῖς με.* Gu. *ἐνίκησάς με.* Gr. I. *ἀντὶ τοῦ περιγέγονάς μου, ὡς ἐν τῇ συνηθείᾳ λέγομεν. ἔχεις με: ἔσω. τοῦτο δὲ εἶπεν οὕτως, ὅτι ἐχειρώσατο τὴν Ἑρμιόνην.* A.B.M.I. *σαυτὸν σύ γ': σὺ σαυτὸν δυνάμει κατηγωνίσω, κακὸς γενόμενος πρός με.* B.M.I.

1618. *εἰ: ἄγε.* Cant. Gr.

1619. *σύ τ', ὦ φίλων: καὶ σὺ, ὦ Πυλάδη, ἀληθέστατέ μοι τῶν φίλων τῶν ἐμῶν, πυρπόλει τὰ γεῖσσα τῶν τειχῶν τῶνδε.* Cant. Gu.

1620. *κάταιθε: κατάκαιε.* Gu. Fl. 33. *γεῖσα τειχέων τάδε: γρ. γεῖσα τεκτόνων πόνον.* M.

1621. *ὦ γαῖα Δαναῶν: ὦ Δαναοί.* Gu.

κτίται: ἀντὶ τοῦ οἰκήτορες. τοιοῦτον δέ ἐστι καὶ τὸ "συὸς ὀρικτίτου" παρὰ Πινδάρῳ ἀντὶ τοῦ ὀρειοίκου, καὶ τὸ ἐΰκτιτον ἄστυ" Ὅμηρος ἀντὶ τοῦ εὐκατοίκητον πόλιν. A.B.M.I. *κατοικηταί.* B.

1622. *οὐ βοηδρομήσετε: οὐκ ἔλθετε ἐν βοηθείᾳ.* I. *ἐνόπλῳ ποδί: οὔκουν ἐνόπλῳ δρόμῳ βοηθήσετε, ἤγουν μεθ' ὅπλων δραμόντες βοηθήσετε; ἔνοπλος γὰρ δρόμος οὐχ ὁ ὡπλισμένος—ἀσύνετον γὰρ τοῦτο—ἀλλ' ὃν ὡπλισμένοι τινὲς τρέχουσιν.* Cant. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *βοηδρομήσετε: ταχέως ἐλεύσεσθε.* Gu. Fl. 6.

5. *οὐκ ἐπόνησας* etiam in I.

9. *ὅτε σε*] *σε* om. B.

10. *ἀντὶ τοῦ* om. I.

11. *ἐν τῇ συνηθείᾳ* A. *ἐπὶ τῆς συνηθείας* B.M.I.

ib. *ἔχεις* (*ἔχει* B.M.) *με ἔσω* addidi ex A.

12. *τοῦτο—οὕτως* A. *τοῦτο δὲ λέγει* I., om. B.M.

13. *δυνάμει* addidi ex M.

20. *ἀντὶ τοῦ οἰκήτορες*] *οἰκήτορες ἀντὶ τοῦ οἰκηταί* A.M. " Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. post *οἰκήτορες, κατὰ τοῦτο καὶ εὐκτιμένη πόλις παρ' Ὁμήρῳ ἡ καλῶς ἔχουσα δηλονότι ἕνεκα τῆς οἰκήσεως:*—

ib. *δέ ἐστι*] *δέ* om. I.

21. *Πινδάρῳ*] Pindari loco (fragm. 267.) utitur schol. Phoen. 683.

ib. *καὶ τὸ—ἄστυ" Ὅμηρος*] *ὅμηρος—ἄστυ* A. Idem *πόλιν* om.

23. *ἔλθετε*] Immo *ἐλεύσεσθε* ut infra, vel saltem *ἔλθητε.*

1623. ὅδε βιάζεται πόλιν: οὐδενὸς αὐτῷ συγχωροῦντος ζῆν, διὰ τὸ τὴν μητέρα ἀποκτεῖναι, οὗτος βιάζεται ἀδίκως ἅπασαν τὴν πόλιν, ὥστε τυχεῖν τοῦ ζῆν. A.B.M.I. βιάζεται: ἀναγκάζει. Gr. Fl. 6. 9. 17. 21. 5 6. 59. 76.

1624. ζῆν: ὥστε ζῆν. I. αἷμα: φόνον. Gr. Fl. iidem. μυσαρόν: βδελυκτόν. Gr. Fl. iidem et 25. 34. ἀνόσιον. Gu.

1625. Πρόσωπον εἰσάγει παρουσίας θεοῦ ἢ ἥρωος καὶ τῆς μάχης γίνεται διάλεκτος. οὕτως ἐνταῦθα μαχομένων τοῦ τε Ὀρέστου καὶ Μενελάου φαίνεται Ἀπόλλων καὶ λύει τὴν μάχην. C.

παῦσαι: παῦσαι ὀργιζόμενος, ὦ Μενέλαε, σύ τε, Ὀρέστα, ἵνα ἀκούσῃς οὓς ἥκω κομίζων λόγους. B.M.I. λῆμα: φρόνημα. B. Gr. Florr. omnes. τεθηγμένον: θρασύ. Gr. ἠκονημένον. Gu. ἐπηρμένον, ἠγριωμένον. Gu.

1626. Φοῖβος: ἐγὼ οὗτος ὁ Φοῖβος, ὁ παῖς τῆς Λητοῦς, καλῶ σε ἐγγὺς ὤν, καὶ σύ, ὦ Ὀρέστα, παῦσαι. Gr. Cant. ξιφήρης: μετὰ ξίφους. Gr. Cant. τὸ ξίφος φέρων. Fl. 33. ἐφεδρεύεις: προσεδρεύεις. Gr. Cant. παρακάθησαι. Gu. Fl. 6. 33.

1628. ἥκω: καὶ ἦλθον. Fl. 17.

1630. ἥμαρτες: ἀπέτυχες. Gr. Florr. omnes. ὀργήν: διὰ τὴν ὀργὴν τὴν πρὸς Μενέλαον. B.M. ὀργὴν ποιούμενος τῷ Μενέλεῳ, ἤγουν ὀργιζόμενος τῷ Μενελάῳ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1631. ἐν αἰθέρος πτυχαῖς: ἐν τῇ τοῦ ἀέρος κοιλότητι. Gr. Florr. omnes. ἐν γὰρ τῷ μέσῳ τοῦ οὐρανοῦ κατηστερῶσθαί φασιν αὐτὴν διὰ τοῦτο καὶ τῶν ἄλλων ἀστέρων ἐν τῇ συστροφῇ τοῦ οὐρανοῦ ποτὲ μὲν φαινομένων, ποτὲ δ' οὔ, τὸ τῆς Ἑλένης ἄστρον, ἣν ἰδιωτικῶς φασι Τραμουντάναν, ἅτε ἐν μέσῳ τῆς σφαίρας ὄν, ἀεὶ πᾶσιν ὁρᾶται. τοῦτο δὲ καὶ ναῦται ὁρῶντες ἴσασιν ἃ δεῖ. Bar. Gu.

1. οὐδενὸς —] In M. πᾶσαν γὰρ ἡμῶν οὗτος πόλιν βιάζεται διὰ τὸ ζῆν καὶ αὐτοῦ μηδενὸς αὐτῷ συγχωροῦντος. ἄλλως. οὐδενὸς αὐτῷ συγχωροῦντος ζῆν οὗτος βιάζεται ἀδίκως τούτου τυχεῖν βουλόμενος τοῦ ζῆν:— In A. est, πᾶσαν γὰρ ἡμῶν. οὐδενὸς αὐτὸν συγχωροῦντος ζῆν οὕτω βιάζεται ἀδίκως τούτου βουλόμενος τυχεῖν τοῦ ζῆν:—

8. διάλεκτος] Corrigendum διάλυσις. Legitur autem hoc scholion in C. post scholion v. 1637., utrumque sine lemmate.

9. φαίνεται scripsi pro φέρεται.

23. κατηστερῶσθαι] In Gu. litterae ῶ suprascripta est ί, sicut Bar. legit κατηστερίσθαι. Baroc. ab initio etiam habet ἐν ταῖς κοιλότησι τοῦ οὐρανοῦ et om. γάρ. MATTH.

24. ἀστέρων] ἄστρων Bar.

26. Τραμουντάναν] Hinc Tramontanam perdere dicuntur qui cursu

1633. *ἐγώ νιν ἐξέσωσα*: *ἔσωσα, ἤγουν ἐρρυσάμην, καὶ ἀπὸ τοῦ φασγάνου τοῦ σοῦ ἥρπασα κελευσθεὶς ὑπὸ τοῦ πατρὸς τοῦ Διός.* Bar. Gr.

1635. *οὖσαν*: *θυγατέρα.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *ἄφθιτον*: *ἀφθάρτως.* Gr. *ἀθάνατον, ἄφθαρτον.* Gu.

1637. *σύνθακος*: *συγκάθεδρος.* Gr. *σύνθρονος.* Gu. Bar. *ναυτίλοις σωτήριος*: *ὅτι καὶ ἡ Ἑλένη τοῖς χειμαζομένοις κατὰ θάλασσαν ἐπήκοός ἐστι κατὰ Εὐριπίδην σεσημείωται· ὁ μέντοι Σωσίβιος ἔμπαλιν οἴεται οὐκ εὐμενῶς αὐτὴν ἐπιφαίνεσθαι. Πολέμων δὲ καὶ ἐν τῷ δ' τῶν πρὸς Ἀναξανδρίδην τὴν μὲν τῶν δύο ἀστέρων ἐπιφάνειαν τῶν Διοσκούρων ἀνομολογεῖσθαι, τὴν δὲ τῶν λεγομένων Ζοβείρων.* A. B. M. Fl. 33. I. *ἐπεὶ ὁ Ὅμηρος πάντων τῶν ποιητῶν ἀρχὴ καὶ ῥίζα καθίσταται καθ' ὅσον αὐτοῦ ἐφικτὸν λαμβάνουσι καὶ τὰς ἀφορμὰς ἐξ ἐκείνου καὶ ὥσπερ ἐκεῖνος μαχομένων τῶν β'. Σωσίβιος ἐπὶ κακῷ αὐτὴν οἴεται φαίνεσθαι. εἰδὼς οὖν σωτήριόν φησιν αὐτὴν ὁ Εὐριπίδης.* C.

1639. *ἐπεὶ θεοί*: *ἐπεὶ οἱ θεοὶ ἅπερ ἤθελον δι' αὐτῆς ἐπλήρωσαν, καὶ οὐκέτι ἦν χρεία ἐᾶν αὐτὴν σοί· οὐ γὰρ διὰ τοῦτο αὐτὴν ἔδωκαν.* Gr. Bar. *τῷ τῆσδε καλλιστεύματι*: *τῇ ὡραιότητι ταύτης.* I. *λέγω τῷ καλλιστεύματι αὐτῆς, ἤγουν τῷ κάλλει, τουτέστι διὰ τοῦ κάλλους αὐτῆς, συνήγαγον εἰς ἓν Ἕλληνας καὶ Φρύγας, καὶ θανάτους ἐποίησαν, ἵνα κουφίσωσιν ἀπὸ τῆς χθονὸς τὴν ἀλαζονείαν τοῦ ἀφθόνου πληρώματος τῶν ἀνθρώπων.* Gr. Bar. *ὥρᾳ. καλλίστευμα οὐ μόνον τὸ κάλλος, ἀλλὰ καὶ τὸ καλλιστεῖον.* Cant. Gu.

1640. *εἰς ἕν*: *εἰς τὸ μάχεσθαι δηλονότι ἀλλήλοις.* Fl. 21. *συνήγαγον*: *ἤγουν συνέφορον.* Fl. 17.

1641. *θανάτους τ' ἔθηκαν*: *ἐν ἀμφοτέροις.* Gu. Fl. 6. *ὡς ἀπαντλοῖεν*: *ἱστορεῖται ὅτι ἡ γῆ βαρουμένη τῷ πλήθει τῶν*

excidunt. LOBECK. Aglaoph. p. 1205.

7. *ὅτι καὶ*] *καὶ* om. I.

8. *θάλασσαν*] *θάλατταν* I.

ib. *ἐστι*] *ἔσται* A.

9. *Πολέμων—Ζοβείρων* om. I.

10. *τῷ δ' τῶν* Cobetus pro *τῷδε τῷ*.

ib. *Ἀναξανδρίδην*] *ἀλεξανδρίδην* Fl.

ib. *τῶν δύο ἀστέρων* A. *τῶν δυοῖν ἀστέρων* ceteri. *τοῖν δυοῖν ἀστέροιν* Cobetus. Et sic Polemo fortasse scripserat.

11. *ἀνομολογεῖσθαι* (*ἀνωμολογῆσθαι* Cobetus) — *Ζοβείρων* om. B.M. habent A. et Florr. 33. Locum in fine mutilum esse monet Cobetus. *Ζοβείρων* nomen ex *Καβείρων* corruptum esse recte conjecit Mueller. Fragm. Histor. vol. 3. p. 137.

27. *ἱστορεῖται* —] Gu. et Bar. sic: *ἐπειδὴ ζῆν νιν ἄφθιτον χρεὼν εἶπεν, ἐπάγει τὴν αἰτίαν τούτου, λέγων αὐτὴν*

ἀνθρώπων ἠξίωσε τὸν Δία ἐλαφρῦναι αὐτῆς τὸ βάρος. τὸν δὲ Δία εἰς χάριν αὐτῆς συγκροτῆσαι τόν τε Θηβαϊκὸν πόλεμον καὶ τὸν Ἰλιακὸν, ἵνα πολλῶν ἀναιρεθέντων κουφισμὸς γένηται. ἑτέραν οὖν, φησὶν, ἄγε νύμφην, ἐπεὶ οἱ θεοὶ ταύτην ἀνειλήφασιν, ἣν αὐτοὶ τότε κατέπεμψαν, ἵνα διὰ τὸ ταύτης κάλλος συγκροτησάντων πόλεμον Ἑλλήνων καὶ Φρυγῶν, καὶ τῶν πολλῶν ἀναιρουμένων ἐλαφρότερον γένοιτο τῇ γῇ τὸ τῶν ἀνθρώπων βάρος. B.M.I. *ἀπαντλοῖεν: ἐκβάλοιεν, κενώσειαν.* Gu.

1642. *ὕβρισμα: τὴν ἀλαζονείαν.* Gr. *ἁμαρτίας, μιάσματα, ἀδικίας.* Gu. *ἀφθόνου: πολλοῦ, ἀναριθμήτου.* Gu. *πληρώματος: πλήθους.* Gu.

1643. *ὧδ᾽ ἔχει: οὕτω διάκειται.* Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1644. *ὑπερβαλόντα: διαβάντα.* Gr. Fl. 6. 9. 17. 56. 76. *ὑπερδραμόντα.* Gu. Fl. 6. *διαβαίνοντα.* Fl. 59.

1645. *Παρράσιον: τὸ Παρράσιον οἱ μὲν πόλιν, οἱ δὲ χώραν*

αἰτίαν γενέσθαι τοῦ τῆς ἐν γῇ ἁμαρτίας κουφισμοῦ. ἔχει δὲ οὕτως· φασὶ τὴν γῆν βαρυνομένην τῷ τῶν ἀνθρώπων πλήθει, καὶ τὰ μιάσματα τούτων οὐ φέρουσαν, ἀξιῶσαι τὸν Δία κουφίσαι αὐτῆς (Bar. *αὐτῇ*) *τὸ βάρος· καὶ τὸν, δεξάμενον τὴν αἴτησιν, συγκρ. τόν τε Θ. πολ. καὶ τὸν Τρωϊκὸν, ἵνα τῶν πολεμούντων ἀναιρεθέντων κουφισμὸς γένηται. ἐνταῦθα δὲ ὁ Εὐριπίδης* (*μόνου* add. Bar.) *τοῦ Τρωϊκοῦ μέμνηται, καὶ διὰ τούτου* (*τοῦτο* Bar.) *φησὶ γενέσθαι τὸν τῆς γῆς κουφισμόν.* MATTH.

P. 336. l. 28. *βαρουμένη*] *βαρυνομένη* B.C.I.

1. *ἐλαφρῦναι*] *ἐπελαφρῦναι* A.

3. *Ἰλιακὸν*] *ἰλιαῖον* M.

ib. *πολλῶν*] *τῶν πολλῶν* A.B.

4. *ἀνειλήφασιν*] *εἰλήφασιν* B.I.

6. *ἀναιρουμένων* A.M. *ἀναιρεθέντων* B.I. In A.M. etiam brevius scholion est, *τοὺς θανάτους τοὺς ἐν τοῖς πολεμίοις* (corrige *πολέμοις*) *γενομένους* (*ἐν τῷ πολέμῳ γινομένους* A.), *ἵν᾽ ἐπικουφίσειαν οἱ θάνατοι τῆς γῆς τὸ βάρος τῶν πολλῶν ἀνθρώπων, ἢ αὐτοὶ ἢ θεοὶ ἐπικουφίσειαν* (*καὶ ἀφαιροῖντο* addit A.) *διὰ τῶν θανάτων τὸ βάρος τῆς γῆς:* — Et in C. *ἡ γῆ βαρυνομένη ὑπὸ τοῦ πλήθους τῶν θνητῶν ἐδεήσατο τοῦ διὸς ἵνα ταύτην ἀπαιτήσῃ τε καὶ ἀποκουφίσῃ. ὁ δὲ ταύτης ἀκούσας ἑλένην ἀπὸ τοῦ οὐρανοῦ τοῖς ἀνθρώποις φέρων δέδωκε καὶ οὕτως ἡ γῆ ἄνεσιν ἔλαβεν:* —

7. *τῶν ἀνθρώπων* om. A.

16. *τὸ Παρράσιον* om. I. Prima scholii verba etiam in Gu. sic, *πόλις ἢ χώρα ἀρκαδίας ἀπὸ παρρασίου τοῦ πελασγοῦ ὀνομασθεῖσα.* Eadem pars scholii *τὸ Παρράσιον — ὀνομασθεῖσαν* est etiam in A. qui pergit, *ἔστι μέντοι τῆς ἀρκαδίας. τὸ μὲν ὀρέστειον τῆς παρασίας κεχώρισται καὶ αὕτη ἡ πόλις κληθεῖσα ἀπὸ* .... (literae nunc evanidae fucrunt *παρασίου*) *ἀρκάδος καθάπερ φησὶ φερεκύδης. ὅτι γὰρ ἐπὶ τὸν ὀρέστην αἱ ἐρινύες διώκουσιν, ὁ δὲ καταφεύγει εἰς τὸ ἱερὸν τῆς ἀρτέμιδος εἰς ὀρέστειον καὶ ἵζει ἱκέτης — ἐπ᾽ αὐτὸν μέλλουσαι ἀποκτεῖναι καὶ αὐτὰς ἐρύκει ἡ ἄρτεμις καὶ καλεῖται ὀρέστειον:* — *ἐνιαυτοῦ κύκλον: ἰδίως ὁ εὐριπίδης ἐνιαυτίσαι τὸν ὀρέστην ἐκεῖ φησιν:* — Brevius scholion est

εἶναί φασιν, ἀπὸ Παρρασίου τοῦ Πελασγοῦ ὀνομασθεῖσαν, ὃς συνῴκισε τοὺς Ἀρκάδας καὶ Πελασγοὺς αὐτοὺς ἐπωνόμασεν. ὁ δὲ Ἀσκληπιάδης ἐν Ἀρκαδίᾳ φησὶ τὸν Ὀρέστην ὑπὸ ὄφεως ἀναιρεθῆναι ἑβδομήκοντα ὄντα ἐτῶν. B.M.I.

ἐνιαυτοῦ κύκλον: ἰδίως ὁ Εὐριπίδης ἐνιαυτίσαι τὸν Ὀρέστην ἐκεῖ φησιν. Ἄλλως. ποιήσαντα κύκλον ἐνιαυτοῦ. καὶ ὁ μὲν Εὐριπίδης ἐνθάδε ἐξενιαυτίσαι τοὺς κατεχομένους ἐπιλύσει, ὁ δὲ Ἀσκληπιάδης ἱστορεῖ ὑπὸ ὄφεως δηχθέντα αὐτὸν ἐκεῖ τελευτῆσαι. ὁ δὲ Φερεκύδης, ὅτι καὶ ἔπειτα τὸν Ὀρέστην αἱ Ἐρινύες διώκουσιν, ὁ δὲ καταφεύγει εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος, καὶ ἵζει ἱκέτης πρὸς τῷ βωμῷ, αἱ δὲ Ἐρινύες ἔρχονται ἐπ' αὐτὸν θέλουσαι ἀποκτεῖναι, καὶ ἐρύκει αὐτὰς ἡ Ἄρτεμις· ἐξ οὗ καὶ ἡ πόλις αὕτη Ὀρέστειον καλεῖται ἀπὸ Ὀρέστου. A.B.M.I. τὸ δὲ Ὀρέστειον τῆς Παρρασίας κεχώρισται καὶ αὕτη πόλις οὖσα τῆς Ἀρκαδίας, καὶ ἐκλήθη ἀπὸ Ὀρέστου. B.

ἐνιαυτοῦ κύκλον: ἐφ' ἕνα χρόνον. (κύκλον. Fl.) Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1647. Ἀζᾶσιν: Πελασγὸς αὐτόχθων ὁ Ἀργεῖος ὁ τοῦ Ἀρέστορος τοῦ Ἰάσου ἐλθὼν εἰς Ἀρκαδίαν θηριώδεις ὄντας τοὺς ἄνδρας εἰς τὸ ἡμερώτερον μετέβαλε, καὶ πόλιν ἔκτισεν, ἣν Παρρασίαν ὠνόμασεν. γυναῖκα δὲ ἀγαγόμενος ἐπιχωρίαν Κυλλήνην, ἀφ' ἧς τὸ ὄρος οὕτω καλεῖται, υἱὸν ἔσχε Λυκάονα, ὃς τὸ τοῦ Λυκαίου Διὸς ἱερὸν εἵσατο ἐν Παρρασίᾳ καὶ παῖδα ἐσχηκὼς ἐξ Ὀρθωνίας Νύκτιμον τὴν ἀρχὴν

in C. παρασία πόλις ἀρκαδίας ἀπὸ παράσου καὶ υἱοῦ πελασγοῦ ὃς ἐνῴκισε τοὺς ἀρκάδας καὶ πελασγοὺς ὠνόμασεν :—

2. ὁ δὲ (ὁ δὲ om. I.) Ἀσκληπιάδης—ἑβδομήκοντα (addidi ὄντα) ἐτῶν] Haec in I. infra leguntur post ἀπὸ Ὀρέστου, habetque etiam Gu. cum articulo ὁ ante ἀσκληπιάδης et verbo ἀναιρεθῆναι ante ὑπὸ ὄφεως collocato.

5. ὁ Εὐριπίδης] ὁ om. I.

ib. ἐκεῖ φησιν — ποιήσαντα] φησὶν ἐκεῖ, ἤτοι ποιήσαντα B.I. In A. est ἐνιαυσιαῖον φησὶν τὸν ὀρέστην.

6. καὶ (ὡς M.) ὁ μὲν — ἐπιλύσει] Haec addita ex A.M.

7. τοὺς κατεχομένους ἐπιλύσει. ὁ δὲ Ἀσκληπιάδης] τοῖς κατεχομένοις ἐπιμύσει. ἀσκληπιάδης δὲ A.

8. δ. αὐτὸν] αὐτὸν δ. B.I.

ib. αὐτὸν ἐκεῖ et quae post τελευτῆσαι sequuntur om. A.

9. Hic et paullo post ἐριν ύες B. αἰριν ύες M. ἐριννύες I. ut ubique.

17. Πελασγὸς—Ἰάσου] πελασγὸς ὁ αὐτόχθων ὁ ἀργεῖος ὁ τοῦ ὀρέστορες (sic) τοῦ ἰασίου A.

18. ἄνδρας] ἀρκάδας I.

20. ἀγαγόμενος ἐπιχωρίαν Κυλλήνην —ἔσχε] ἐπιχωρίαν ἀγόμενος Κυλλήνην —ἴσχει A.

ib. Κυλλήνην om. I.: habent non solum A.B.M., sed etiam Fl. 33. Conf. Apollod. 3, 8, 1.

21. εἵσατο] ἱδρύσατο B.I.

22. ἐσχηκὼς ἐξ ὀρθωνίας] ἔσχηκεν ἐξ ὀρνοθίας A.

αὐτῷ καταλείπει· ἐφ' οὗ ὁ κατακλυσμὸς ἐγένετο. μετὰ δὲ ταῦτα βασιλεύει Δωριεὺς υἱὸς Εἰκαδίου καὶ Κορωνείας. οὗτος ἐξ Ἀργείας ἔσχε Παρθίονα. οὗτος ἐξ Ἀρχιλόχης Κητέα καὶ Πάρον, Κητεὺς δὲ ἐκ Στίλβης ἔσχε Καλλιστώ. ταύτην φασὶν ἐκ Διὸς Ἀρκάδα πεποιηκέναι· ὃς ἄρξας τῆς χώρας Ἀρκαδίαν ὠνόμασε. γήμας δὲ Λεάνειραν ἔσχεν Ἔλατον, Ἀφείδαντα, Ἀζᾶνα. τούτων ἀρξάντων τῆς χώρας ὁ Ἀζὰν ἀπ' αὐτοῦ τὴν ἰδίαν μοῖραν Ἀζανίαν ὠνόμασεν. Ἀρκάδες οὖν πάντες κοινῇ ἐκαλοῦντο, μέρος δὲ τούτων Ἀζᾶνες. Ἄλλως. τῷ μερικῷ τὸ ὅλον ἐπήγαγεν. Ἀζὰν γὰρ μέρος ἐστὶ τῆς Ἀρκαδίας, καὶ Ὀρέστειον δὲ πόλις Ἀρκαδίας, ὀνομασθὲν ἀπὸ Ὀρέστου οἰκήσαντος ἐκεῖσε. A.B.M.I. Ἀζᾶσιν: Ἄζα πόλις Ἀρκαδίας, ἧς οἱ πολῖται Ἀζᾶδες. Gu. Cant. Ἄζα μέρος Ἀρκαδίας, ἐξ οὗ τὸ ὅλον δηλοῖ. Gu.

Ὀρέστειον καλεῖν: τῷ μερικῷ τὸ ἰδικὸν ἐπήγαγεν. Ἀζᾶνες γὰρ ἔθνος Ἀρκαδίας, καὶ τὸ Ὀρέστειον δὲ πόλις Ἀρκαδίας ὀνομασθεῖσα ἀπὸ Ὀρέστου. A. ὥστε καλεῖν αὐτὸ Ὀρέστειον. Gr.

1648. ἐνθένδε τ' ἐλθών: περὶ τῆς Ὀρέστου κρίσεως ἐν Ἀρείῳ πάγῳ ἱστορεῖ καὶ Ἑλλάνικος ταῦτα γράφων· τοῖς ἐκ Λακεδαίμονος ἐλθοῦσι καὶ τῷ Ὀρέστῃ οἱ Ἀθηναῖοι ἔφρασαν. τέλος δὲ ἀμφοτέρων ἐπαινούντων οἱ Ἀθηναῖοι τὴν δίκην ἔστησαν ἐννέα γενεαῖς. ὕστερον

P. 338. l. 22. τὴν ἀρχὴν] καὶ τὴν ἀρχὴν A. Idem ὁ om. post ἐφ' οὗ.

1. αὐτῷ] αὐτοῦ B.I.

ib. μετὰ δὲ] δὲ om. A.

2. Κορωνείας] κορωνίας A.M.

ib. ἀργείας B. ἀργίας A.M.I.

3. παρθίονα M. παρθιόνα A. Fl. 33. παρθῖνα B.I.

ib. Ἀρχιλόχης] ὀρχιλόχης A. Fl. 33.

4. φασὶν] φησὶν A.B.M.

ib. Ἀρκάδα] ἄρκαδαν M.

6. Ἔλατον] ἔλαστον Fl. 33. ἐλάτην I.

ib. Ἀφείδαντα M. Fl. 33. ἀρείδαντα B. ἀρείσαντα I. Ἀφείδαντα om. A. Vid. Apollod. 3, 9, 1. Pausan. 8, 4.

ib. Ἀζᾶνα] ἐξανᾶν M. ἀξαίαν A. Idem mox ἀξὰν (sine ὁ) ἀφ' ἑαυτοῦ τὴν ἰδίαν μοῖραν ἀναξίαν ὠνόμασεν. καὶ ἀρκάδες οὖν πάντες ἐκαλοῦντο, μέρος δέ τι αὐτῶν ἀξόνες:—

7. Ἀζανίαν] ἀζαδίαν Fl. 33.

8. Ἄλλως om. M.

9. τῷ μερικῷ] τοῦτο μερικὸν M.

ib. ἐστὶ τῆς om. M.

12. Ἀζάδες] Immo Ἀζᾶνες. In Cant. ἀξάδες.

18. Ἑλλάνικος] De loco Hellanici, in quo plura corrupta sunt, dixit Mueller. in Fragm. Histor. vol. 3. p. 375.

ib. ταῦτα γράφων] γράψας ταῦτα A.

19. ἔφρασαν A.B.M. ἔφασαν I.

20. ἔστησαν B.M. ἔστασαν I. ἀνέστησαν A. Muellerus haec sic redintegrare conatus est, οἱ Ἀθηναῖοι τὴν δίκην (sc. de Oreste) ἔστασαν ἕνδεκα γενεαῖς ὕστερον ἢ Ἄρης καὶ Ποσειδῶν περὶ Ἁλιρροθίου δίκην ἔφυγον. εἶτα—ἀποκτανθεῖσα τρισὶ γενεαῖς ὕστερον συγκροτηθῆναι etc.

δὲ Ἄρης καὶ Ποσειδῶν περὶ Ἁλιρροθίου δίκην, εἶτα Κέφαλος ὁ Δηϊονέως, ὅστις τὴν Πρόκριν τὴν Ἐρεχθέως ἔχων γυναῖκα καὶ ἀποκτείνας, ἐξ Ἀρείου πάγου δίκην ὡς δικασθεὶς ἔφυγεν ἓξ γενεαῖς ὕστερον. μετὰ δὲ τὴν Δαιδάλου δίκην, ἀδελφιδοῦν τὸν Τάλων ἀποκτείναντος δολόεντι θανάτῳ, καὶ φυγόντος δίκην, τρισὶ γενεαῖς ὕστερον αὕτη ἡ Κλυταιμνήστρα ἡ Τυνδάρεω Ἀγαμέμνονα ἀποκτείνασα, καὶ ὑπὸ Ὀρέστου ἀποκτανθεῖσα, συγκροτηθῆναι δίκην τῷ Ὀρέστῃ ὑπο Εὐμενίδων παρεσκεύασεν, ὃς μετὰ τὴν κρίσιν ἐπανελθὼν Ἄργους ἐβασίλευσεν. ἐδίκασαν δὲ Ἀθηνᾶ καὶ Ἄρης. A.B.M.I. ἐνταῦθα πρῶτον μὲν Ἄρης καὶ Ποσειδῶν ἠγωνίσαντο, δεύτερον δὲ μετὰ τρεῖς γενεὰς Κέφαλος Δηϊόνος ἐπὶ γυναικὶ Πρόκριδι καὶ μετὰ τρεῖς Δαίδαλος ἐπὶ τῷ ἀδελφιδῷ Τάλῳ, εἶτα μετὰ τρεῖς Ὀρέστης, ὡς Ἑλλάνικος. A.M. Ἄλλως. Ἀθήνησιν ἐν Ἀρείῳ πάγῳ συνέστη ἡ κρίσις πρὸς Εὐμενίδας τῷ Ὀρέστῃ ἐπὶ τῷ φόνῳ τῆς μητρὸς αὐτοῦ καὶ μετὰ τὴν κρίσιν ἐπανελθὼν Ἄργους ἐβασίλευσεν. ἐδίκασαν δὲ Ἀθηνᾶ καὶ Ἄρης. ἐξ αὐτῶν γίνεται Τισαμενός. A.

1649. δίκην ὑπόσχες: οὐ μόνον τὸ δίκην δίδωμι ἀντὶ τοῦ τιμωροῦμαι φαμὲν, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐν κρίσει καθίσταμαι καὶ ἀπολογίαν ὑπέχω, ὥσπερ κἀνταῦθα. μαρτυρεῖ δὲ καὶ Θουκυδίδης λέγων "δίκας ἤθελον δοῦναι ἐν Πελοποννήσῳ παρὰ πόλεσιν, αἷς ἂν ἀμφότε-

1. Ἄρης καὶ Ποσειδῶν] μετὰ τῷ ἄρει καὶ ποσειδῶνι M. In A. est ὕστερον δὲ τὴν ἄρει καὶ ποσειδῶνι περὶ ἀλιρροθίου δίκην, μετὰ δὲ τὴν κεφαλὴν ὁ δηϊόνος etc.

ib. εἶτα] εἶσ M.

2. τὴν Πρόκριν] τὴν om. B.I.

3. δικασθεὶς] δικαστὴς A.

4. ἀδελφιδοῦν τὸν Τάλων Meursius de Areop. c. 10. in Gronovii Thes. Antiq. vol. 5. p. 2125. ἀδελφιδοῦν τάνταλον B.I. καλοσοφίας περιαγομένου ἀδελφιδοῦν A.M., omisso τὸν τάνταλον.

5. Ante αὕτη in M. est compendium ὅτι significans.

6. κλυταιμνήστρα ἡ τυνδάρεως (correxi Τυνδάρεω) B. κλυταιμνήστρα τῆς τυν^Δ M. τυνδαρὶς κλυταιμνήστρα I. In A. est αὕτη ἡ τῆς κλυταιμνήστρας τῆς τυνδάρεως.

ib. ἀποκτείνασα] ἀποκτεινάσης A. M.

7. Ὀρέστου] ὀρέστου δίκη ἐγένετο:— A.M., reliquis ἀποκτανθεῖσα—καὶ Ἄρης omissis.

9. ἐδίκασαν B. καὶ ἐδίκασεν (sic) I.

ib. ἐνταῦθα] Areopagum dicit scholiasta, cujus annotatio ad verba πάγοισιν ἐν Ἀρείοισιν adscripta est.

11. Δηϊόνος] Sic hoc nomen etiam apud Apollod. 1, 9, 3. et 3, 15, 1. scriptum. In scholio superiore est Δηϊονέως.

ib. γυναικὶ] τῇ γυναικὶ A. Idem mox μετὰ τρίτην pro μετὰ τρεῖς pariterque supra μετὰ τρίτης γενεᾶς, et infra μετὰ τρίτην.

12. τάλῳ A. ταντάλῳ M.

19. Θουκυδίδης] 1, 28.

20. δοῦναι] διδόναι Bar.

ib. αἷς ἂν] αἷς δὲ Gu.

ροι ξυμβῶσιν." Bar. Gu. δός. γέγραπται ὑφέξεις, δώσεις. Cant. αἵματος μητροκτόνου: ἕνεκα τοῦ φόνου τῆς μητρός. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. ἤγουν κρίσις σοι πρὸς τὰς θεὰς ἔσται καὶ ἀπολογία περὶ τοῦ φόνου. Gu. Fl. 6.

1650. θεοὶ δέ σοι: ὁ Ἄρης καὶ ἡ Ἀθηνᾶ. B. οἱ θεοὶ δὲ, οἱ τοῦ δικαίου βραβεῖς δίκην ἐξοίσουσί σοι ἐν τῷ Ἀρείῳ πάγῳ εὐσεβεστάτην. Bar. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. μετὰ τὸ πληρῶσαι χρόνον ἕνα εἰς τὸ Παρράσιον ἀπῆλθεν εἰς Ἀθήνας Ὀρέστης καὶ ἀγωνίζεται πρὸς Ἐρινύας ὑπὲρ τοῦ φόνου τῆς μητρός· ἴσων δὲ γενομένων τῶν ψήφων οἰκτείρασα ἡ Ἀθηνᾶ τοῦτον παρ' ἑαυτῆς ἐνέθηκε μίαν ψῆφον, ἥτις ἐποίησεν αὐτὸν νικῆσαι. φασὶ δὲ ὅτι καὶ ἱερὸν οὗτος ἐν Ἀρείῳ πάγῳ τῶν θεῶν ἱδρύσατο, ἐξιλεούμενος αὐτὰς μετὰ τὴν νίκην εὐμενεῖς αὐτὰς τοῦ λοιποῦ καθίστασθαι. Bar. Gu. δίκης βραβεῖς: τῆς κρίσεως διοικηταί. I. δίκης: δικαιοσύνης, ἤγουν κρίσεως. Gu. βραβεῖς: παροχεῖς. θεοὺς γὰρ κριτὰς εἶχεν. Gu. Fl. 33.

1651. πάγοισιν ἐν Ἀρείοισιν: Ἄρειος πάγος ἐκλήθη διὰ τὸ δοῦναι τὸν Ἄρεα ἐκεῖ τῷ Ποσειδῶνι δίκην, ἀποκτείναντα τὸν υἱὸν αὐτοῦ Ἁλιρρόθιον, φθείραντα τὴν θυγατέρα τούτου Ἀλκίππην. ἐπεκράτησε δὲ ἐξ ἐκείνου δικαστήριον εἶναι φόνων ὁ τόπος. ὄρος δὲ ἦν· διὸ καὶ πάγος καλεῖται. Bar. Gu.

1652. διοίσουσ': ἀντὶ τοῦ ἐξάξουσιν. Gr. I. ἐκκομίσουσιν. Gu. ἔνθα: ἐν τῇ ἀποφάσει τῆς κρίσεως τῶν θεῶν. Gu. et Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. χρή: ἀπόκειται. Gr.

1653. ἐφ' ἧς δ' ἔχεις: τὴν Ἑρμιόνην δὲ, ἧς ἐπὶ τῇ δέρῃ ἔχεις, ὦ Ὀρέστα, τὸ φάσγανον, πέπρωταί σε γῆμαι, ἤγουν εἰς γυναῖκα λαβεῖν. Bar. Gr. Florr. omnes. τὸ ἐφ' ᾗ καὶ τὸ δέρῃ καθ' ὅλον καὶ μέρος. Bar. Gu.

1654. Ἑρμιόνην: Ὀρέστου καὶ Ἑρμιόνης Τισαμενὸς, Πυλάδου

1. δός—δώσεις] In Gr. δός, δώσεις, Gu. ὑφέξεις, sine γέγραπται. In B. ὑφέξεις cum gl. δώσεις. In C. ὑποσχ' (sic) in textu, superscripto γρ. ὑφέξεις et gl. λάβῃς.
3. ἔσται] γένοιτο Gu.
ib. ἀπολογία] ἀπολογῆσαι Gu.
5. οἱ τοῦ Flor. οἱ om. ceteri.
6. ἐξοίσουσι] ἕξουσι Bar.
ib. εὐσεβεστάτην om. Bar.
9. τῆς] τὸν (i. e. τοῦ) τῆς Gu. in quo hoc scholion ad v. 1645. adscriptum.
10. ἡ om. Gu.
11. οὗτος om. Gu.
17. τὸν Ἄρεα] τὸν om. Bar.
18. τούτου] αὐτοῦ Bar.
21. ἀντὶ τοῦ om. I.

καὶ Ἠλέκτρας Στρόφιος καὶ Μέδων. B.M. ὃς δ' οἴεται Νεοπτόλεμος: οὐκ ἐγάμησεν αὐτὴν κατὰ τοῦτο, ὅτι τέκνα ἔσχεν ἀπ' αὐτοῦ. καὶ ὁ μὲν Εὐριπίδης διὰ τοῦτο ἀνῃρῆσθαί φησι τὸν Νεοπτόλεμον ὑπὸ τῶν Δελφῶν, ὅτι παρεγένετο εἰς Δελφοὺς, δίκας ἀπαιτήσων τὸν θεὸν ὑπὲρ τῆς τελευτῆς τοῦ πατρὸς αὐτοῦ. Φερεκύδης δέ φησι περὶ παίδων χρησμὸν αἰτοῦντα τὸν Νεοπτόλεμον ἀναιρεθῆναι, γράφων οὕτως "ἐπεὶ Νεοπτόλεμος Ἑρμιόνην γαμεῖ τὴν Μενέλεω, καὶ ἔρχεται εἰς Δελφοὺς περὶ παίδων χρησόμενος· οὐ γὰρ αὐτῷ ἐγένοντο ἐξ Ἑρμιόνης· καὶ ὡς ὁρᾷ κατὰ τὸ χρηστήριον κρέα διαρπάζοντας τοὺς Δελφοὺς, ἀφαιρεῖται τὰ κρέα αὐτοὺς, αὐτὸν δὲ κτείνει Μαχαιρεὺς ὁ τούτων ἱερεὺς καὶ κατορίσσει αὐτὸν ὑπὸ μὲν τὸν οὐδὸν τοῦ νεῶ." ταῦτα γενεαλογεῖ καὶ Σοφοκλῆς. A.B.M.I.

ὁ Νεοπτόλεμος ἀπελθὼν εἰς Δελφοὺς καὶ μεμφόμενος τῷ Ἀπόλλωνι διὰ τὸν πατέρα θανόντα ἐν τῷ αὐτοῦ ναῷ ὑπὸ Δηϊφόβου καὶ Πάριδος ἐφονεύθη ὑπὸ Ὀρέστου ὡς ἐν τῷ τῆς Ἀνδρομάχης εἴρηται δράματι. Gu. πέπρωται: μεμοιραμένον ἐστί. Gu.

1657. δίκας Ἀχιλλέως: ἐξαιτοῦντι ἐμὲ ἀντὶ τοῦ ἀπαιτοῦντι δίκας ὑπὲρ τοῦ Ἀχιλλέως τοῦ πατρὸς αὐτοῦ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1658. ᾔνεσας: καὶ συνεφώνησας. B. ἐπῄνεσας. Gr. καθὰ ἀπεδέξω, ἤγουν συνεβιβάσθης. Gr. et Gu.

1659. ὁ δ' ἐπιὼν νιν: ἀντὶ τοῦ συμβιώσεται αὐτῇ μέχρι τέλους. M. τὸ νιν ἀντὶ τοῦ αὐτούς ἐπὶ πληθυντικοῦ τάσσειν εἴωθεν· ἢ ἐπὶ μόνου Πυλάδου κεῖται. A.B.I. ὁ ἐπελθὼν, ὁ μέλλων. Gu. ὁ δὲ ἐπερχόμενος βίος εὐτυχῶς αὐτὸν δέξεται. Fl. 6. 9. 17. 21. 25. 34. 56. 59. 76. μετὰ ταῦτα. B. rec. μένει: ἤγουν προσκαρτερεῖ. Fl. 17.

1. Στρόφιος καὶ Μέδων] Hos Pyladis ex Electra filios memorat Pausan. 2, 16 extr.

2. ἀπ' αὐτοῦ] δὲ καὶ ὁ γάμος addit A.

6. αἰτοῦντα om. B.M. In A. pro χρησμὸν αἰτοῦντα est χρώμενον.

ib. γράφων οὕτως om. I.

7. Μενέλεω] μενελάου I.

9. καὶ ὡς ὁρᾷ A. καὶ ὁρᾷ B.M.I. Mox αὐτοῖς pro αὐτοὺς A.

10. αὐτὸν—κατορύσσει αὐτὸν] Legebatur ἑαυτὸν δὲ κτείνει μαχαίρᾳ. ὁ δὲ τούτων ἱερεὺς κατορρύσσει αὐτὸν (αὐτὸν κατορύσσει A.). Emendavit Leopardus Emend. 20, 9. Conf. Strabon. p. 9. p. 421. Pausan. 10, 24. Eustath. p. 1479.

23. ἀντὶ τοῦ αὐτοὺς om. B. In A. τὸ νιν καὶ ἐπὶ μόνου πληθυντικοῦ τάσσειν εἰώθασι· ἢ—κεῖται:— In M. hoc scholion ita est obliteratum ut paucae tantum literae appareant.

ib. τάσσειν] τάττειν I.

1662. *φερνάς*: *προῖκας*. I. *τὴν Σπάρτην λέγει, ἥτις εἰς προῖκα ἐδόθη αὐτῷ*. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *φερνὴ καὶ προὶξ τὰ ἀπὸ τῆς γυναικὸς πράγματα, ἕδνα δὲ τὰ παρὰ τοῦ ἀνδρὸς τῇ γυναικὶ διδόμενα*. Gu. Fl. 21.

1662. 1663. *ἥτις—διήνυσεν*: *ἥτις ἀεὶ μυρίοις πόνοις διδοῦσά σε διήνυσε μέχρι τοῦ δεῦρο*. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. *δεῦρ' ἀεί*: *δεῦρο ἀντὶ τοῦ ἕως τούτου τοῦ χρόνου, ὡς καὶ ἐν Φοινίσσαις "ἔα τὸ λοιπόν· δεῦρ' ἀεὶ γὰρ εὐτυχεῖς." ἀντὶ τοῦ μέχρι τούτου· τὸ δὲ διήνυσεν ἀντὶ τοῦ κατηνάλωσεν*. A.B.M. *ἥτις σε, φησὶν, εἰς μυρίους πόνους ἐμβαλοῦσα μέχρι τοῦ παρόντος παρανάλωσεν*. A. *ὧδε διόλου ἔφερε*. I. *διήνυσε*: *ἐκόμισε, κατέστησε. σύναπτε δὲ τὸ ἀεὶ πρὸς τὸ διδοῦσα*. Gu. *παρήγαγε*. Fl. 33.

1664. *τὰ πρὸς πόλιν*: *τὰ ἀφορῶντα δὲ πρὸς τὴν πόλιν ἐγὼ ποιήσω χάριν αὐτοῦ καλῶς*. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1665. *ἐξηνάγκασα*: *παρεκίνησα*. Gu.

1666. *ὦ Λοξία*: *ὦ Ἀπόλλων μαντευτικὲ, ἕνεκα τῶν σῶν μαντευμάτων*. I. *μαντεῖε*: *μαντικέ*. Gr. Fl. omnes. *σῶν θεσπισμάτων*: *βαβαί*. Gu. *μαντευμάτων ὧν μοι περὶ τοῦ τῆς μητρὸς φόνου ἐθέσπισας*. Gr. Fl. 6.

1667. *οὐ ψευδόμαντις*: *οὐ ψευδῶς ἐνομίζου αὐτὸς διδόναι τοὺς χρησμοὺς, ἀλλ' ἀληθῶς*. Gu. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1668. *καίτοι μ' ἐσῄει*: *περιδεὴς, φησὶν, ἦν ἐγὼ, μὴ ἄρα δαίμων τις ᾖ τῶν ἀλαστόρων, καὶ οὐχὶ σὺ ὁ προστάξας με μητροκτονεῖν. νῦν δὲ, φησὶν, αὐταῖς ὄψεσι θεωρῶν ἔχω τὸ πιστόν*. A.B.I.

καίτοι μ' ἐσῄει: *τὸ εἰσῄει με δεῖμα λέγει διὰ τὸν πρόσθεν χρόνον, καθ' ὃν Ὀρέστης παρ' αὐτοῦ τὰς κατὰ τῆς μητρὸς μαντείας ἐδέχετο· ὥστε, εἰ τοῦτο εἴποις, τὸ δόξαιμι ἀντὶ τοῦ ἔδοξα νοήσεις. φασὶ γὰρ ὡς, ἡνίκα Ὀρέστης ὑπ' Ἐρινύων βεβάκχευται, λογισμὸν ἔλαβεν ὡς οὐκ Ἀπόλλων εἴη ὁ προστάξας τὸν φόνον, ἀλλ' ἀλάστωρ τις· εἰ γὰρ ἦν Ἀπόλλων, οὐκ ἂν μανῆναι αὐτὸν εἴασεν*. Bar. Gu.

2. *καὶ προὶξ* om. Fl. 21.

7. *δεῦρο—κατηνάλωσεν*] In M. hoc scholion ita obliteratum ut quattuor tantum vocabula (*γὰρ εὐτυχεῖς ἀντὶ τοῦ*) legi possint.

ib. *Φοινίσσαις*] 1215.

9. *κατηνάλωσεν*] *κατανάλωσεν* A.

14. *χάριν τοῦδε* (sic) *ποιήσω καλῶς* est etiam in I.

22. *ἄρα*] *ὅρα* B.

23. *ᾖ* addidi ex A.B

24. *δὲ, φησὶν*] *δ' ἔφη* B.

28. *Ὀρέστης*] *ὁ ὀρέστης* Bar.

29. *ἔλαβεν*] *ἔβαλεν* Gu.

1670. ἀλλ' εὖ τελεῖται: τὸ ἀλλ' εὖ τελεῖται διπλῶς νοητέον, ἢ τοῦτο, ὃ νῦν προστάττεις, ἢ ὁ φόβος, ὃν εἶχον περὶ σοῦ, δοξάζων ἀλάστορα, καὶ οὐκ αὐτὸν σὲ, καλῶς τελεῖται, ἤγουν οὐχ ὡς ᾠόμην ἐκβαίνει, ἀλλ' ὡς ἔχει τἀληθές. Bar. Gu. τελεῖται: τελεσθήσεται καὶ γενήσεται τὸ σὸν πρόσταγμα. Fl. 59. τελεσθήσεται ἡ φωνὴ ἐκείνη. Gu.

1672. καὶ λέκτρ' ἐπῄνεσ': τὴν μετ' αὐτῆς συνοίκησιν ἐπαινῶ. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76.

1673. ὦ Ζηνός: ὦ Ἑλένη, παῖ τοῦ Διὸς, χαῖρε. Gr. Fl. 6. 9. 56. 59. 76. ζηλῶ: μακαρίζω. Cant. Gr. εὐδαιμονίζω. Gu.

1674. ὄλβιον: μακάριον. Gr. εὐδαίμονα. Gu. δόμον: οἶκον, ἤγουν τὸν οὐρανόν. Gu.

1675. κατεγγυῶ: ἀντὶ τοῦ κατεγγυήσω, ὅ ἐστιν ἐπαγγέλλομαι δώσειν πρὸς γάμον· οὐ νῦν γὰρ δίδωσιν, ἀλλ' ὕστερον, τοῦ Ὀρέστου ἐν Ἀρκαδίᾳ διάγοντος μετὰ τὴν Νεοπτολέμου τελευτήν. A.B.M.I. ὑπισχνοῦμαι πρὸς γάμον, μνηστεύω. Bar. Gu.

1676. λέγοντος: προστάσσοντος. Gr. Fl. 6. 9. 21. 56. 59. 76. εὐγενὴς δ' ἀπ' εὐγενοῦς: συνυπακούεται ὑπαρκτικοῦ ῥήματος μετοχὴ, εἰ καὶ οὐ δύναται κἀνταῦθα ἐκφωνεῖσθαι, ὡς εἴρηται καὶ ἐν ἄλλοις, διὰ τὸ κακοσύνθετον γίνεσθαι τὸν λόγον· δύο γὰρ ἐφεξῆς μετοχαὶ οὐκ ἐῶσι τὸν λόγον εὐσύνθετον δοκεῖν. εἰ ἐκφωνηθείη δὲ ἐνταῦθα ἡ τοῦ ὑπαρκτικοῦ μετοχὴ, δειχθήσεται αὐτόθεν ὃ λέγω· οἷον εὐγενὴς δὲ ὢν ἀπ' εὐγενοῦς γήμας. ἐξ ἀνάγκης δὲ συνυπακούεται, καὶ ἔχει ὁ λόγος οὕτως· εὐγενὴς δὲ ὢν γυναῖκα γήμας ἀπ' εὐγενοῦς γένους δηλονότι. Bar. Gr.

1677. ὄναιο: ἀπολαύσειας. B.M. ἀπολαύσαιο, ὠφεληθείης. I. ὠφελείας ἀπολαύσαις. Gr. Florr. omnes. εἴθε ὠφεληθείης. Gu.

2. προστάττεις] προστάττειν Bar.

ib. δοξάζων] δοξάζειν Gu.

3. ὡς ᾠόμην—τἀληθές] ὡς ἐφάμην συμβαίνει, ἀλλ' ὡς ἀληθές Bar.

13. ὅ ἐστιν ἐπαγγέλλομαί σοι δώσειν πρὸς γάμον habet Gu.

14. τοῦ Ὀρέστου] τοῦ om. I.

16. ὑπισχνοῦμαι πρὸς γάμον] πρὸς γάμον ὑπισχνοῦμαι Bar. μνηστεύω est in Gr.

19. εἰ καὶ οὐ δύναται κἀνταῦθα] οὐ δύναται γὰρ ἐνταῦθα Bar.

21. εὐσύνθετον] ἀσύνθετον Gr.

ib. εἰ ἐκφωνηθείη—] Ultima haec habet Flor. 21. ἔστι δὲ εἰπεῖν ὡς εἰ ἐκφωνηθείη ἐνταῦθα ἡ τοῦ ὑπ. μετ. ἐξ ἀν. προστεθήσεται καὶ σύνδεσμος, καὶ ῥηθήσεται οὕτως· εὐγ. δὲ ὢν καὶ ἀπ' εὐγ. γήμ. ὄναιο.

23. καὶ ἔχει] τὸ καὶ, καὶ ἔχει Matth.

24. ὢν Bar. Gr. cui σὺ add. Gu.

1678. οἶ: ἀντὶ τοῦ ὅπου ἡμεῖς προστάσσομεν καὶ κελεύομεν. M. ὅπως ἡμεῖς παρακελευσόμεθα. B. οἶ προστάσσομεν: Μενέλαος μὲν εἰς Σπάρτην, Ὀρέστης δὲ εἰς τὸ Παρράσιον δάπεδον. Bar. Gu.

1679. νείκους: τῆς φιλονεικίας. I. ἔριδος. Gu. Fl. 6. ἤγουν παύσασθε τῆς φιλονεικίας. Fl. Gu.

1680. κἀγὼ τοιοῦτος: οὕτω διάκειμαι. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. καταπειθής. Gu. σπένδομαι: φιλιοῦμαι ταῖς συμφοραῖς σου, Μενέλαε, καὶ τοῖς σοῖς, ὦ Ἄπολλον, προστάγμασι. I. σπένδομαι συμφοραῖς: λείπει ἡ ἐπί, ἐπὶ συμφοραῖς. A.B.M. σπένδομαι, φησὶ φιλίαν πρὸς σὲ, ὦ Μενέλαε, ἐπὶ συμφοραῖς, τουτέστι μετὰ τὰς συμφορὰς καὶ τὰς ἀτυχίας, καὶ τοῖς σοῖς, ὦ Ἄπολλον, πείθομαι κελεύσμασι. A.B.M.I.

τὸ "σπένδομαι συμφοραῖς σαῖς" τοῦτο λέγει, ἀντὶ τοῦ φιλίως καὶ ἀποδέκτως τὸ συμβὰν δέχομαι· ἢ οὕτω, σπένδομαι καὶ φιλιοῦμαί σοι, ὦ Μενέλαε, ἐν σαῖς συμφοραῖς καὶ συνελεύσεσιν, ἤγουν συνεῖναί σοι θέλω καὶ συνομιλεῖν· ἢ οὕτω, σπένδομαι καὶ φιλιοῦμαι, ὦ Μενέλαε, ταῖς σαῖς συμφοραῖς, ἤγουν ταῖς κατὰ σοῦ αἰτίαις, τουτέστι, πρώην μισῶν σε κακὸν εἰς ἐμὲ φανέντα, νῦν παύω τὸ μῖσος. Bar. Gu. ἢ σπένδομαι σοὶ ἐν ταῖς συμφοραῖς καὶ συνελεύσεσι τοῦ Ἀπόλλωνος· ἢ σπένδομαι σοὶ ἐν συμφοραῖς καὶ συνελεύσεσιν, ἤγουν φιλίαν ποιῶ πρὸς σὲ καὶ συνέρχομαι· ἢ σπένδομαι καὶ ἵλεως γίνομαι ταῖς συμφοραῖς καὶ δυστυχίαις ταῖς σαῖς. Gu. σπένδομαι: διαλλάττομαι. Gr. Florr. omnes. συμφοραῖς: ἐπί. Gr. συμβάμασι, συνελεύσεσιν ἢ ταῖς κατὰ σοῦ αἰτίαις. Gu. ἤγουν ἐπὶ ταῖς ἐμαῖς δυστυχίαις. Fl. 59.

1681. σοῖς: ἐπί. Gr. Fl. 6. 9. 17. 21. 56. 59. 76. πείθομαι. Gu. θεσπίσμασιν: ἐντάλμασι. Fl. 6.

1682. ἴτε νυν: ἄπιτε καθ' ὁδὸν, ἣν προσέταξα δηλονότι, τιμῶντες τὴν Εἰρήνην τὴν καλλίστην ἀπὸ τῶν θεῶν. ἐγὼ δὲ πλησιάσω τὴν Ἑλένην τοῖς οἰκήμασι τοῦ Διὸς, διελθὼν τὸν πόλον τῶν λαμπρῶν ἄστρων, ὅπου συγκάθεδρος οὖσα τῇ Ἥρᾳ καὶ τῇ Ἥβῃ τῇ γυναικὶ τοῦ Ἡρακλέους ἔσται θεὸς ἔντιμος ἀεὶ τοῖς ἀνθρώποις διὰ θυσιῶν σὺν

2. μὲν et δὲ et δάπεδον om. Bar.
11. καὶ τὰς ἀτυχίας om. A.
ib. καὶ τοῖς] καὶ om. B.
15. ἐν σαῖς] ἐν ταῖς Bar.
16. συνομιλεῖν] συνομιλῶ Bar.

τοῖς Τυνδαρίδαις τοῖς υἱοῖς τοῦ Διὸς μεδέουσα θαλάσσης ναύταις, ἀντὶ τοῦ τῆς τῶν ναυτῶν θαλάσσης μεδέουσα καὶ ἄρχουσα. I.

1683. θεὸν Εἰρήνην τιμῶντες: τοῦτό φησιν, ἐπεὶ ἐπὶ τὰ Πελοποννησιακὰ ἐνόσει ἡ Ἑλλάς· πρεσβευσαμένων δὲ τῶν Λακεδαιμονίων οὐ προσήκαντο τὰς σπονδὰς οἱ Ἀθηναῖοι. B.M.I. τοῦτό φησι διὰ τὸ κατ' ἐκεῖνον τὸν καιρὸν ἐνεστηκέναι τὰ Πελοποννησιακά· πρεσβευομένοις γὰρ Λακεδαιμονίοις περὶ εἰρήνης οὐκ ἐπείσθησαν Ἀθηναῖοι. A.M. Fl. 33.

1684. πελάσω: προσπελάσω. Fl. 17.

1685. ἐξανύσας: διαβάς. I. διαπεράσας. Gr. διελθὼν, καταλαβὼν, διαβιβάσας. Gu.

1686. Ἡρακλέους Ἥβη: Ἥβη ὠνομάζετο ἡ Ἡρακλέους γυνή. λείπει δὲ τὸ οὖσα, πάρεδρος οὖσα. B.M.I. ἤγουν συγκάθεδρος. ὁ Ἡρακλῆς ὑπὸ Φιλοκτήτου καυθεὶς ἀνῆλθεν εἰς Ὄλυμπον, ἐν ᾧ τὴν Ἥβην ἔγημε θυγατέρα τῆς Ἥρας. αὕτη δὲ θεὰ παρὰ τοῖς Ἕλλησιν ἀλληγορουμένη εἰς τὴν ἰσχύν. Bar. Gu.

1688. ἔντιμος: τιμωμένη θυσίαις σὺν Κάστορι καὶ Πολυδεύκει, τοῖς Διὸς παισὶ, βασιλεύουσα τοῖς ναύταις ἐπὶ τῆς θαλάσσης. I. ἤγουν ἣν ἀεὶ ναῦται θυσίαις τιμήσουσι σὺν Πολυδεύκει καὶ Κάστορι, ὡς ἔφορον πλοῦ. ἢ πρὸς τὸ ἀεὶ ὑποστικτέον, ἵνα λέγῃς οὕτω· θεὸς ἔντιμος ἀνθρώποις ἐν σπονδαῖς. Gu. ἔσται ἀεὶ θεὸς ὑπ' ἀνθρώπων ἔντιμος σπονδαῖς, ἤγουν ὑπ' ἀνθρώπων τιμωμένη διὰ σπονδῶν, ἤτοι θυσιῶν. Fl. 6. 9. 59. 76. Gr.

1691. ὦ μέγα: ὁ χορὸς βοηθὸς ὢν τοῦ Ὀρέστου τὰ κατ' αὐτὸν ἰδὼν ὅπως ἀπέβη ταῦτα φησίν. ἢ τοῦτο διὰ τοῦ χοροῦ, ὡς ἐκ προσώπου τοῦ ποιητοῦ ἐστιν, ὡς νικήσαντος ἐπὶ τῷ δράματι. Gu. I. ὦ Νίκη μεγάλως σεμνὴ, εἴθε συνέχοις τὴν ἐμὴν ζωὴν, καὶ μὴ παύσαιο στεφανοῦσα ἐμὲ δηλονότι. ὦ μέγα: ὦ μεγάλως σεβασμία Νίκη, εἴθε τὴν ἐμὴν ζωὴν κατέχοις, καὶ μὴ παύσαις στεφανοῦσα καὶ τιμῶσά με. I.

4. Λακεδαιμονίων] ἀθηναίων I.
5. οἱ Ἀθηναῖοι om. I. Conf. schol. ad v. 361. 760. 891.
12. Ἡρακλέους] ἡρακλέος I.
13. πάρεδρος οὖσα om. M.
14. ὑπὸ Φιλοκτήτου om. Gu.
15. τῆς Ἥρας] τῆς om. Bar.
24. ὁ χορὸς—] In Gu. sed diversis locis, sunt prima, ὁ χορὸς—δράματι, et extrema, τοῦτο—κατήντησεν.

ὦ μέγα: *τοῦτο παρὰ τοῦ χοροῦ ἐστι λεγόμενον ἀπὸ προσώπου τοῦ ποιητοῦ.* A.B.M.I.

Τοῦτο τὸ δρᾶμα ἐκ τραγικοῦ κωμικόν· ἐκ γὰρ συμφορῶν εἰς εὐθυμίαν κατήντησεν. Gu. I.

Ἡ κατάληξις τῆς τραγῳδίας ἢ εἰς θρῆνον, ἢ εἰς πάθος καταλύει, ἡ δὲ τῆς κωμῳδίας εἰς σπονδὰς καὶ διαλλαγάς. ὅθεν ὁρᾶται τόδε τὸ δρᾶμα κωμικῇ καταλήξει χρησάμενον· διαλλαγαὶ γὰρ πρὸς Μενέλαον καὶ Ὀρέστην. ἀλλὰ καὶ ἐν τῇ Ἀλκήστιδι ἐκ συμφορῶν εἰς εὐφροσύνην καὶ ἀναβιοτήν. καὶ ὁμοίως καὶ ἐν Τυροῖ Σοφοκλέους ἀναγνωρισμὸς κατὰ τὸ τέλος γίνεται, καὶ ἁπλῶς εἰπεῖν πολλὰ τοιαῦτα ἐν τῇ τραγῳδίᾳ εὑρίσκεται. A.B.C.M.

Πρὸς διάφορα ἀντίγραφα παραγέγραπται ἐκ τοῦ Διονυσίου ὑπομνήματος ὁλοσχερῶς καὶ τῶν μικτῶν. B. Cant. Gu. Fl. 6.

1. *χοροῦ—προσώπου*] *χοροῦ λεγόμενον ὡς ἐκ προσώπου* A.

3. *τραγικοῦ*] *τραγῳδικοῦ* I.

5. *ἢ εἰς θρῆνον*] *ἢ* om. C.

ib. *καταλύει* A.M. *καταλήγει* ceteri, non A. de qno fallitur Cobetus.

6. *τῆς κωμῳδίας—διαλλαγάς* B.C.M. *κωμῳδία γέλωσι καὶ εὐφροσύναις ἐνύφανται* ceteri.

ib. *τόδε τὸ δρᾶμα*] *τὸ δρᾶμα τόδε* Gu.

7. *διαλλαγαὶ—Ὀρέστην*] *διαλλάσσεται γὰρ πρὸς Μενέλαον ὁ Ὀρέστης* Cobetus.

9. *καὶ ἀναβιοτήν* (*ἀναβιώτην* M. *ἀναβίωσιν* Gu.) *καὶ ὁμοίως* addunt B. Gu., om. ceteri. In C. *καὶ ἀναβιοτὴν ἐν τύροις ὁμοίως* etc.

ib. Τυροῖ] *τύροι* Gu. *τύροις* B.C.M.

10. *εἰπεῖν* om. C.

12. *Διονυσίου*] *διονύσου* Gu. et ut videtur Cant. et Fl. 6. qnorum in altero annotatum in marg. *γρ. διονυσίου.* Subscriptio ipsa ex antiquioribus codicibus servata in Byzantinis, etsi his parum convenit.

SPECIMINA GLOSSEMATUM

EX CODICE MONACENSI 560. (C.)

GLOSSEMATA IN ORESTEM.

1. Οὐκ ἔστιν—] Κατασκευή. [Est annotatio rhetorica, ut προδιόρθωσις, quod superscriptum versui 4. 548. ἀντίστροφον v. 118. 302.] δεινὸν ὧδ' εἰπεῖν ἔπος] ἐπέρχεται. καὶ οὕτως ἐν συντόμῳ λόγῳ 2. ξυμφορὰ] δυστυχία ἡ ἐπελθοῦσα θεήλατος] ἀπὸ θεοῦ πεμπομένη 4. τύχας] τάς 5. Διὸς] ἀπὸ τοῦ πεφυκὼς] υἱός 6. κορυφῆς] αὐτοῦ τοῦ Ταντάλου ὑπερτέλλοντα] ὑπερκείμενον δειμαίνων πέτρον] φοβούμενος λίθον 7. ποτᾶται] πέτεται τίνει] ἀνταποδίδωσι δίκην] καὶ τὴν τιμωρίαν 8. ὢν] καὶ ὑπάρχων 9. κοινῆς] ἕνεκα. τοῖς θεοῖς ἀξίωμ'] τιμήν ἴσον] ὅμοιον 10. ἀκόλαστον] ἄσεμνον αἰσχίστην] χαλεπήν 11. οὗτος] ὁ Τάνταλος φυτεύει] καὶ γεννᾷ Πέλοπα] τόν τοῦ δ'] ἀπὸ τοῦ Πέλοπος Ἀτρεὺς] ὁ ἔφυ] ἐγεννήθη 12. ᾧ] καὶ τινι (i. e. καὶ ᾧ τινι) τῷ Ἀτρεῖ ξείνασ'] καὶ προσεξένησα (voluit καὶ προξενήσασα) ἐπέκλωσεν] τὸν Ἀτρέα ἐπέθηκε, κατεσκεύασε θεά] ἡ Ἥρα 13. ἔριν] καὶ πολεμον ἐριστικόν ὄντι συγγόνῳ] καὶ ὑπάρχοντι ἀδελφῷ τῷ Ἀτρεῖ 14. θέσθαι] καὶ ποιῆσαι θέσθαι] ὥστε ἀναμετρήσασθαι] ἀναψηφίσασθαι τὸ πλῆθος τῶν κακῶν 15. ἔδαισε] εὐώχησε νιν] τὸν Θυέστην τέκνα] τὰ ἀποκτείνας] καὶ φονεύσας Ἀτρεύς] ὁ 16. Ἀτρέως] ἀπὸ τοῦ τὰς γὰρ—] ἐπειδὴ ἀπὸ τῆς γυναικὸς ἀπώλετο τύχας] ἀτυχίας 17. εἰ δὴ] εἰ ἦν ποτὲ ἔφυ] καὶ ἐγεννήθη 18. Μενέλεως] καὶ ὁ Κρήσσης] τῆς Κρητικῆς Ἀερόπης ἄπο] ἀπὸ τῆς 19. γαμεῖ] καὶ εἰς γάμον ἄγει στυγουμένην] μισητήν 20. Μενέλαος] ὁ μέν Ἑλένην] τήν ὁ δὲ] Ἀγαμέμνων 21. ἐπίσημον] τὸ περιβόητον ἐπίσημον ἐπὶ σωφροσύνῃ, ἢ διὰ τὴν μοιχείαν 22. ᾧ] τῷ Ἀγαμέμνονι ἔφυμεν] ἐγεννήθημεν μιᾶς] μητρὸς Κλυταιμνήστρας 23. Χρυσόθεμος] ἡ Ἰφιγένεια] ἡ 24. ἄρσην] τὸ ἄρσην Ὁμηρικὸν καὶ τὸ ἄνδρα μοι ἔννεπε Μοῦσα ἀνοσιωτάτης] μιαρωτάτης 25. ἣ πόσιν] καὶ ἥτις ἡ Κλυταιμνήστρα πόσιν] τὸν ἄνδρα ἀπείρῳ] μὴ ἔχοντι πέρας περιβαλοῦσ'] σκεπάσασα ὑφάσματι] ἐνδύματι 26. ἔκτεινεν] καὶ ἐφόνευσεν ὧν δ' ἕκατι] χάριν γέγονε ταῦτα παρθένον (sic in textu pro παρθένῳ)] ἐμοὶ οὔσῃ 27. ἐῶ τοῦτ'] κατὰ παράληψιν

(corrige παράλειψιν) κατὰ παρασιώπησιν ἀσαφὲς] ἀγνώριστον σκοπεῖν] ὥστε 28. Φοίβου] Ἀπόλλωνος ἀδικίαν] τήν 29. πείθει] ἤγουν ὁ Φοῖβος ἥ σφ'] καὶ ἥτις αὐτόν ἐγείνατο] ἐγέννησεν. 30. κτεῖναι] ὥστε 31. θεῷ] τῷ Ἀπόλλωνι 32. οἷα δὴ γυνὴ] μετὰ αἰδοῦς ἑστῶσα καὶ πεφρικυῖα. οὐκ αὐτὸ χεῖρα (corrige αὐτόχειρ), ἀλλὰ μετὰ συμβουλῆς. φόνου] τοῦ 33. Πυλάδης] ὁ συγκατείργασται] ἐβουλεύσατο, συνειργάσατο τόδε] καὶ τοῦτο 34. ἐντεῦθεν] καὶ ἀπὸ τοῦδε ἀγρίᾳ] καὶ κακῇ συντακεὶς] καὶ δαμασθείς νόσῳ νοσεῖ] παρήχησις 35. ὁ δὲ] ἤγουν ὁ Ὀρέστης δεμνίοις] κοίταις, στρωμναῖς 36. μητρὸς] τῆς νιν τροχηλατεῖ] καὶ αὐτὸν δίκην τροχοῦ συστρέφει 37. μανίαισιν] μετὰ τῶν μανιῶν αἰδοῦμαι] ἐντρέπομαι θεάς] ὀνόματα Ἐριννύων Τισιφόνη, Μέγαιρα καὶ Ἀληκτώ. ἀλλ' Ὅμηρος ἄλλα φησί 38. Εὐμενίδας] ἢ τὰς Ἐριννύας ἐξαμιλλῶνται] ταράσσουσι 40. μήτηρ] ἡ Κλυταιμνήστρα καθήγνισται] καθηγίωται (recte καθωσίωται in aliis codicibus), κέκαυται τὸ σῶμα 41. ὧν—] διὰ ὧν ἡμερῶν ἕξ σῖτα] βρώματα δέρης] τῆς καὶ τοῦ λαιμοῦ ἐδέξατο] ὁ Ὀρέστης 42. οὐ λούτρ'] καὶ λουτρά χρωτί] καὶ τῷ σώματι χλανιδίων] καὶ τῶν ἱματίων 43. σῶμα] τό νόσου] τῆς 44. ἔμφρων] γινόμενος δεμνίων] καὶ τῶν στρωμάτων 45. πῶλος ὡς ἀπὸ ζυγοῦ] ὁ ἄποθεν τοῦ ζυγοῦ, ὅ ἐστιν ἀδάμαστος, σύντομος ὡς] καθά 46. ἔδοξε] ἤρεσεν Ἄργει τῷδε] ἤτοι τοῖς Ἀργείοις τοῖσδε στέγαις] αὐτόν 47. πυρὶ (codex om. μὴ ante πυρί) δέχεσθαι] μήτε πῦρ ἐναύειν. φωνεῖν. θυσία. ἐναύειν. προσφωνεῖν] καὶ καλεῖν 48. μητροκτονοῦντας] τούς κυρία] τῇ καὶ τῇ ὡρισμένῃ 49. διοίσει] καὶ πληρώσει, ἐξενέγκῃ 50. θανεῖν] ἡμᾶς λευσίμῳ] καὶ λιθασίμῳ 51. θήξαντ'] δυϊκόν 53. ἥκει—] προφοιβάζει ἡμη^{τρ'} [α superscriptum] εἰς τὸ ἄλγος δηλονότι 54. λιμένα] ἤτοι τὴν θάλασσαν Ναύπλιον (sic in textu) ὄνομα λιμένος ἐκπληρῶν] ἐκπεπερακώς πλάτῃ] κώπῃ Hic finitur folium 10[b]. Sequitur folium 11[a], quod incipit ab v. 107. τί δ' οὐχί etc. Exciderunt igitur aliquot folia. Glossemata ad v. 1.—54. speciminis caussa apposui integra, etsi maxima ex parte puerilia. Ex reliqua fabulae parte ea tantum apposui quae non nimis futilia essent. Post v. 108. (εἰς ὄχλον etc.) legitur in codice versus etiam in aliis codicibus nonnullis recentioribus repertus κἀγὼ γυναικῶν ἄφρον οὐχὶ παρθένος, praescripta ab rubricatore personae nota ἠλέ, quae ante versum proximum repetitur, et superscripto ab glossatore οὗτος ὁ στοῖ [χ superscriptum] (i. e. στίχος) ἀλλότριος 109. καὶ μὴν τίνοι—] δίκαιον ὑπάρχει ἀνταποδώσει τῇ τεθνηκυίᾳ] ἀνθ' ὧν ἀνατρέφη ἐπὶ (corrige ἀνετράφη ὑπ' ex Flor. 33.) αὐτῆς ἀμοιβὴν διδοῦσα 115. μελίκρατ'] ῥύσιν οἴνου 119. εὐμενῆ] γρ. πρευμενῆ, ἤγουν προσφιλῆ καὶ πραεῖαν. Haec scriptura etiam in A.M. annotata est praefixo γρ. estque haud dubie vera. Nam adjectivo πρευμενής librarii etiam alibi usitatius illud εὐμενής substituerunt ἄνωγέ νιν] παρακάλει, λέγε αὐτήν 120. ἐμοί τε —] καὶ πόσιν

ἐνταῦθα ἡ βελτίστη οὐδὲ τὴν θυγατέρα ἑαυτῆς προέκρινε. τοῦ γὰρ ἀνδρὸς μικροῦ δεῖν καὶ ἐπελάθετο. 123. ὑπισχνοῦ] ὑποσχέθητι 126. φύσις] εὐμορφία 128. εἴδετ' ἀπ' ἄκρας —] ἴδοι τις ἂν καὶ θεάσαιτε (corrige θεάσαιτο). 133. φίλαι ξυνῳδοὶ] προσφιλεῖς συντραγῳδοὶ, θρηνῳδοί τάχα μ' ἀναστήσουσ' ὕπνου] ταχέως ἐγεροῦσιν ἀπὸ— 137. μὴ κτυπεῖτε] γρ. μὴ σοφεῖτε (corrige ψοφεῖτε.) 139. ἐξεγεῖραι] ἐξυπνῆσαι (corr. ἐξυπνίσαι) 140. λεπτὸν] καὶ ἀψόφητον ἀρβύλης] ὑποδήματος 141. τιθεῖτε, μὴ κτυπεῖτε] ποιητικῶς ἀντὶ τοῦ θῶμεν (τι superscr., i. e. τιθῶμεν). εἰσελήλυθε δὲ ὁ χορὸς κατὰ τὴν ὑπόθεσιν. Eadem fere in A.B.I. 143. ἀπόπροθι] γρ. ἀπόπρο μοι 148. φώνει] πρὸς τὴν πληθὺν λάλει 156. τί φῂς ὦ τάλας] πρὸς τὸν Ὀρέστην στρέφει τὸν λόγον 163. ἔλακεν] γρ. ἄδικος (Pertinet ad v. 162. ubi codex ὦ ἄδικ ἄδικα 166. κινεῖ] γρ. κινεῖται 167. σὺ γάρ νιν ὦ τάλαινα] πρὸς τὸν χορὸν ταῦτα λέγει 179. δόμον] γρ. γόνον 212. ἡδύ με] γρ. μοι ἐν δέοντί γε (sic)] καὶ χρῄζοντι. λείπει κυρῶ 219. ἐκ δ' ὄμορξον] ἀποσπόγγισον 220. ἀφρώδη πέλανον] τὸν πεπηγότα ῥύπον ἀπὸ τοῦ ἀφροῦ καὶ πελάζειν ἄνω 221. δούλευμ'] γρ. βούλευμα 222. ἀδέλφ' ἀδελφῇ] ἀδελφικὰ ἀδελφικῇ, τὸ ἁπλοῦν ἀντὶ τοῦ κτητικοῦ 242. ἐν Ναυπλίῳ (sic)] ἐν λιμένι σέλμαθ'] αἱ ἀγκύραι, καθίσματα 256. δρακοντώδεις] διὰ τὸ βλοσυρὸν λέγει αὐτὰς δρακοντώδεις 261. ἱέρειαι] δουλεύτριαι δειναὶ θεαί] αἱ τιμωροῦσαι 275. τί δῆτα μέλλετ'—] ὦ Ἐριννύες, τί βραδύνετε; τὰ ἄκρα καταλαμβάνετε τοῦ ἀέρος καὶ παίετε τὸν αἰθέρα 284. ἐπένευσας] γρ. ἐπῄνεσας 286. ἐσπάρας] γρ. ἐπάρας 294. ἀνακάλυπτ'] ἀποσκέπασον 296. ὅταν δὲ τἄμ' ἀθυμήσαντα ἴδῃς] γρ. ὅταν δέ τ' ἔμ' ἀθυμήσαντα ἴδῃς 303. χροΐ] γρ. χρωτί 312. καὶ φοβοῦν] γρ. κἀκφοβοῦν 385. δέρκομαι] γρ. δέδορκα 390. ὄνομ'] γρ. ὄμμα 391. παράλογον] γρ. περιλόγως (voluit παραλόγως) παρὰ τὸ προσῆκον 393. φείδου] παῦε ὀλιγάκις] οὐδὲ ὅλως 406. Πυλάδης] πρωτεξάδελφος τοῦ Ὀρέστου 414. ἀναφορὰ] μετάθεσις, ἀνακωχὴ, συγγνώμη 491. πρὸς τόνδ' ἀγὼν τίς σοφίας κεῖται πέρι] γρ. ἥκει (pro κεῖται) τόνδ'] τὸν Ὀρέστην τίς] οὐδείς σοφίας] διαλέξεως 738. ἀπέδωκεν] γρ. ἀπέδοτο 1082. ὄμμ'] γρ. ὄνομα 1149. ἢν δ' αὖ (sic)] γρ. εἰ δ' οὖν 1318. χροιᾷ] γρ. χρόα. ὄψει δεδραμένων] πεπραγμένων